# Eulogikon

Ancient Greek Texts — Free & Open source


eul_wid: pzu-aa

*Οὐέτιος Βαλέντιος Ἀντιοχεύς* · Vettius Valens of Antioch

# Nine Books of Anthologies

*Ἐννέα Βιβλία Ἀνθολογιῶν*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Ἐπιστήμη* Science
**Format:** *Πραγματεία* Treatise

1 (1t) Vettii Valentis Anthologiarum liber I. Desunt plura. 〈αʹ. Περὶ τῆς τῶν ἀστέρων φύσεωσ〉. 〈Ὁ〉 μὲν οὖν παντεπόπτης Ἥλιος, πυρώδης ὑπάρχων καὶ φῶς νοερόν, ψυχικῆς αἰσθήσεως ὄργανον, σημαίνει μὲν ἐπὶ γενέσεως βασιλείαν, ἡγεμονίαν, νοῦν, φρόνησιν, μορφήν, κίνησιν, ὕψος τύχης, θεῶν χρηματισμόν, κρίσιν, δημοσίωσιν, πρᾶξιν, προστασίαν ὀχλικήν, πατέρα, δεσπότην, φιλίαν, ἔνδοξα πρόσωπα, τιμὰς εἰκόνων ἀνδριάντων στεμμάτων, ἀρχιερατείας πατρίδος, ** τόπων· τῶν δὲ τοῦ σώματος μερῶν κυριεύει κεφαλῆς αἰσθητηρίων, ὀφθαλμοῦ δεξιοῦ, πλευρῶν καρδίας, πνευματικῆς ἤτοι αἰσθητικῆς κινήσεως, νεύρων· οὐσίας δὲ χρυσοῦ, καρπῶν δὲ σίτου καὶ κριθῶν· ἐστὶ δὲ τῆς ἡμερινῆς αἱρέσεως, τῇ μὲν χρόᾳ κίτρινος, τῇ δὲ γεύσει δριμύς. 〈Ἡ〉 δὲ Σελήνη γενομένη μὲν ἐκ τῆς ἀντανακλάσεως τοῦ ἡλιακοῦ φωτὸς καὶ νόθον φῶς κεκτημένη σημαίνει μὲν κατὰ γένεσιν ἀνθρώποις ζωήν, σῶμα, μητέρα, σύλληψιν, 〈μορφήν〉, πρόσωπον, θέαν, συμβίωσιν ἤτοι γάμον νομικόν, τροφόν, ἀδελφὸν μείζονα, οἰκουρίαν, βασίλισσαν, δέσποιναν, χρήματα, τύχην, πόλιν, ὄχλων συστροφήν, λήμματα, ἀναλώματα, οἰκίαν, πλοῖα, ξενιτείας, πλάνας· οὐ γὰρ εὐθείας παρέχει διὰ τὸν Καρκίνον. τῶν δὲ τοῦ σώματος μερῶν κυριεύει ὀφθαλμοῦ ἀριστεροῦ, στομάχου, μαζῶν, φύσης, σπληνῶν, μηνίγγων, μυελοῦ, ἔνθεν καὶ ὑδρωπικοὺς ἀποτελεῖ· οὐσίας δὲ ἀσήμου καὶ ὑέλου. ἐστὶ δὲ τῆς νυκτερινῆς αἱρέσεως, τῇ μὲν χρόᾳ πράσινος, τῇ δὲ γεύσει ἁλμυρά. 〈Ὁ〉 δὲ τοῦ Κρόνου ποιεῖ μὲν τοὺς ὑπ' αὐτὸν γεννωμένους μικρολόγους, βασκάνους, πολυμερίμνους, ἑαυτοὺς καταρρίπτοντας, μονοτρόπους, τυφώδεις, ἀποκρύπτοντας τὴν δολιότητα, αὐστηρούς, κατανενευκότας, ὑποκρινομένην τὴν ὅρασιν ἔχοντας, αὐχμηρούς, μελανοείμονας, προσαιτητικούς, καταστύγνους, κακοπαθεῖς, πλαστικούς, πάρυγρα πράσσοντας.

2 ποιεῖ δὲ καὶ ταπεινότητας, νωχελίας, ἀπραξίας, ἐγκοπὰς τῶν πρασσομένων, πολυχρονίους δίκας, ἀνασκευὰς πραγμάτων, κρυβάς, συνοχάς, δεσμά, πένθη, καταιτιασμούς, δάκρυα, ὀρφανίας, αἰχμαλωσίας, ἐκθέσεις· γεηπόνους δὲ καὶ γεωργοὺς ποιεῖ διὰ τὸ τῆς γῆς αὐτὸν κυριεύειν, μισθωτάς τε κτημάτων καὶ τελώνας καὶ βιαίους πράξεις ἀποτελεῖ, δόξας περιποιεῖ μεγάλας καὶ τάξεις ἐπισήμους καὶ ἐπιτροπείας καὶ ἀλλοτρίων διοικητὰς καὶ ἀλλοτρίων τέκνων πατέρας. οὐσίας δὲ κυριεύει μολύβδου, ξύλων καὶ λίθων· τῶν δὲ τοῦ σώματος μελῶν κυριεύει σκελῶν, γονάτων, νεύρων, ἰχώρων, φλέγματος, κύστεως, νεφρῶν καὶ τῶν ἐντὸς ἀποκρύφων. σινῶν δὲ δηλωτικὸς ὅσα συνίσταται ἐκ ψύξεως καὶ ὑγρότητος, οἷον ὑδρωπικῶν, νεύρων ἀλγηδόνων, ποδάγρας, βηχός, δυσεντερίας, κηλῶν, σπασμῶν, παθῶν δὲ δαιμονισμοῦ,

κιναιδίας, ἀκαθαρσίας. ποιεῖ δὲ καὶ ἀγάμους καὶ χηρείας, ὀρφανίας, ἀτεκνίας. τοὺς δὲ θανάτους ἀποτελεῖ βιαίους ἐν ὕδατι ἢ δι' ἀγχόνης ἢ δεσμῶν ἢ δυσεντερίας. ποιεῖ δὲ καὶ πτώσεις ἐπὶ στόμα. ἐστὶ δὲ Νεμέσεως ἀστὴρ καὶ τῆς ἡμερινῆς αἱρέσεως, τῇ μὲν χρόᾳ καστορίζων, τῇ δὲ γεύσει στυφός. 〈Ὁ〉 δὲ τοῦ Διὸς σημαίνει τέκνωσιν, γονήν, ἐπιθυμίαν, ἔρωτας, συστάσεις, γνώσεις, φιλίας μεγάλων ἀνδρῶν, εὐπορίας, ὀψώνια, δωρεὰς μεγάλας, καρπῶν εὐφορίας, δικαιοσύνην, ἀρχάς, πολιτείας, δόξας, προστασίας ἱερῶν, μεσιτείας κρίσεων, πίστεις, κληρονομίας, ἀδελφότητα, κοινωνίαν, εἰσποίησιν, ἀγαθῶν βεβαίωσιν, κακῶν ἀπαλλαγήν, δεσμῶν λύσιν, ἐλευθερίαν, παρακαταθήκην, χρήματα, οἰκονομίας. τῶν δὲ τοῦ σώματος μελῶν κυριεύει τῶν μὲν ἐκτὸς μηρῶν, ποδῶν, ὅθεν καὶ δρόμον 〈ἐν〉 ταῖς ἀθλήσεσι παρέχεται, τῶν δὲ ἐντὸς σπορᾶς, μήτρας, ἥπατος, δεξιῶν μερῶν. οὐσίας δὲ κυριεύει κασσιτέρου. ἐστὶ δὲ τῆς ἡμερινῆς αἱρέσεως, τῇ μὲν χρόᾳ φαιὸς καὶ μᾶλλον λευκός, τῇ δὲ γεύσει γλυκύς. 〈Ὁ〉 δὲ τοῦ Ἄρεος σημαίνει βίας, πολέμους, ἁρπαγάς, κραυγάς, ὕβρεις, μοιχείας, ἀφαιρέσεις ὑπαρχόντων, ἐκπτώσεις, φυγαδείας, γονέων ἀπαλλοτριώσεις, αἰχμαλωσίας, φθορὰς γυναικῶν, ἐμβρυοτομίας, συνηθείας, γάμους, ἀγαθῶν ἀφαιρέσεις, ψεύσματα, κενὰς ἐλπίδας, βιαίους κλοπάς, λῃστείας, συλήσεις, διακοπὰς φίλων, ὀργήν, μάχην, λοιδορίαν, ἔχθρας, δίκας· ἐπάγει δὲ καὶ φόνους βιαίους καὶ τομὰς καὶ αἱμαγμούς, πυρετῶν ἐπιφοράς, ἑλκώσεις, ἐξανθήματα, ἐμπρησμούς, δεσμά, βασάνους, ἀρρενότητα, ἐπιορκίαν, πλάνην, πρεσβείας ἐπὶ κακοῖς, καὶ διὰ πυρὸς ἢ διὰ σιδήρου πράσσοντας, χειροτέχνας, σκληρουργούς.

3 ποιεῖ δὲ καὶ ἀρχὰς στρατείας καὶ πολεμάρχας, ὁπλιστάς, ἡγεμονείας, κυνηγεσίας, θήρας, πτώσεις ἀπὸ ὕψους ἢ τετραπόδων, ἐπισκιασμούς, ἀποπληξίας. τῶν δὲ τοῦ σώματος μερῶν κυριεύει κεφαλῆς, ἕδρας, μορίου, τῶν δὲ ἐντὸς αἵματος, σπερματικῶν πόρων, χολῆς, σκυβάλων ἐκκρίσεως, ὀπισθίων μερῶν, ἀναποδισμοῦ, ὑπτιασμοῦ. ἔχει δὲ καὶ τὸ σκληρὸν καὶ ἀπότομον. οὐσίας δὲ κυριεύει σιδήρου καὶ κόσμου ἱματίων διὰ τὸν Κριὸν καὶ οἴνου καὶ ὀσπρίων. ἐστὶ δὲ τῆς νυκτερινῆς αἱρέσεως, τῇ μὲν χρόᾳ ἐρυθρός, τῇ δὲ γεύσει πικρός. 〈Ἡ〉 δὲ Ἀφροδίτη ἐστὶ μὲν ἐπιθυμία καὶ ἔρως, σημαίνει δὲ μητέρα καὶ τροφόν· ποιεῖ δὲ ἱερωσύνας, γυμνασιαρχίας, χρυσοφορίας, στεμματοφορίας, εὐφροσύνας, φιλίας, ὁμιλίας, ἐπικτήσεις ὑπαρχόντων, ἀγορασμοὺς κόσμου, συναλλαγὰς ἐπὶ τὸ ἀγαθόν, γάμους, τέχνας καθαρίους, εὐφωνίας, μουσουργίας, ἡδυμελείας, εὐμορφίας, ζωγραφίας, χρωμάτων κράσεις καὶ ποικιλτικήν, πορφυροβαφίαν καὶ μυρεψικήν, τούς τε τούτων προπάτορας ἢ καὶ κυρίους, τέχνας ἢ ἐμπορίας ἐργασίας σμαράγδου τε καὶ λιθείας, ἐλεφαντουργίας· οὓς δὲ χρυσονήτας, χρυσοκοσμήτας, κουρεῖς, φιλοκαθαρίους καὶ φιλοπαιγνίους αὐτοὺς ἀποτελεῖ παρὰ τὰ τῶν ζῳδίων αὐτῆς ὅρια καὶ τὰς μοίρας. δίδωσι δὲ καὶ ἀγορανομίας, μέτρα, σταθμούς, ἐμπορίας, ἐργαστήρια, δόσεις, λήψεις, γέλωτα, ἱλαρίαν, κόσμον, θήρας ἐξ ὑγρῶν. δίδωσι δὲ καὶ ἐκ βασιλικῶν γυναικῶν ἢ οἰκείων ὠφελίας καὶ δόξας περιποιεῖ περιττάς, συνεργήσασα ἀπὸ τοιούτων πραγμάτων. τῶν δὲ τοῦ σώματος μελῶν κυριεύει τραχήλου, προσώπου, χειλέων, ὀσφρήσεως καὶ τῶν ἐμπροσθίων μερῶν ἀπὸ ποδὸς ἕως κεφαλῆς, συνουσίας μορίων, τῶν δὲ ἐντὸς πνεύμονος. ἐστὶ δὲ καὶ ἑτέρας τροφῆς δεκτικὴ καὶ ἡδονῆς. οὐσίας δὲ κυριεύει λίθων πολυτίμων καὶ ποικίλου [καὶ] κόσμου, καρπῶν δὲ ἐλαίας.

4 ἐστὶ δὲ τῆς νυκτερινῆς αἱρέσεως, τῇ μὲν χρόᾳ λευκή, τῇ δὲ γεύσει ἐλλιπωτάτη. 〈Ὁ〉 δὲ τοῦ Ἑρμοῦ σημαίνει παιδείαν, γράμματα, ἔλεγχον, λόγον, ἀδελφότητα, ἑρμηνείαν, κηρυκείαν, ἀριθμόν, ψῆφον, γεωμετρίαν, ἐμπορίαν, νεότητα, παίγνια, κλοπήν, κοινότητα, ἀγγελίαν, ὑπηρεσίαν, κέρδος, εὑρέματα, ἀκολουθίαν, ἄθλησιν, πάλην, φωνασκίαν, σφραγίζεσθαι, ἐπιστέλλειν, ἱστάναι, κρέμασθαι, δοκιμάζειν, ἀκούειν, ποικιλεύεσθαι. ἐστὶ δὲ δοτὴρ καὶ διανοίας καὶ φρονήσεως, κύριος ἀδελφῶν καὶ τέκνων νεωτέρων καὶ πάσης ἀγοραίου καὶ τραπεζιτικῆς ποιητής· κυρίως δὲ ποιεῖ ἱεροτεύκτας, πλάστας, ἀγαλματογλύφους, ἰατρούς,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γραμματικούς, νομικούς, ῥήτορας, φιλοσόφους, ἀρχιτέκτονας, μουσικούς, μάντεις, θύτας, ὀρνεοσκόπους, ὀνειροκρίτας, πλοκεῖς, ὑφάντας, μεθοδικοὺς καὶ τοὺς ἐπὶ πολεμικῶν ἢ στρατηγικῶν ἔργων προεστῶτας καὶ ἐπιχειροῦντας τὰ παράδοξα καὶ μεθοδικὰ διὰ ψήφων ἢ παραλογισμῶν, ἰσχυροπαίκτας ἢ μιμῳδούς, 〈ἀπὸ〉 ἐπιδείξεως τὸν βίον ποριζομένους, ἔτι δὲ πλάνης καὶ ἀλητείας καὶ ἀκαταστασίας. οὓς δὲ τῶν οὐρανίων ἴδριας ἢ καὶ ἐρευνητὰς γινομένους, διὰ τέρψεως καὶ εὐθυμίας τὸ θαυμαστὸν ἔργον ἐνδοξοκοποῦντας τῆς ὠφελείας χάριν. οὗτος γὰρ ὁ ἀστὴρ πολλῆς μεθόδου δύναμιν ἔχων κατὰ τὰς τῶν ζῳδίων ἐναλλαγὰς ἢ καὶ τὰς τῶν ἀστέρων συμπλοκὰς ἑτεροσχήμονας παρέχει πράξεις, οἷς μὲν εἴδησιν, οἷς δὲ προπωλήν, τισὶ δὲ ὑπηρεσίαν, τοῖς δ' αὖ ἐμπορίαν ἢ διδασκαλίαν περιποιῶν, τισὶ δὲ καὶ γεωργίας ἢ νεωκορίας ἢ δημοσίας 〈ἀρχάσ〉, οἷς δ' αὖ αὐθέντησιν ἢ προμίσθωσιν ἢ ἐργολαβίαν ἢ ἐπίδειξιν [ἢ] ῥυθμικὴν ἢ προεστάναι λειτουργίας ἢ καὶ δορυφορίας ἢ λινοστολίας θεῶν ἢ δυναστῶν τῦφον περιτιθείς. πάντας ἀνωμάλους ταῖς τύχαις καὶ πολυπερισπάστους πρὸς τὰ τέλη ποιήσει, πλέον δὲ τοὺς ἐπὶ κακοποιῶν ζῳδίων ἢ μοίρας αὐτῶν ἔχοντας τὸν ἀστέρα τοῦτον περιτρέπεσθαι πρὸς τὸ χεῖρον ἔτι ποιήσει. τῶν δὲ τοῦ σώματος μερῶν κυριεύει χειρῶν, ὤμων, δακτύλων, ἄρθρων, κοιλίας, ἀκοῆς, ἀρτηρίας, ἐντέρων, γλώσσης. οὐσίας δὲ κυριεύει χαλκοῦ καὶ νομίσματος παντός, δόσεως λήψεως· κοινὸς γὰρ ὁ θεός.

5 Οἱ μὲν οὖν ἀγαθοποιοὶ ἐπιτόπως καὶ καλῶς κείμενοι τὰ ἴδια ἀποτελοῦσι κατά τε τὴν ἰδίαν καὶ τὴν τοῦ ζῳδίου φύσιν, συνεπικιρναμένης τῆς ἑκάστου ἀστέρος μαρτυρίας ἢ συμπαρουσίας. παραπεπτωκότες δὲ ἐναντιωμάτων εἰσὶ δηλωτικοί· ὁμοίως δὲ καὶ οἱ κακοποιοὶ χρηματίζοντες ἐπιτόπως καὶ τῆς αἱρέσεως ἀγαθῶν δοτῆρες καὶ μειζόνων τάξεων καὶ προκοπῶν δηλωτικοί, ἀχρημάτιστοι δὲ ἐκπτώσεις καὶ καταιτιασμοὺς ἀποτελοῦσι. Τούτων δὲ οὕτως διατεταγμένων λεκτέον καὶ περὶ τῆς τῶν ιβʹ ζῳδίων φύσεως. Ἕκαστος δὲ ἀστὴρ ἰδίας ἐστὶ κύριος πρὸς τὸν κόσμον οὐσίας πρός τε συμπάθειαν καὶ ἀντιπάθειαν καὶ ἀλληλοπάθειαν ταῖς τε συγκρατικαῖς ἀλλήλων ὅτε κατὰ συναφὴν καὶ ἀπόρροιαν καὶ καθυπερτέρησιν ἢ καὶ ἐμπερίσχεσιν καὶ δορυφορίαν καὶ ἀκτινοβολίαν καὶ προσφορίαν τῶν δεσποτῶν, Σελήνη μὲν προνοίας, Ἥλιος δὲ αὐγῆς, ἀγνοίας δὲ καὶ ἀνάγκης Κρόνος, δόξης δὲ καὶ στεμμάτων καὶ προθυμίας Ζεὺς κύριος καθέστηκε, πράξεως δὲ καὶ μόχθου ὁ τοῦ Ἄρεως, ἔρωτος δὲ καὶ ἐπιθυμίας καὶ κάλλους ὁ τῆς Ἀφροδίτης, νόμου δὲ καὶ συνηθείας καὶ πίστεως ὁ τοῦ Ἑρμοῦ. οἵτινες ἀστέρες τῶν ἰδίων εἰσὶν ἀποτελεσμάτων. 〈βʹ. Περὶ τῆς τῶν ιβʹ ζῳδίων φύσεωσ〉. 〈Κ〉ριός ἐστιν οἶκος Ἄρεως, ζῴδιον ἀρρενικόν, τροπικόν, χερσαῖον, ἡγεμονικόν, πυρῶδες, ἐλεύθερον, ἀνωφερές, ἡμίφωνον, ἀγαθόν, εὐμετάβολον, διοικικόν, δημόσιον, πολιτικόν, ὀλιγόγονον, λατρῶδες, κόσμου μεσουράνημα καὶ δόξης αἴτιον, δίχρωμον, ἐπεὶ ὁ Ἥλιος καὶ ἡ Σελήνη ποιοῦσιν ἀλφοὺς λιχῆνες· ἐστὶ δὲ καὶ ἀσύνδετον, ἐκλειπτικόν. ἔσονται οὖν οἱ γεννώμενοι ἐν τούτῳ κατὰ τὸν οἰκοδεσποτικὸν λόγον λαμπροί, ἐπίσημοι, ἐπιτακτικοί, δίκαιοι, μισοπόνηροι, ἐλεύθεροι, ἡγεμονικοί, θρασεῖς τῇ γνώμῃ, ἀλαζόνες, μεγαλόψυχοι, ἄστατοι, ἀνώμαλοι, ὑψαύχενες, μετέωροι, ἀπειλητικοί, ταχέως μεταβαλλόμενοι, εὔποροι· τῶν δὲ οἰκοδεσποτῶν καλῶς πεπτωκότων καὶ ὑπὸ ἀγαθοποιοῦ μαρτυρουμένων γίνονται βασιλικοί, ἐξουσιαστικοί, ζωῆς καὶ θανάτου παρρησίαν ἔχοντες.

6 〈Κ〉ριός ἐστι τῇ φύσει ὑδατώδης, βροντώδης, χαλαζώδης· κατὰ μέρος δὲ τὰ πρῶτα μέχρι τοῦ ἰσημερινοῦ ὀμβρώδη, χαλαζώδη, ἀνεμώδη, φθαρτικά· τὰ δὲ μέσα μέχρι ιεʹ μοίρας εὔκρατα 〈καὶ πολύσπορα, τὰ δὲ ἑπόμενα καυσώδη καὶ λοιμικὰ μάλιστα〉 τετραπόδων· ἔχει δὲ λαμπροὺς ἀστέρας τὸ ζῴδιον ιθʹ, καὶ κατὰ τῆς ζώνης λαμπροὺς ιγʹ, λαμπροὺς δὲ κδʹ, σκιεροὺς δὲ κζʹ, καὶ ὑπολάμπρους κηʹ, ἀμαυροὺς δὲ μηʹ· συναναφέρεται δὲ αὐτῷ ἀπὸ τῶν ἀρκτῴων τὰ πρῶτα Περσέως, τὰ λειπόμενα καὶ τὰ ἀριστερὰ τοῦ Ἡνιόχου, νοτόθεν δὲ τοῦ Κήτους ἡ λοφιὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ ἡ οὐρά, βορρόθεν δὲ δύνουσιν Ἀρκτοφύλακος πόδες, νοτόθεν δὲ τοῦ Θηρίου τὸ λειπόμενον. Ἐστὶ δὲ Κριῷ ὑποτεταγμένα κλίματα τάδε· ἐμπρόσθια, Βαβυλωνία· κεφαλή, Ἐλυμαΐς· δεξιά, Περσίς· ἀριστερά, Συρία κοίλη καὶ οἱ συνεχεῖς τόποι· κατὰ τὴν ἐπιστροφὴν τοῦ προσώπου, Βαβυλωνία· κατὰ τὸ στῆθος Ἀρμενία· ὑπὸ τοὺς ὤμους Θρᾴκη· κατὰ τὴν κοιλίαν Καππαδοκία καὶ Σουσία καὶ Ἐρυθρὰ θάλασσα καὶ ἡ Ῥυπαρά· ὀπίσθια, Αἴγυπτος καὶ ὁ Περσικὸς ὠκεανός. 〈Τ〉 αῦρός ἐστι θηλυκόν, στερεόν, κείμενον ἐν τῇ ἐαρινῇ τροπῇ, ὀστῶδες, μελοκοπούμενον, ἀνατέλλον ἐκ τῶν ὀπισθίων, δῦνον δὲ ὀρθόν· οὗτος πλεῖστον μέρος ἐν τῷ ἀφανεῖ κόσμῳ κεῖται. ἔστι δὲ εὐδιεινόν. τὰ δὲ κατὰ μέρος ἀπὸ μοίρας α′ ἕως ε′ τὸν περὶ τὰς Πλειάδας τόπον ἐπέχει εὐτελῆ καὶ φθαρτικόν, λοιμικόν, βροντοποιόν, σεισμώδη, κεραυνοποιόν, ἀστραπὰς γεννῶντα· αἱ δὲ ἑξῆς β′ μοῖραι πυρώδεις, ὁμιχλώδεις. τὰ 〈δὲ〉 δεξιὰ πρὸς τῷ Ἡνιόχῳ εὔκρατα, ψυχικά. τὰ δὲ ἀριστερὰ εὐτελῆ, κινητικά, ποτὲ δὲ καὶ ψυχοποιά, ποτὲ δὲ καυματώδη. ἡ δὲ κεφαλὴ μέχρι μοίρας κγ′ 〈ἐν〉 ἀέρι εὐκράτῳ, λοιμοποιὸς δὲ καὶ φθαρτικὴ ζῴων· τὰ δὲ ἐχόμενα φθαρτικά, εὐτελῆ, λοιμώδη. ἀστέρας δὲ ἔχει κζ′, βορρόθεν συνανατέλλοντα τὰ λειπόμενα τοῦ Ἡνιόχου, τὰ λοιπὰ νοτόθεν τοῦ Κήτους καὶ τὰ πρῶτα τοῦ Ποταμοῦ.

7 Ἀφροδίτης, Σελήνης, Δήμητρος, ἔτι Ἄρεως, Ἑρμοῦ. βορρόθεν δύνει Ἀρκτοφύλαξ ἄχρι τῆς ζώνης καὶ 〈αἱ κνῆμαι〉 τοῦ Ὀφιούχου ἄχρι τῶν γονάτων, νοτόθεν δὲ 〈συνανατέλλει〉 ὁ Ὠρίων ξίφος ἔχων ἐν τῇ δεξιᾷ χειρὶ ἀνατετακώς, τῇ εὐωνύμῳ κατέχει τὸ λεγόμενον Κηρύκειον, ἐζωσμένος κατὰ μέσον τοῦ σώματος. ἐστὶ δὲ τὸ ζῴδιον κόσμου περιποιητικόν, γεῶδες, χωρικόν, γεωργικόν, δουλελεύθερον, κατωφερές, ὀλιγόγονον, ἡμίφωνον καὶ ἄφωνον, ἀγαθόν, ἀμετάβολον, ἐργαστικόν, ἀτελές, σημαῖνον περὶ θεμελίων, κτημάτων. κεῖται δὲ ὁ ἐκλειπτικὸς τόπος ἐν τῷ βορρᾷ κατὰ τὸ ὕψος ἀνατέλλων. οἱ δὲ γεννώμενοι ἔσονται ἀγαθοί, ἐργαστηριακοί, πονικοί, συντηρητικοί, φιλήδονοι, φιλόμουσοι, εὐμετάδοτοι, τινὲς δὲ γεηπόνοι, καταφυτεύοντες, κτίζοντες· ἐὰν δέ πως καὶ ἀγαθοποιοὶ προσνεύσωσι τῷ τόπῳ ἢ καὶ ὁ οἰκοδεσπότης καλῶς πέσῃ, γίνονται ἀρχιερεῖς, γυμνασίαρχοι, στεμμάτων καὶ πορφύρας καταξιούμενοι εἰκόνων τε καὶ ἀνδριάντων, ἱερῶν προεστῶτες, ἐπίσημοι, λαμπροί. Ἐστὶ δὲ τὰ ὑποτεταγμένα κλίματα· κατὰ τὴν κεφαλὴν Μηδία καὶ οἱ συνεχεῖς τόποι· 〈τῷ δὲ στήθει Βαβυλωνία· τὰ πρὸς τῷ Ἡνιόχῳ δεξιά, Σκυθία〉 · ἡ Πλειάς, [ἡ] Κύπρος· τὰ ἀριστερά, Ἀραβία καὶ οἱ πέριξ τόποι· κατὰ τοὺς ὤμους Περσὶς καὶ τὰ Καυκάσια ὄρη, ὑπὸ τὸ κύρτωμα ἄρχονται· ὑπὸ τὴν ὀσφὺν Αἰθιοπία· ὑπὸ τὸ μέτωπον Ἐλυμαΐς· ὑπὸ τὰ κέρατα Καρχηδονία· μέσοις μέρεσιν Ἀρμενία, Ἰνδική, Γερμανία. Δίδυμοί εἰσιν ἀρσενικοί, δίσωμοι, εὔφωνοι, οἶκος Ἑρμοῦ, ἀνωφερεῖς, ἀερώδεις, θηλυνόμενοι, δουλελεύθεροι, στειρώδεις, δημόσιοι· οἱ οὖν γεννώμενοι γίνονται φιλόλογοι, γράμματα καὶ παιδείαν ἀσκοῦντες, ποιητικοί, φιλόμουσοι, φώνασκοι, οἰκονομικοί, πίστεις ἀναδεχόμενοι· γίνονται δὲ καὶ ἑρμηνεῖς, ἐμπορικοί, κριτικοὶ κακῶν καὶ ἀγαθῶν, φρόνιμοι, περίεργοι, ἀποκρύφων μύσται. καὶ ὅσα ποτὲ ὁ οἰκοδεσπότης εἴωθεν ἀποτελεῖν κατὰ τὴν ἰδίαν φύσιν ἤτοι ἀγαθὰ ἢ φαῦλα ἢ ἥττονα ἢ μείζονα, ταῦτα καὶ ἓν ἕκαστον τῶν ζῳδίων ἀποτελέσει κατὰ τὴν τοῦ οἰκοδεσπότου σχηματογραφίαν χρηματιστικὴν ἢ ἀχρημάτιστον, ἵνα μὴ δοκῶμεν τὰ αὐτὰ γράφειν.

8 εἰσὶ δὲ καὶ εὐδιεινοί· κατὰ μέρος δὲ αἱ γ′ μοῖραι εὐτελεῖς, φθαρτικαί· ἀπὸ γ′ ἕως ζ′, εὔυγρα· εὐκρασία δέ ἐστιν ἀπὸ μοίρας ζ′ ἕως ιε′· 〈τὰ〉 νότια εὔυγρα· τὰ δὲ ἔσχατα μεμιγμένα· ἀστέρας δὲ ἔχει κα′. κεῖται δὲ ἐν ἀνέμῳ λιβί. πρόσκειται δὲ αὐτῷ κατὰ τὰ Σφαιρικὰ κατά τι μέρος τῶν νοτίων ψαύουσα οὐρὰ Κήτους, ἐκ δὲ 〈τῶν〉 κατὰ τὸν νότιον τυγχανόντων μερῶν ἔσω τῆς νοτίου γραμμῆς ἐστι Σάτυρος ψαύων τῷ ῥοπάλῳ, ἐκ δὲ τῶν βορείων αὐτοῦ μερῶν ὀπισθοφανὴς ὑπάρχει, οὗ ἡ δορά. εἰς τὸ νότιον μέρος ἡ Λύρα κεῖται. ἐπιβέβηκε δὲ αὐτὸς τῇ νοτίῳ γραμμῇ, μέσος ὢν βορρᾶ τε καὶ νότου. ὑπὸ δὲ τοὺς πόδας αὐτοῦ 〈ἐπὶ〉 τῆς νοτίου

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γραμμῆς κατὰ τὸν ἡμῖν ἐμφανῆ κόσμον ἐστὶν ὁ λεγόμενος Κύων πρὸ τοῦ δεξιοῦ ποδός, τέμνεται δὲ ἀπὸ νοτίου πόλου ἀπὸ τῶν ὀπισθίων ἄχρι τῆς κεφαλῆς, συναναβαίνων τῷ πόλῳ ὀρθῶς. παρανατέλλει δὲ νοτόθεν καὶ τοῦ Ποταμοῦ τὸ λοιπὸν καὶ Ὠρίων. σύνεισι δὲ αὐτοῖς θεοὶ Ἀπόλλων, Ἡρακλῆς, Ἥφαιστος, Ἥρα, Κρόνος· βορρόθεν δὲ δύνει Ἀρκτοφύλαξ, Ὀφιοῦχος πλὴν τῆς κεφαλῆς καὶ τοῦ Στεφάνου τὸ ἥμισυ. Ἔστι δὲ Διδύμοις ὑποτεταγμένα κλίματα τάδε· ἐμπρόσθια, Ἰνδικὴ καὶ οἱ συνεχεῖς τόποι καὶ Κελτική· στῆθος, Κιλικία, Γαλατία, Θρᾴκη καὶ [ἡ] Βοιωτία. μέσα, Αἴγυπτος, Λιβύη, Ῥωμαῖοι, Ἀραβία, Συρία. 〈Κ〉 αρκίνος εὐδιεινός· κατὰ μέρος δὲ ἐπὶ τοὺς δύο ἀστέρας τοὺς πρώτους νοταπηλιωτικοὺς εὐτελής, φθαρτικός, πνιγώδης, σεισμοποιός· ἀπὸ δὲ τούτων μέχρι μοίρας ι′ ποιεῖ τὸν ἀέρα κάθυγρον, καυματώδη, ἔχοντα καταφορὰν ὑδάτων καὶ συνεχεῖς ὄμβρους· τὰ δεξιὰ εὐτελῆ καὶ φθαρτικά. νοτόθεν συνανατέλλει Λαγωὸς καὶ τοῦ Κυνὸς τὰ ἐμπρόσθια καὶ ὁ Προκύων. ἀστέρας δὲ ἔχει δ′. Ἄρεως, Ἑρμοῦ, Διός, Πανός, Ἀφροδίτης. βορρόθεν δύνει Ἀρκτοφύλακος κεφαλὴ καὶ ὁ Ἐνγόνασι καὶ Ἀετὸς καὶ Στεφάνου τὸ ἥμισυ. ἐστὶ δὲ οἶκος Σελήνης, θηλυκόν, τροπικόν, ὡροσκόπος κόσμου, δοῦλον, κατωφερές, ἄφωνον, ὑδατῶδες, ἀγαθόν, εὐμετάβολον, δημόσιον, ὀχλικόν, πολιτικόν, πολύγονον, ἀμφίβιον.

9 οἱ οὖν γεννώμενοι ἔσονται φιλόδοξοι, ὀχλικοί, πολυμετάβολοι, θεατρικοί, εὐφραντικοί, εὐφθαρτικοί, φιλήδονοι, φιλοσυνέστιοι, δημόσιοι. τῇ δὲ γνώμῃ ἄστατοι, ἄλλα λέγοντες ἄλλα φρονοῦντες, ἐπὶ μιᾶς πράξεως ἢ τὸ πολὺ δύο μὴ μένοντες, ἐν πλάναις καὶ ξενιτείαις γινόμενοι. Ἐστὶ τῷ Καρκίνῳ ὑποτεταγμένα τάδε· ἐμπρόσθια, Βακτριανή· ἀριστερά, Ζάκυνθος, Ἀκαρνανία· ὀπίσθια, Αἰθιοπία, Σχίνη. κατὰ τὴν κεφαλὴν Μαιῶτις λίμνη καὶ τὰ περιοικοῦντα ἔθνη [καὶ] τῇ Ἐρυθρᾷ καὶ Ὑρκανίᾳ θαλάσσῃ καὶ Ἑλλήσποντος καὶ Λιβυκὸν πέλαγος καὶ Βρετανικὴ καὶ ἡ Θούλη νῆσος· κατὰ τοὺς πόδας Ἀρμενία, Καππαδοκία, Ῥόδος, Κῶς· κατὰ δὲ τὰ ἔσχατά ἐστι τοῦ Καρκίνου ἐπὶ τοῦ στόματος Τρωγλοδυτία, Ἰωνία, Ἑλλήσποντος. 〈Λ〉 έων ἐστὶν ἀρρενικόν, οἶκος Ἡλίου, ἐλεύθερον, πυρῶδες, εὔκρατον, νοερόν, βασιλικόν, ἑδραῖον, ἀγαθόν, ἀνωφερές, εὐμετάβολον, στερεόν, ἡγεμονικόν, πολιτικόν, ἀρκτικόν, ὀργίλον. οἱ οὖν γεννώμενοι ἐπίσημοι, ἀγαθοί, ἀμετάβλητοι, δίκαιοι, μισοπόνηροι, ἀνυπότακτοι, κολακείας μισοῦντες, εὐεργετικοί, παρεπηρμένοι ταῖς διανοίαις. ἐὰν δὲ καὶ ὁ οἰκοδεσπότης ἐπίκεντρος τύχῃ ἢ καὶ σὺν ἀγαθοποιοῖς, γίνονται λαμπροί, ἔνδοξοι, τυραννικοί, βασιλικοί. ἐστὶ δὲ καυματώδης, ὁ δὲ ἐν τῷ στήθει λαμπρὸς πυρώδης καὶ πνιγώδης, ἔχει δὲ 〈τὰ〉 κατὰ μέρος μέχρι 〈μοίρασ〉 κ′ πνιγώδη, λοιμικὰ τετραπόδων τοῖς ὑποκειμένοις κλίμασι καὶ τόποις, τὰ δεξιὰ κινητικά, πυρώδη, τὰ δὲ νότια εὔυγρα [πυρώδη], τὰ δὲ κατωτέρω ὀλέθρια πρὸς πάντα, τὰ δὲ μέσα καὶ ἀριστερὰ εὔκρατα. ἀστέρας δὲ ἔχει ὁ Λέων ** . κατὰ δὲ τὰ Σφαιρικὰ βορρόθεν συνανατέλλει ὁ ἀριστερὸς βραχίων τοῦ Ἀρκτοφύλακος, νοτόθεν πρύμνα Ἀργοῦς καὶ τοῦ Κυνὸς τὸ λοιπὸν καὶ τῆς Ὕδρας, ἧς ἡ μὲν οὐρὰ παράκειται ἄχρι τῆς χηλῆς τοῦ 〈Σκορπίου, ἡ δὲ κεφαλὴ ἄχρι τῆς χηλῆς τοῦ〉 Καρκίνου. ἐπάνω δὲ αὐτοῦ ἐφέστηκεν Ἄρκτος ἡ μικρά, κατὰ δὲ τὴν γραμμὴν παρατείνει κεφαλὴ τοῦ Δράκοντος, ἣν βαστάζει Ὀφιοῦχος [μέχρι τοῦ Κρατῆρος].

10 βορρόθεν δέ ἐστι Δελφίν, Λύρα, τὸ Ζεῦγμα, Ὄρνις πλὴν τοῦ λαμπροῦ ἀστέρος κατὰ τὸ ὀρθοπύγιον αὐτοῦ καὶ τοῦ Ἵππου ἡ κεφαλή. Ἔστι δὲ τῷ Λέοντι ὑποτεταγμένα κλίματα· ἐν τῇ κεφαλῇ μὲν Κελτικὴ καὶ οἱ συνεχεῖς τόποι· ἐμπρόσθια, Βιθυνία· δεξιά, Μακεδονία καὶ οἱ συνεχεῖς τόποι· ἀριστερά, Προποντίς· πόδες, Γαλατία· κατὰ τὴν κοιλίαν Κελτική· ὤμοις Θρᾴκη· λαγόσι Φοινίκη, Ἀδρίας, Λιβύη· ἐν τοῖς μέσοις Φρυγία, Συρία· οὐρᾷ Πισινοῦς. 〈Π〉 αρθένος οἶκος Ἑρμοῦ, θηλυκόν, πτερωτόν, ἀνθρωποειδές, τρυφῆρες· σχήματι Δίκης ἑστώς, δίσωμον, στειρῶδες, δουλελεύθερον, ἄγονον, κατωφερές, γεῶδες, κοινόν, ἡμίφωνον καὶ ἄφωνον, σωματικόν, ἀτελές, εὐμετάβολον, ἐργαστηριακόν, διφυές· οἱ δὲ γεννώμενοι ἀγαθοί, αἰδήμονες, μυστικοί, πολυμέριμνοι, ποικίλως τὸν βίον διάγοντες, ἀλλοτρίων χειρισταί, πιστικοί, ἀγαθοὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οἰκονόμοι, γραμματεῖς ἀπὸ λόγων ἢ ψήφων ἀναγόμενοι, ὑποκριτικοί, περίεργοι, ἀποκρύφων μύσται, τὰ πρῶτα ἀναλίσκοντες, ἐν δὲ τοῖς μέσοις εὐποροῦντες. 〈Ζ〉 υγὸς οἶκος Ἀφροδίτης, ἀρρενικόν, τροπικόν, ἀνθρωποειδές, ἀνωφερές, ἀερῶδες, θηλυνόμενον, φωνῆεν, ἀγαθόν, εὐμετάβολον, ὑπαρχόντων μειωτικόν, ὑπόγειον κόσμου, δημόσιον, ἐκλειπτικόν, προεστὸς καρπῶν, οἰνικῶν, ἐλαϊκῶν, μυρεψικῶν, σταθμῶν, μέτρων, ἐργαστηριακῶν. οἱ γεννώμενοι ἀγαθοὶ μὲν καὶ δίκαιοι ἀλλὰ βάσκανοι, ἀλλοτρίων ἀγαθῶν ἐπιθυμηταί, μέτριοι, τὰ πρῶτα κτηθέντα ἀπολλύντες καὶ ἐν ὑψοταπεινώματι γινόμενοι, ἀνωμάλως βιοῦντες, προϊστάμενοι δὲ ἐπὶ μέτρων ἢ σταθμῶν ἢ εὐθηνίας. 〈Σ〉 κορπίος οἶκος Ἄρεως, θηλυκόν, στερεόν, ὑδατῶδες, πολύσπερμον, φθοροποιόν, κατωφερές, ἄφωνον, δουλικόν, ἀμετάβλητον, δυσωδίας αἴτιον, ὑπαρχόντων ἀφαιρετικόν, ἐκλειπτικόν, πολύχουν. οἱ δὲ γεννώμενοι δόλιοι, πονηροί, ἅρπαγες, φονικοί, προδόται, ἀμετάβλητοι, ὑπαρχόντων ἀφαιρετικοί, λαθρεπίβουλοι, κλῶπες, ἐπίορκοι, ἀλλοτρίων ἐπιθυμηταί, συνίστορες φόνων ἢ φαρμακειῶν ἢ κακούργων πραγμάτων, μισοΐδιοι.

11 〈Τ〉 οξότης οἶκος Διός, ἀρρενικόν, πυρῶδες, ἀνωφερές, φωνῆεν, κάθυγρον διὰ τὴν Ἀργώ, ἀγαθόν, πτερωτόν, εὐμετάβολον, δίσωμον, διφυές, αἰνιγματῶδες, ὀλιγόγονον, ἡμιτελές, ἡγεμονικόν, βασιλικόν· οἱ δὲ γεννώμενοι ἀγαθοί, δίκαιοι, μεγαλόψυχοι, κριτικοί, εὐμετάδοτοι, φιλάδελφοι, φιλόφιλοι· τὰ δὲ πρῶτα κτηθέντα μειοῦντες, πάλιν κτώμενοι, ἐχθρῶν καθυπερτεροῦντες, φιλόδοξοι, εὐεργετικοί, ἐπίσημοι, αἰνιγματωδῶς διαπλέκοντες τὰ πράγματα. 〈Α〉 ἰγόκερως οἶκος Κρόνου, θηλυκόν, τροπικόν, γεῶδες, φθοροποιόν, ἄγονον, κατωφερές, κατεψυγμένον, ἄφωνον, δουλικόν, κακῶν αἴτιον, ἀσελγές, λατρευτικόν, αἰνιγματῶδες, διφυές, κάθυγρον, ἡμιτελές, κυρτοειδές, χωλόν, δύσις κόσμου, μόχθων καὶ πόνων δηλωτικόν, λαοξοϊκόν, γεωργικόν. οἱ γεννώμενοι κακοί, ἑτερότροποι, ὑποκρίσει ἀγαθοὶ καὶ ἁπλοῖ, πονικοί, πολυμέριμνοι, ἐπάγρυπνοι, φιλογέλωτες, μεγάλων ἔργων ἐπίβουλοι, δυσαμάρτητοι, εὐμετανόητοι, κακοῦργοι, ψεῦσται, ἐπίψογοι, ἔπαισχροι. ἐστὶ δὲ καὶ εὔκρατος ἐπ' ἀμφότερον· κατὰ μέρος ἔχει δὲ τὰ πρῶτα φθαρτικά, τὰ δὲ δεύτερα κάθυγρα, ὀμβρικά, κινητικά, τὰ δὲ μέσα πυρώδη, τὰ δὲ ἔσχατα φθαρτικά. ἀστέρας δὲ ἔχει *** . κατὰ 〈τὰ〉 Σφαιρικὰ βορρόθεν ἀνατέλλει Κασσιέπεια 〈καὶ τὰ〉 δεξιὰ μέρη τοῦ Ἵππου· νοτόθεν δύνει τὰ ὀπίσθια τοῦ Κενταύρου καὶ τὰ σκέλη τῆς Ὕδρας ἄχρι τοῦ Κρατῆρος. εἰσὶ δὲ θεοί· Ἀφροδίτη, Σελήνη, Δημήτηρ, Ἑρμῆς. βορρόθεν οὐδέν ἐστιν. Ἔστι δὲ τῷ Αἰγόκερῳ ὑποτεταγμένα κλίματα τάδε, πρὸς ἑσπέραν καὶ μεσημβρίαν πάντα. κατὰ τὰς πλευρὰς Αἰγαῖον πέλαγος καὶ οἱ περιοικοῦντες καὶ Κόρινθος· κατὰ τὴν ζώνην Σικυών· κατὰ τὸν νῶτον θάλασσα Μεγάλη· κατὰ τὴν οὐρὰν Ἰβηρία· κατὰ τὴν κεφαλὴν Τυρρηνικὸν πέλαγος, κατὰ δὲ τὴν κοιλίαν τὰ *** ἐνοικοῦντα ἔθνη. μέση Αἴγυπτος, Συρία, 〈Καρία〉. 〈Ὑ〉 δροχόος ἐστὶν ἐν οὐρανῷ ζῴδιον ἀρρενικόν, στερεόν, ἀνθρωπόμορφον, πάρυγρον, μονογενές· ἐστὶ δὲ ἄφωνον, κατάψυχρον, ἐλεύθερον, ἀνωφερές, θηλυνόμενον, ἀμετάβλητον, κακόν, ὀλιγόγονον, αἴτιον μόχθων τῶν δι' ἀθλήσεως ἢ βασταγμάτων καὶ σκληρουργίας, ἐργαστικόν, δημόσιον· οἱ δὲ γεννώμενοι βάσκανοι καὶ μισοΐδιοι, ἀμετάβλητοι, μονογνώμονες, τυφώδεις, δόλιοι, ἀποκρυπτόμενοι πάντα, μισάνθρωποι, ἄθεοι, κατήγοροι, προδόται δόξης καὶ ἀληθείας, ἐπίφθονοι, μικρολόγοι, ὅτε δὲ εὐμετάδοτοι διὰ τὴν ἔκρυσιν τοῦ ὕδατος, ἀκόλαστοι· ἐστὶ δὲ ὁλοσχερῶς κάθυγρος, καὶ τὰ μὲν μέρη τὰ πρῶτα κάθυγρα, τὰ δὲ ἀνωτέρω πυρώδη, τὰ δὲ κατωτέρω εὐτελῆ καὶ ἀχρεῖα.

12 ἀστέρας ἔχει ** . κατὰ δὲ τὰ Σφαιρικὰ βορρόθεν ἀνατέλλει Ἀνδρομέδας μέρη τινὰ τῶν δεξιῶν καὶ τοῦ Ἵππου τὰ λοιπά. νοτόθεν ὁ νότιος τῶν Ἰχθύων πλὴν τῆς κεφαλῆς. Ἥρας, Ἡρακλέους, Ἡφαίστου, Κρόνου. βορρόθεν δύνει 〈οὐδέν〉. νοτόθεν δὲ τοῦ Κενταύρου τὰ λοιπὰ καὶ τῆς Ὕδρας ἄχρι τοῦ Κόρακος. [εἰσὶ δὲ τῷ Ὑδροχόῳ ὑποτεταγμένα κλίματα τάδε.] κεῖται δὲ τὸ ζῴδιον ἐν ἀνέμῳ λιβί, πρόσκειται δὲ τῷ κλίματι τῷ τῆς Αἰγύπτου καὶ ταῖς πέριξ πόλεσιν, ἐκ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μὲν τῶν νοτίων αὐτοῦ μερῶν ἄχρι Ψελχέως καὶ Δωδεκασχοίνου καὶ Συκαμίνου, ἐκ δὲ τῶν πρὸς λίβα μερῶν ἄχρι τῆς Ἀμμωνιακῆς χώρας καὶ τῶν πέριξ πόλεων, ἐκ δὲ τῶν πρὸς ἀπηλιώτην μερῶν ἄχρι τῆς Ἐρυθρᾶς θαλάσσης κατὰ θίξιν, ἐκ δὲ τῶν βορείων αὐτοῦ ἄχρι Σεβεννύτου τόπων καὶ στόματος Ἡρακλεωτικοῦ. πρόσκειται δὲ αὐτῷ κατὰ τὰ Σφαιρικὰ κατὰ τὸν νότιον πόλον ποταμὸς ὁ καλούμενος Ἠριδανὸς καὶ Ἰχθὺς ὁ μέγας, ψαύων τῆς οὐρᾶς τοῦ Ἰχθύος. ἐν δὲ τοῖς βορεινοῖς τόποις ἔσω τοῦ βορείου πόλου ἐστὶν ὁ λεγόμενος Ὄρνις, ὑπὲρ ὃν Ὀϊστὸς παρατείνει, ὅπου ἡ Ἄρκτος ἡ λεγομένη Κυνόσουρα ἀποβλέπουσα εἰς βορρᾶν. Πρόσκειται δὲ αὐτῷ κλίματα τάδε· ἐμπρόσθια, Συρία· μέσα, Εὐφράτης καὶ Τίγρις, Αἴγυπτος καὶ Λιβύη καὶ οἱ συνεχεῖς Αἰγυπτίων ποταμοὶ καὶ Ἰνδὸς ποταμός· κατὰ δὲ τὸ μέσον τῆς Κάλπης Τάναϊς καὶ οἱ λοιποὶ ποταμοὶ ἐκ τοῦ ὑπὸ τοὺς πόδας ῥέοντες πρὸς νότον καὶ ζέφυρον. 〈Ἰ〉 χθύες εἰσὶν ἐν οὐρανῷ θῆλυ, κάθυγρον, πάρυγρον, δίσωμον, πολύγονον, λιχνῶδες, λεπιδωτόν, νευρῶδες, κυρτωτόν, ἀλφῶδες, δίμορφον, ἄφωνον, πολυκίνητον, λεπρῶδες, ἀντικείμενον ἑαυτῷ διὰ τὸ τὸν μὲν νότιον εἶναι, τὸν δὲ βόρειον· ἐστὶ δὲ καὶ κάθυγρον, κατωφερές, δουλικόν, εὐμετάβολον, πολύγονον, δίσωμον, συνουσιαστικόν, μελοκοπούμενον, πλάνης αἴτιον, ποικίλον· οἱ οὖν γεννώμενοι ἄστατοι, ἀμφίβολοι, ἐκ κακῶν εἰς ἀγαθὰ μεταβάλλοντες, ἐρωτικοί, λατρευτικοί, ἀσελγεῖς, πολύγονοι, ὀχλικοί.

13 εἰσὶ δὲ ὁλοσχερῶς ψυχεινοί, πνευματώδεις· κατὰ μέρος δ’ ἔχουσι τὰ πρῶτα εὔκρατα, μέσα κάθυγρα, ἔσχατα φθαρτικὰ καὶ εὐτελῆ. ἀστέρας δὲ ἔχει ** . βορρόθεν συνανατέλλει τὰ λειπόμενα τῆς Ἀνδρομέδας καὶ τὰ λοιπὰ τοῦ Περσέως, τὰ δὲ ἐν δεξιῷ καὶ τὸ ὑπὸ τὸν Κριὸν Τρίγωνον, νοτόθεν τοῦ νοτίου Ἰχθύος 〈ἡ〉 κεφαλή. Ποσειδῶνος, Ἄρεως, Ἑρμοῦ, Ἀφροδίτης, Διός. νοτόθεν δύνει Θυμιατήριον καὶ τὰ λειπόμενα τῆς Ὕδρας, βορρόθεν οὐδέν. πρόσκειται δὲ ἀνέμῳ βορρᾷ. πρόσκειται δὲ κλίματι τῆς Ἐρυθρᾶς θαλάσσης, ἔχον νήσους οὐκ ὀλίγας παρ’ ἑαυτό, ἃς ὑπέρκειται ἡ Ἰνδία καὶ ὁ λεγόμενος Ἰνδικὸς ὠκεανός· ἐν δὲ τοῖς ἀπηλιωτικοῖς αὐτοῦ μέρεσι τὴν Παρθίαν ἔχει καὶ τὴν Ἰνδικὴν χώραν κατὰ θίξιν καὶ τὸν Ἀπηλιωτικὸν ὠκεανόν, ἐκ τῶν βορείων αὐτοῦ μερῶν τὴν Σκυθικὴν χώραν· ἐκ δὲ τῶν πρὸς λίβα αὐτοῦ μερῶν ψαύει προσκλύζον Μυοσόρμου, Ὀρθοῦ ὅρμου καὶ τῶν πέριξ πόλεων. πρόσκειται δὲ αὐτοῖς κατὰ τὰ Σφαιρικὰ πρὸς μὲν τὰ βόρεια μέρη τεμνόμενος ὑπὸ τοῦ βορείου πόλου Ἀετὸς καὶ κατά τι μέρος Ὀϊστός, ἔσω δὲ τοῦ βορείου πόλου, οὐ πολὺ διεστώς, ἔστι ὁ καλούμενος Πήγασος ἔσω τοῦ ἀρκτικοῦ πόλου. Ἀφέστηκε δὲ τῶν ἄλλων τμημάτων ὁ ἀρκτικὸς πόλος ἐν μέσῳ τῶν πάντων κείμενος, ἔχων ἐν ἑαυτῷ τὴν Ἄρκτον τὴν λεγομένην Κυνόσουραν, φερομένην ἀπὸ τῶν βορείων ἐπὶ τὰ ἀπηλιωτικά, ποτὲ δὲ καὶ ἀπὸ τῶν νοτίων, τὴν δὲ ἑτέραν, τὴν καλουμένην μικρὰν Ἄρκτον, ἥτις μεσαζούσης τῆς νυκτὸς ἀνατέλλει, ἃς κατέχει ὁ καλούμενος Ἀρκτοφύλαξ περίτασιν φέρων κατὰ τοῖν δυεῖν ἄρκτοιν· ὅς ἐστιν ἀφανὴς κατὰ τὴν ἀνάδοσιν τῶν δύο Ἄρκτων· ἡ μὲν γὰρ εἰς τὰ βόρεια ἀποβλέπει, ὁ δὲ εἰς τὰ νότια.

14 Εἰσὶ δὲ καὶ κατὰ μέρος ὑποτεταγμένα κλίματα τάδε. ἐμπρόσθια, Εὐφράτης καὶ Τίγρις. μέσα, Συρία, Ἐρυθρὰ θάλασσα· [τὰ ἐμπρόσθια] Ἰνδικὴ μέση, Περσὶς καὶ οἱ συνεχεῖς τόποι, Ἀραβικὴ θάλασσα καὶ Ἐρυθρὰ καὶ Βορυσθένης ποταμός. οὐρά, ...... ............ ὁ δὲ σύνδεσμος πρὸς ἀνατολὴν καὶ ἀπηλιώτου βορείου ἀστέρος· ὁ νότιος, Θράκη, μέσον πέλαγος Βορυσθένης καὶ Ἀσία καὶ Σαρδώ. 〈γ′. Περὶ ὁρίων〉 . 〈Π〉 εντήκοντα Κριὸς καὶ μοῖραι πρῶται Διός εἰσιν, εὔκρατοι, εὔρωστοι, πολύσπερμοι, ἀγαθοποιοί· αἱ δὲ ς′ Ἀφροδίτης, ἱλαραί, εὔτεχνοι, διαυγεῖς, ἄρτιοι, καθαροί, εὔχροοι. αἱ δὲ ἐχόμεναι Ἑρμοῦ ἐπαμφοτερίζουσαι, μεταβολικαὶ καὶ εὐφυεῖς, ἀκίνητοι, ἀνεμώδεις χαλαζώδεις βροντώδεις κεραυνοβόλοι. αἱ δὲ ε′ Ἄρεος φθοροποιοὶ διάπυροι ἄστατοι ἀνθρώπων κακούργων προπετῶν καὶ ** αἱ δὲ ἑξῆς ε′ Κρόνου κατάψυχροι στειρώδεις βάσκανοι ἐπισινεῖς. Ταύρου δὲ αἱ μὲν πρῶται η′ Ἀφροδίτης πολύσπερμοι πολύγονοι ὑγραὶ καταφερεῖς ἔλεγχοι μεσωνικώτεραι. αἱ δὲ ἑξῆς ς′ Ἑρμοῦ συνεταὶ φρόνιμοι κακοῦργοι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὀλιγόσποροι κακόψιδες θανατοποιαί. αἱ δὲ ἑξῆς η′ Διὸς μεγαλόφρονες ἔπανδροι εὐερμεῖς ἀρχοντικαὶ καὶ εὐεργετικαὶ μεγαλόψυχοι εὔκρατοι φιλαιδεῖς. αἱ δὲ τέταρται ε′ Κρόνου κατάστειροι ἄγονοι εὐνουχικαὶ ἀγυρτικαὶ ἐπίψογοι θεατρώδεις ἀνεύφραντοι ἐπίμοχθοι. αἱ δὲ ἐπὶ πᾶσι γ′ Ἄρεως ἀρρενικαὶ τυραννικαὶ πυρώδεις χαλεπαὶ φονικαὶ ἱερόσυλοι παμπόνηροι, οὐκ ἄσημοι δέ, πλὴν φθοροποιοὶ καὶ οὐ πολυχρόνιοι. Τῶν δὲ Διδύμων αἱ μὲν πρῶται ς′ Ἑρμοῦ εὔκρατοι εὔδιοι συνετοὶ πολύτεχνοι ἐπιστημονικαὶ πρακτικαὶ ἀοίδιμοι πολύσπερμοι.

15 αἱ δ’ ἑξῆς ς′ Διὸς ἀγωνιστικοὶ εὔκρατοι εὔδιοι πολύσπερμοι εὐτραφεῖς εὐεργετικαί. αἱ δὲ τρίται ε′ Ἀφροδίτης ἀνθηραὶ μουσικαὶ ἀκροαματικαὶ ποιητικαὶ στεφανηφόροι ὀχλικαὶ εὐφρόσυναι πολύσπερμοι. αἱ δὲ τέταρται ζ′ Ἄρεως πολύμοχθοι ἀνάδελφοι σπανότεκνοι ἐπιδημητικαὶ εὔποροι φθαρτικαὶ ὠμαὶ πολυπράγμονες. αἱ δὲ ἑξῆς ς′ ἐπὶ πᾶσι Κρόνου εὔκρατοι διοικητικαὶ κτητικαὶ νοητικαὶ πολύγνωστοι ἐπίσημοι, συνέσει διάφοροι, μεγάλων κατορθωτικαί, εὐδοξότατοι. Τοῦ δὲ Καρκίνου αἱ πρῶται ζ′ Ἄρεως κεραυνοβόλοι ἄλλεσι κεκινημένοι ἀνώμαλοι ἐναντιόβουλοι μανιώδεις πολύσπερμοι σπανιστικαὶ φθαρτικαὶ ἐπὶ τέλους φαῦλαι. αἱ δὲ ἑξῆς ς′ Ἀφροδίτης πολύσπερμοι ἐπίψογοι κάθυγροι μεταβολικαὶ τεχνικαὶ ὀχλικαὶ καὶ πάμμικτοι. αἱ δὲ ἑπόμεναι ς′ Ἑρμοῦ ἀκριβεῖς ἁρπακτικαὶ δημοσίων ἡγητικαὶ τελωνικαὶ δημώδεις εὔποροι περιουσιαστικαί. αἱ δὲ τέταρται ζ′ Διὸς βασιλικαὶ αὐτοκρατορικαὶ ἔνδοξοι πολύδικοι μεγαλόφρονες εὔκρατοι ἀρχικαὶ καὶ τῷ ὅλῳ καλαί. αἱ δ’ ἐπὶ πᾶσι δ′ Κρόνου, καθ’ ὃ τὸ πᾶν ἐστιν ὕδωρ, κάθυγροι καὶ σπανιστικαὶ τῶν ἰδίων καὶ περὶ τὸ τέλος ἐνδεητικαί. Τοῦ δὲ Λέοντος αἱ πρῶται ς′ εἰσὶ Διός, ἔμπειροι ἀρρενικαὶ αὐτοκρατορικαὶ πάντως τε ἡγεμονικαὶ πρακτικαὶ ἔξοχοι οὐδὲν ταπεινὸν ἔχουσαι. αἱ δὲ ἑξῆς ε′ Ἀφροδίτης εὐκρατότεραι ἀνειμέναι πολύσοφοι ἀπολαυστικαί. αἱ δὲ τρίται ζ′ Κρόνου πολύπειροι φοβητικαὶ φυσικαὶ εὐφυεῖς στεναὶ μυστικαὶ πολύτεκνοι ζητητικαὶ τῶν ἀποκεκρυμμένων, στειρώδεις δὲ καὶ ἄσποροι. αἱ δὲ ἑξῆς ς′ Ἑρμοῦ ἀκροαματικαὶ ὀχλικαὶ σχολαργικαὶ ἀφηγητικαὶ νομικαὶ συνεταί. καὶ αὗται ἄσποροι, πολυχρονίων δὲ ἀνθρώπων. αἱ δὲ ἐπὶ πᾶσιν ς′ Ἄρεως φαυλόταται τερατώδεις φθαρτικαὶ ἐπισινεῖς νωθραὶ ἐπίψογοι καὶ ἀτυχεῖς. Τῆς δὲ Παρθένου αἱ πρῶται μοῖραι ζ′ Ἑρμοῦ ὑψηλόταται διοικητικαὶ πολύσοφοι ἐπιεικεῖς, ἐπὶ πραγμάτων τάσσουσαι μεγάλων, συνετώταται καὶ πάντα γενναῖαι καὶ ἔξοχοι· μόνον πρὸς τὰ ἀφροδίσια οὐκ εὐτυχεῖς, καθόλου μὲν ὅλης τῆς Παρθένου, μάλιστα δὲ αὗται αἱ μοῖραι καὶ 〈αἱ〉 Ἀφροδίτης· αὗται μὲν γὰρ εὐκατηγορήτων εἰσίν, αἱ δὲ Ἀφροδίτης ἁμαρτανόντων· ἐν παντὶ δὲ τὸ ἔξοχον μάλιστα προδώσουσιν ἐν τῷ παιδευτικῷ.

16 αἱ δὲ ἑξῆς ι′ Ἀφροδίτης ἐπίψογοι, ἁμαρτωλοὶ περὶ γάμους, περιπίπτουσαι διὰ ταῦτα, περὶ δὲ τὰ θεατρικὰ εὐτυχεῖς· περὶ δὲ πάθη αἴσχιστοι, μάλιστα δὲ Κρόνου συμμαρτυροῦντος· Ἑρμοῦ δὲ μοιχείας, Διὸς δὲ πλήθη ἁμαρτιῶν ὡς συγχωρουμένων, ἔτι δὲ κατακρίσεις· Ἡλίου δὲ λαθρίδιοι πράξεις, Σελήνης ἐναντιώματα ἀντιπολιτεῖαι· ἐὰν δὲ ὑπὸ τῶν κακοποιῶν ὁραθῇ, προΐστασθαι ποιεῖ. αἱ δὲ τρίται δ′ Διὸς φιλογεωργῶν ἐπιεικῶν ἀνακεχωρηκότων οὐκ ἀπαιδεύτων· εἰσὶ δὲ καὶ ἐπιτροπικαὶ καὶ πολύσπερμοι καὶ εὐκατόρθωτοι. αἱ δὲ τέταρται ζ′ Ἄρεως εἰσὶν ἄρρενες χαλεπαὶ δημοτικῶν ὀχλαγωγῶν καὶ νυκτιρέμβων μυσταιτῶν πλαστογράφων ἐπιθετῶν· αὗται αἱ μοῖραι ὑβρίζουσι τοὺς ἀνθρώπους, εἰς δεσμοὺς καὶ μελοκοπίας καὶ βασάνους καὶ φυλακὰς ἄγουσιν. αἱ δὲ λοιπαὶ β′ Κρόνου τερατώδεις κατάψυχροι φθαρτικαὶ ὀλιγοχρόνιοι ἐμπαιζομένων ἀνθρώπων. Τοῦ δὲ Ζυγοῦ αἱ πρῶται ς′ Κρόνου βασιλικαὶ ὑψηλαὶ πρακτικαὶ μάλιστα ἡμέρας, νυκτὸς δὲ ἐπιπρασσόντων· εἰσὶ δὲ στειρώδεις κάθυγροι φθαρτικαί. αἱ δὲ ἑξῆς ε′ Ἑρμοῦ ἀγοραῖοι ἐργαστηριακαὶ ἐμπορικαὶ γραμμάτων συναλλακτικῶν καὶ ἀριθμῶν συνακτικαί, καθόλου δίκαιοι συνεταί. αἱ δὲ τρίται η′ Διὸς πλουτοποιοί, ἀλλὰ ἐφ’ ὧν γε δυσπραγῶν, ἀνεύφραντοι ἀποθησαυριζομένων ἀνεπιφάντων ῥυπαροβίων ἀφιλοκάλων μωμητικῶν· οὐ μὴν εὔπαιδες. αἱ δὲ τέταρται Ἀφροδίτης ζ′ φιλοκάλων φιλοτέχνων ἢ καὶ τεχνιτῶν, οἷον ἐπιπλαστῶν ζωγράφων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τορευτῶν, καθόλου δὲ ῥυθμικῶν θεοσεβῶν πραέων βραδέως εὐτυχούντων προβιβαζομένων αὐτομάτως, περὶ δὲ γάμους εὐτυχοῦντας μεγάλως, ἐπὶ πᾶσιν εὐδαιμόνων. αἱ δὲ λοιπαὶ δʹ Ἄρεως ἡγεμονικῶν ταξιάρχων εὐτυχῶν περὶ πᾶσαν Ἄρεως τέχνην καὶ διαθυμῶν τε καὶ ἀσφαλῶν καὶ ἐγκρατῶν καὶ μεγαλοφρόνων, οὐκ εὐαδέλφων δὲ οὐδὲ πολυαδέλφων. Τοῦ δὲ Σκορπίου αἱ πρῶται ζʹ μοῖραι εἰσὶν Ἄρεως τεθορυβημέναι εὐκίνητοι ἄστατοι ὀργίλοι ἐλευθερόγλωσσοι μεγαλόφρονες σπανότεκνοι πολυάδελφοι, ἀνώμαλοι ταῖς τύχαις, διάπυροι, εὔθετοι ταῖς εἰς στρατιὰν καὶ ἐκδημίαν γενέσεσιν. αἱ δὲ ἑξῆς δʹ Ἀφροδίτης εὐτυχῶν ἐπὶ γάμοις, θεοσεβῶν, φιλουμένων ὑπὸ πάντων, φιλοτέκνων, εὐπόρων, περὶ πάντας ἐκλελεγμένων, ἡδυβίων.

17 αἱ δὲ τρίται ηʹ Ἑρμοῦ ὁπλικαὶ ἀγωνιστικαὶ στεφανηφόρων καὶ περὶ λόγων πικρῶν ἀγωνιστικῶν ἀκαταφρονήτων· εἰσὶ δὲ καὶ αὗται πολύσποροι· καθόλου δὲ κακεντρεχῶν τῇ διανοίᾳ, μάλιστα κατὰ τῶν πειραζόντων ἢ τῶν πονηρὰ δρώντων. αἱ δὲ τέταρται ςʹ Διὸς πολυτέχνων εὐτυχῶν ἀρχιερέων, δοξαζομένων χρυσῷ πορφύραις ἀρχαῖς κατὰ τὰ ἴδια μεγέθη τῶν γενέσεων, εὐεργετικῶν, καθόλου φιλανθρώπων φιλοθέων. αἱ δ' ἐπὶ πάσαις ςʹ Κρόνου κολαστικῶν σπανοτέκνων σπαναδέλφων μισοϊδίων φαρμακευτῶν μελαγχολικῶν μισογυναίων κρυπτὰ σίνη ἐχόντων καθόλου κολαστικωτάτων μεμψιμοιροτάτων· μισοῦνται δὲ καὶ ὑπὸ θεῶν καὶ ὑπὸ ἀνθρώπων· οὗτοι δὲ πρὸς τοὺς ὑπερέχοντας ἀντερείδονται, ὑπὸ δὲ τῶν ταπεινῶν καταφρονοῦνται. Τοῦ δὲ Τοξότου αἱ πρῶται ιβʹ Διὸς εἰσὶν ἀνθρώπων πρακτικῶν· εἰσὶ δὲ ὑγραὶ σὺν τῷ εὐκράτῳ, ὅλως δὲ παμποίκιλοι περὶ πᾶσαν τέχνην καὶ πρᾶξιν, πολύσπερμοι μὲν καὶ πολύτεκνοι πολυάδελφοι, σπανιστικοὶ δέ. αἱ δὲ ἑξῆς εʹ εἰσὶν Ἀφροδίτης, εὔκρατοι ἔνδοξοι νικητικαὶ στεφανηφόροι θεοσεβεῖς, τιμωμένων ἀνδρῶν ἐν ὄχλοις καὶ παρ' ἡγεμόσιν, εὔτεκνοί τε καὶ εὐάδελφοι περί τε γυναῖκας πλείονας γενέσθαι ** . αἱ δὲ τρίται μοῖραι δʹ Ἑρμοῦ φιλολόγων περισσοφρόνων πραγματικῶν αἰώνια γεννώντων φιλοσόφων, καθόλου ἐξοχὰς ἐχόντων περὶ ἐπιστήμην καὶ φρόνησιν, φιλιστόρων, ἐπὰν ὁ Ἑρμῆς προσνεύσῃ· ἐπὰν δὲ ὁ Ἄρης, φιλόπλων τακτικῶν. αἱ δὲ εʹ ἑξῆς Κρόνῳ ἐπιβάλλουσι, στειρωτικαὶ καὶ σινωτικαὶ κατάψυχροι βλαπτικαὶ φαύλων ἀνθρώπων καὶ περὶ πάντα δυστυχούντων. αἱ δὲ ἑξῆς δʹ Ἄρεώς εἰσιν, ἔνθερμοι ῥιψοκίνδυνοι ὑβριστικαὶ ἀναιδεῖς φθαρτικαί, πλὴν τὸ πολυκίνητον ἔχουσαι ἐν παντί. πᾶσαι δὲ ἐν τῷ Τοξότῃ ποικίλαι περὶ πάντα τὰ πράγματα. Τοῦ δὲ Αἰγόκερω αἱ πρῶται ζʹ Ἑρμοῦ εἰσι, θεατρικαὶ σατυρικαὶ μιμητικαὶ ψευστικαὶ πορνικαὶ προαγωγοί, τῶν ἀλλοτρίων ἐπιθυμηταὶ καὶ ἄδοξοι, ἀφυεῖς δὲ περὶ πάντα καὶ εὐχάριστοι καὶ εὔποροι, οὐχ ὑψηλαὶ δέ. αἱ δὲ ἑξῆς ζʹ Διὸς ἐν ὑψ[ηλ]οταπεινώματι ποιοῦσαι δόξης τε καὶ ἀδοξίας, πλούτου καὶ πενίας, ἐπιδόσεων καὶ θεατρισμῶν, στειρώδεις θηλυγόνοι ἢ τερατογόνοι μικροπρεπεῖς ἰδιωτικαί.

18 αἱ δὲ ἑξῆς ηʹ Ἀφροδίτης ἀσώτων λάγνων καὶ κατωφερῶν ἀκρίτων ἐπιψόγων, εὐμεταβόλων περὶ τὰ τέλη, οὐκ εὐθανατούντων οὐδὲ περὶ τοὺς γάμους εὐσταθῶν. αἱ δὲ τέταρται δʹ Κρόνου αὐστηραὶ ἀνεύφραντοι ἀλλοιώδεις δύστεκνοι δυσάδελφοι ὠμαὶ φθαρτικαὶ κατάψυχροι ἀσύγκλωστοι βάσκανοι μελλητικαὶ καὶ δόλιοι. αἱ δ' ἐπὶ πᾶσιν δʹ Ἄρεως ὑψηλαὶ ἐξουσιαστικαὶ τυραννικαί, ἐπὶ παντὶ τὸ ἡγεμονικὸν περιτιθεῖσαι, σπανιστικαὶ τῶν ἰδίων συγγενῶν καὶ ἀναιρετικαὶ ἀνθρώπων, ἀποδημητικαὶ φίλεροι ἕως τέλους ἐρισταί. Ὑδροχόου αἱ πρῶται ζʹ μοῖραι Ἑρμοῦ πλουσίων φιλοθησαύρων, ἡδέως ἀποθησαυριζόντων πρὸς τὰ μέτρα τῶν γενέσεων, συνετῶν νομικῶν συνακριβούντων πάντα, ἐπιτακτικῶν μικροψύχων πολυμερίμνων, φιλούντων παιδείαν καὶ πᾶσαν πολυτεχνίαν, διοικητικῶν οἰκονομικῶν φιλανθρώπων. αἱ δὲ ἑξῆς ἓξ Ἀφροδίτης καλῶς φιλουμένων θεοσεβῶν χωρὶς πόνου εὐπορούντων αἰφνιδιοτυχῶν εὐπόρων πλευστικῶν· εἰσὶ δὲ αὗται πολύσποροι μοῖραι, συμβαίνει δὲ τὸν κατ' αὐτὰς γενόμενον γραυσὶ συνέρχεσθαι ἢ ἐπισινέσιν ἢ εὐνούχοις συνέρχεσθαι, προβιβάζεσθαι δὲ ὑπὸ ἀσπέρμων ἢ προβεβηκότων. αἱ δὲ ἑξῆς ζʹ Διὸς εὐτυχεῖς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μικρολόγοι ἐνδόμυχοι ἀφιλόδοξοι ἀνεπίφαντοι εὔπαιδες ἀφιλάδελφοι. αἱ δὲ ἑξῆς ε′ Ἄρεως ἐπισινεῖς μάλιστα περὶ τὰ ἐντός, δικασχολούμενοι, πονηρῶν ἀνθρώπων ἀδρανῶν καὶ ἐκλελυμένων, πλὴν ταχέως ἐπιχειρούντων τοῖς κακοῖς. αἱ δὲ λοιπαὶ ε′ Κρόνου στειρώδεις κάθυγροι δύσγονοι σινωτικαί, καὶ μάλιστα περὶ μήνιγγας καὶ τὰ ἐντὸς εἴδη καὶ ὕδρωπας καὶ σπασμούς, σπανιστικαὶ σπανάδελφοι σπανότεκνοι φθονεραί, ἐπὶ τῷ τέλει οὐκ εὐτυχεῖς. Τῶν δὲ Ἰχθύων αἱ πρῶται ιβ′ Ἀφροδίτης, ἱλαραὶ πολύσπερμοι καταφερεῖς ἀπολαυστικαὶ καὶ ἡδύβιοι χαιρητικοὶ ἐπιχάριτοι ἐπέραστοι, αὐτομάτως προβιβάζουσαι, προσφιλεῖς θεοῖς. αἱ δὲ ἑξῆς δ′ Διὸς φιλολόγων ἐπιστημονικῶν, ἐν ὄχλοις διαπρεπόντων καὶ λόγοις πάντων περιγινομένων, πολυάδελφοι πολύγονοι πολύτεκνοι περισσομελεῖς περισσάδελφοι. αἱ δὲ ἑξῆς γ′ Ἑρμοῦ πολύσπερμοι ἀρχικαὶ ἐντίμων πολύφιλοι χαριστικαὶ φιλότροφοι ἐλεήμονες φιλόθεοι εὔκρατοι. αἱ δὲ θ′ Ἄρεως εἰσὶ πρακτικαὶ θαλασσομάχοι ἀφηγηταὶ καὶ εὐψυχεῖς, περὶ τὰ ἄρρητα ποιητικαί, ἁρπακτικαὶ καὶ πάλιν μεταδοτικαί, ποικίλαι οὐκ ἰδιοθάνατοι.

19 αἱ δ’ ἐπὶ πᾶσι β′ Κρόνου σινωτικαὶ κάθυγροι σπασματώδεις, περὶ πάντα ἀτυχεῖς. Ἐκθέμενοι οὖν διδασκαλικῶς περὶ ἑκάστης μόνης μοίρας τί ἀποτελεῖ, τοῦ οἰκοδεσπότου αὐτοῖς ἐπικειμένου ἀποτελέσει τὸ ἴδιον ἤτοι φαῦλον ἢ ἀγαθόν. νυνὶ δὲ περὶ ὡροσκόπου ἐκθήσομαι. 〈δ′. De inveniendo horoscop o .〉 Μαθὼν ἀκριβῶς πόσων μοιρῶν ἐστιν ὁ Ἥλιος ἐπὶ γενέσεως ἴδε, ποῦ τὸ δωδεκατημόριον ἐκπίπτει, καὶ οὗ ἂν ἐκπέσῃ, τούτου τὸ εὐώνυμον τρίγωνον ὡροσκοπήσει ἢ τὰ ὁμοιόπτωτα ζῴδια οἷον ἀρρενικὰ ἢ θηλυκά, νοοῦντός σου τὴν διαφορὰν νυκτὸς ἢ ἡμέρας. οἷον ἔστω Ἥλιος Ὑδροχόου μοίρᾳ κβ′· τούτου τὸ δωδεκατημόριον κατέληξε Σκορπίῳ· τούτου τὸ εὐώνυμον τρίγωνόν εἰσιν Ἰχθύες. εἰ οὖν ἡμερινὴ ἦν ἡ γένεσις, ἔδει τοὺς Ἰχθύας ὡροσκοπεῖν ἢ Ταῦρον ἢ Καρκίνον· εἰ δὲ νυκτερινή, τὰ τούτων διάμετρα· Αἰγόκερως ὡροσκοπήσει κατὰ τὴν πρώτην ὥραν. Ὅσων ἂν ᾖ μοιρῶν ὁ Ἥλιος, ἐπιγνοὺς ἀκριβῶς ἡμέρας ταύταις πρόσθες τὴν ἀναφορὰν τοῦ ζῳδίου, ἐν ᾧ ὁ Ἥλιος τυγχάνει, καὶ ἀπόλυε ἀπὸ τῆς κατὰ γένεσιν Σελήνης, ἑκάστῳ ζῳδίῳ ἀνὰ μίαν μοῖραν διδούς· ὅπου ἐὰν καταλήξῃ, ἐκεῖ ὁ ὡροσκόπος, ἢ καθὼς πρόκειται εἰς τὰ ὁμοιόπτωτα. νυκτὸς δὲ ἐπιθεὶς τὴν ἀναφορὰν τοῦ σεληνιακοῦ ζῳδίου ἀπόλυε ἀπὸ τοῦ κατὰ γένεσιν Ἡλίου. οἷον ἐπὶ τοῦ προκειμένου παραδείγματος Ἥλιος Ὑδροχόῳ, Σελήνη Σκορπίῳ· ταύταις προσέθηκα τὴν ἀναφορὰν τοῦ ζῳδίου λζ′· γίνονται νθ′. ταύτας ἀπέλυσα ἀπὸ Ἡλίου, κατέληξεν Αἰγόκερῳ· ἐκεῖ ὁ ὡροσκόπος. Ἀπὸ Θὼθ ἕως τῆς γενεσιακῆς ἡμέρας τὸ πλῆθος ἀναλαβὼν καὶ τὰς ὥρας πολυπλασιάσας ἐπὶ τὸν πεντεκαίδεκα καὶ προσθεὶς τῷ πρώτῳ ἀριθμῷ ἀπόλυε ἡμέρας μὲν ἀπὸ Αἰγόκερω ἀνὰ λ′, νυκτὸς δὲ ἀπὸ Ἰχθύων. ἢ πάλιν τὰς ὥρας πολυπλασιάσας ἐπὶ τὸν ιε′ καὶ προσθεὶς τὰς τοῦ Ἡλίου μοίρας ἀπόλυε ἡμέρας μὲν ἀπὸ αὐτοῦ τοῦ Ἡλίου πρὸς ἀναφορὰν κατὰ τὸ γεννητικὸν κλίμα, νυκτὸς δὲ ἀπὸ τοῦ ὡροσκόπου πρὸς ἀναφοράν. Μυστικὸς δὲ καὶ ἀναγκαστικὸς ὡροσκόπος οὕτως εὑρίσκεται· ἐπὶ μὲν ἡμερινῆς γενέσεως ὡροσκοπήσει τὸ σπόριμον τρίγωνον τοῦ Ἡλίου ἢ τὰ τούτου ἑξάγωνα, ἐπὶ δὲ νυκτερινῆς τὰ τούτων διάμετρα.

20 ὥστε καὶ ἄτερ ὥρας ἐὰν ἐπιγνῷς, πότερον νὺξ ἢ ἡμέρα, εὑρήσεις τὸ ὡροσκοποῦν ζῴδιον. Πρὸς δὲ λεπτομερῆ καὶ μοιρικὴν εὕρεσιν ὡροσκόπου οὕτως. τὰς γεννητικὰς ὥρας ἐπὶ τὸ τῆς Σελήνης δρόμημα πολυπλασιάσας ἀπόλυε ἡμέρας μὲν ἀπὸ τῆς τοῦ Ἡλίου μοίρας, νυκτὸς δὲ ἀπὸ τοῦ διαμέτρου, καὶ ὅπου δᾶν καταλήξῃ, τοσούτων μοιρῶν ὁ ὡροσκόπος κριθήσεται. ἔστω δὲ ἐπὶ ὑποδείγματος Ἀδριανοῦ δ′ Μεχὶρ ιγ′ ὥρα νυκτὸς α′· Ἥλιος Ὑδροχόου μοίρᾳ κβ′, Σελήνη Σκορπίου μοίρᾳ ζ′, τὸ δρόμημα τῆς Σελήνης ἐν τῇ ιδ′ ἡμέρᾳ ἀπὸ ἐποχῆς ιγ′ νβ′· εἰσῆλθον εἰς τὸ προκείμενον ὄργανον εἰς τὰς ιδ′ μοίρας τὰς ἐν τῷ πρώτῳ στίχῳ καὶ εὗρον ὑποκάτω κατὰ τὴν πρώτην ὥρας ις′. ταῦτας ἀπέλυσα [καὶ] ἀπὸ τῆς διαμετρούσης τὸν Ἥλιον μοίρας Λέοντος κβ′· κατέληξεν ἐν τῷ Αἰγόκερῳ περὶ μοῖραν η′. ἐὰν δέ πως ἐκ τοῦ ἀναφορικοῦ πλειόνων ἢ ἡττόνων μοιρῶν εὑρεθῇ, ἐκ τῆς προκειμένης ἐφόδου γνωσθήσεται, πότερον πρόσθεσιν ἢ ἀφαίρεσιν ἡ

ὥρα ἔχει. Ἐπὶ μὲν τῶν ἡμέρας τὰς λοιπὰς τοῦ Ἡλίου μοίρας καὶ ὅσας ἐπέχει ἡ Σελήνη ἐπισυνθεὶς ἔκκρουε τριακοντάδας, καὶ αἱ λοιπαὶ ὡροσκοπήσουσιν· ἐπὶ δὲ τῶν νυκτὸς τὰς λοιπὰς τῆς Σελήνης καὶ ὅσας ἐπέχει ὁ Ἥλιος. ἐὰν μέντοι ὑπὲρ τὴν λογιζομένην ὥραν πλεονάσῃ ὁ ἀριθμός, ὅσαι ἂν ὑστερῶσιν εἰς τὰς λ′ ἢ εἰς τὸ μέγεθος τῆς ὥρας, τοσαῦται ὡροσκοπήσουσιν. ἀπὸ τῆς κε′ τοῦ Ἐπιφὶ ἕως τῆς γεννητικῆς ἡμέρας ψήφισον τὰς ἡμέρας σὺν ταῖς ἐπαγομέναις καὶ πρόσβαλλε τῷ ἀριθμῷ μόνα κβ′ καὶ ἀπόλυε τὸν ἀριθμὸν ἀνὰ λ′, ἡμέρας μὲν ἀπὸ Καρκίνου, νυκτὸς δὲ ἀπὸ Αἰγοκέρωτος· ὅπου δ᾽ ἂν καταλήξῃ ὁ ἀριθμός, ἐκεῖ ἔσται ὁ ὡροσκόπος, καὶ ὧν μοιρῶν, τοσαῦται ὡροσκοπήσουσιν. 〈ε′.〉 Ὡροσκοπικὸς γνώμω ν . Λαβὼν τὰς τοῦ Ἡλίου μοίρας ἐπὶ ὡροσκόπου χρηματιζούσας ἐπὶ ἡμέρας, ἐπὶ δὲ νυκτὸς τῆς διαμέτρου, δεκαπλασίασον αὐτὰς καὶ τὸ γενόμενον ποσὸν πάλιν πολλαπλασίασον ἐπὶ τὰς ἀναδοθείσας ὥρας ἤτοι ἡμερινὰς ἢ νυκτερινὰς ἤτοι ὅλας ἢ καὶ μετὰ μοιρῶν, καὶ ἐκκρούσας ὅλους κύκλους τὰ λοιπὰ ἡγοῦ ὡροσκοπικὸν γνώμονα.

21 κλίμα ** ὥρα ἡμέρας β′· Ἥλιος Καρκίνου ζ′, Σελήνη Κριοῦ κβ′. ἡμερινοὶ ὡροσκόποι τῆς τοῦ Ἡλίου μοίρας κη μβ δεκάκις, γίνονται σκδ′· ταῦτα δίς, γίνονται μετὰ κύκλων πη′· οὗτος ὁ ὡροσκοπικὸς γνώμων. Οἷον ἔστω Ἥλιος Αἰγόκερω μοίρᾳ ιθ′· ἐγενήθη δέ τις ὥρᾳ νυκτερινῇ τρίτῃ. τὸ δὲ δρόμημα τῆς Σελήνης ἐστὶ μοιρῶν ιβ′ ∠′ ιε′. εἰσέρχομαι εἰς τὸ σελίδιον τῆς τρίτης ὥρας, ἔνθα παράκειται ἐπὶ μὲν τῶν ιβ′ μοιρῶν τοῦ δρομήματος μοῖραι μα′ ∠′, ἐπὶ δὲ τῶν ιε′ ∠′ [τοῦ δρομήματος] μοῖραι 〈μ〉 δ′ ∠′. ἡ ὑπεροχὴ τῶν μδ′ ∠′ πρὸς τὰς μα′ ∠′ γίνεται μοῖραι γ′, τούτων τὸ ∠′ ιε′ γίνεται α′ ∠′ ε′. ταύτας προστίθημι ταῖς μα′ ∠′ διὰ τὸ εἶναι τὸ τῆς Σελήνης δρόμημα μοιρῶν ιβ′ ∠′ ιε′. γίνονται οὖν ὁμοῦ μοῖραι μγ′ ε′. ταύταις πρόσθες τὰς τοῦ Ἡλίου μοίρας ιθ′· ὁμοῦ γίνονται μοῖραι ξβ′ ε′· ἃς ἀπέλυσα ἀπὸ τοῦ Καρκίνου διὰ τὸ νυκτερινὴν εἶναι τὴν γένεσιν, καὶ κατέληξεν ὁ ὡροσκόπος μοίρᾳ β′ Παρθένου λεπτοῖς ιβ′· ἦν δὲ ἀπὸ τοῦ κανόνος ὁ ὡροσκόπος Αἰγόκερω μοίρᾳ γ′. Σκοπεῖν δεήσει ἐπὶ μὲν τῶν συνοδικῶν τὸ ὅριον τῆς συνόδου καὶ τὸν κύριον τοῦ ζῳδίου, καὶ ὃς ἂν τούτων συνεγγιζούσας μοίρας τῇ ὥρᾳ ἔχῃ, ἐκεῖναι ὡροσκοπήσουσιν. ἐπὶ δὲ τῶν πανσεληνιακῶν τὸ ὅριον τῆς πανσελήνου καὶ τὸν κύριον τοῦ ζῳδίου συγκρίνειν. Ἡμέρας τὰς τοῦ Ἡλίου δεῖ λαμβάνειν καὶ τὰς λοιπὰς τὰς τῆς Σελήνης καὶ ἐκκρούειν τριακοντάδας, τὰς δὲ περιλειπομένας εἰσενέγκαντας εἰς τὸν ἀναφορικὸν λόγον τὸ παρακείμενον μέγεθος τῷ ἡλιακῷ ζῳδίῳ ποιεῖν ἐπὶ τὰς μοίρας τοῦ ζῳδίου, καὶ ἐπιπροσθέντας τὰς ἡλιακὰς μοίρας ἀπολύειν τριακοντάδας· ὅσαι δ᾽ ἂν λείψωσιν, ἔσονται ἡλιακὸς γνώμων, ὃν καὶ σημειωσάμενοι ποιήσομεν καὶ τὸν τῆς Σελήνης γνώμονα οὕτως. διπλώσαντες ἃς ἔχει μοίρας ἡ Σελήνη ἀφαιροῦμεν τριακοντάδας, τὰς δὲ περιλειπομένας δωδεκαπλασιάσαντες καὶ ἐπιπροσθέντες τὰς τῆς Σελήνης [ἢ] μοίρας ἀφαιροῦμεν τριακοντάδας, καὶ αἱ λοιπαὶ ἔσονται τῆς Σελήνης γνώμων.

22 νυκτὸς δὲ τὰς λοιπὰς τῆς Σελήνης μοίρας καὶ ἃς ἔχει ὁ Ἥλιος ἐπισυνθέντες καὶ ἐκκρούσαντες εἰς τὸν ἀναφορικὸν τριακοντάδας τὰς λοιπὰς εἰσφέρομεν ἐπὶ τὸ ἡλιακὸν ζῴδιον καὶ ἐπιγνόντες τὸ ὡριαῖον μέγεθος πολλαπλασιάζομεν τὰς τοῦ Ἡλίου μοίρας καὶ ἐπιπροσθέντες, ὅσας ἔχει μοίρας ὁ Ἥλιος, ἀφαιροῦμεν τριακοντάδας· καὶ αἱ περιλειπόμεναι ἔσονται ἡλιακὸς γνώμων. ἐὰν οὖν ὑπερέχῃ ὁ τοῦ Ἡλίου γνώμων τὸν τῆς Σελήνης, ἡ ὥρα ἀφαίρεσιν ἔχει· ἐὰν δὲ ὁ τῆς Σελήνης, πρόσθεσιν, ὅση ἡ ὑπεροχή· ἐὰν δὲ ἴση, οὔτε πρόσθεσιν οὔτε ἀφαίρεσιν ἔχει. ὁμοίως καὶ ἐὰν ὑπὲρ τὰς ιε′ ἢ ἐντὸς αἱ περιλειπόμεναι πρόσθεσιν ἢ ἀφαίρεσιν ἔχωσι. Ζῳδιακῶς ἐπιγνόντες τὸ ὡροσκοποῦν ζῴδιον τὴν μοῖραν οὕτως εὑρήσομεν. μαθόντες τὸ ἔτος τῆς τετραετηρίδος ὡς ὑπόκειται τὰς παρακειμένας ὥρας τῇ γεννητικῇ ὥρᾳ ἐπιπροσθέντες καὶ ψηφίσαντες τὴν Σελήνην, πόση ἐστί, τοσοῦτον ἡγησόμεθα τὸν ὡροσκόπον. ἔχει δὲ τὸ πρῶτον ἔτος ὥρας ια′, τὸ δεύτερον ὥρας ς′, τὸ τρίτον ὥρας ιβ′, τὸ τέταρτον ὥρας ς′· προσῳκείωται δὲ καὶ τὸ ἔτος τῆς τετραετηρίδος πρὸς τὴν τοῦ Κυνὸς ἄστρου ἐπιτολήν. Ἔτος πρῶτον τῆς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τετραετηρίδος· ἀνατέλλει Καρκίνῳ ὥρᾳ πρώτῃ νυκτερινῇ. τὸ δεύτερον ἔτος, ἀνατέλλει Ζυγῷ ὥρᾳ ἡμερινῇ ϛʹ. τὸ τρίτον ἔτος, ἀνατέλλει Αἰγόκερῳ ὥρᾳ ἡμερινῇ ιβʹ. τὸ τέταρτον ἀνατέλλει ὥρᾳ ϛʹ [καὶ] νυκτὸς ἐν Κριῷ. οὕτως καὶ ἐπὶ τῶν ἀντιγενέσεων χρησιμεύει ὁ ὡροσκόπος, προστιθεμένων τῶν τῆς τετραετηρίδος ὡρῶν κατὰ τὸ ζητούμενον ἔτος καὶ ἀπολυομένων ἀπὸ τῆς γενεσιακῆς ὥρας· εἰς ποῖον ἂν ἐκπέσῃ ἡμικύκλιον ἤτοι νυκτερινὸν ἢ ἡμερινόν, ἐκεῖ ἡγεῖσθαι τὸν ὡροσκόπον καὶ τοὺς κατʼ ἐκεῖνο καιροῦ ἀστέρας ἐπικέντρους συγκρίνειν πρὸς τὴν γένεσιν. 〈ϛʹ.〉 Περὶ μεσουρανήματο ς . Μεσουράνημα δὲ ἀπὸ χειρὸς εὑρεῖν οὕτως. ἀπὸ τῆς δυνούσης μοίρας λαβὼν κατὰ τὰς ἀναφορὰς τοῦ κλίματος ἕως τοῦ διαμέτρου τούτων τὴν ἡμίσειαν ἀπόλυε ἀπὸ τῆς δυτικῆς μοίρας· ὅπου δʼ ἂν ἐκπέσῃ, τοσοῦτον ἔσται τὸ μεσουράνημα. οἷον ἔστω ὡροσκόπος Αἰγόκερῳ μοίρᾳ ιεʹ κατὰ τὸ δεύτερον κλίμα, ἔλαβον ἀπὸ τῆς δυνούσης μοίρας Καρκίνου ιεʹ ἕως τῆς τοῦ Αἰγόκερω ιεʹ· συνάγονται ἀναφοραὶ σιδʹ· τούτων τὸ ἥμισυ ρζʹ.

23 ταύταις προσθεὶς τὰς ιεʹ τοῦ Καρκίνου ἀπέλυσα ἀπὸ τοῦ αὐτοῦ· κατέληξεν ἐν Σκορπίῳ μοίρᾳ βʹ, ἔνθα τὸ μεσουράνημα· ὁμοίως δὲ καὶ ἐπὶ τῶν λοιπῶν. ἐὰν δὲ καὶ τὸ μέγεθος τῶν ὡρῶν τῆς ἡμέρας ἐπιγνῶναι θέλῃς, πάντοτε ἀπὸ τῆς ἡλιακῆς μοίρας ἕως τῆς διαμετρούσης τὰς ἀναφορὰς ἐπισυνθεὶς καὶ τούτων τὸ ιεʹ λαβὼν ἐπιγνώσῃ τὸ μέγεθος. οἷον τὴν προκειμένην δύνουσαν Καρκίνου μοῖραν ιεʹ ὑπόθου εἶναι ἡλιακήν· ἕως οὖν τοῦ διαμέτρου γίνονται ἀναφοραὶ σιδʹ. τούτων τὸ ιεʹ ιδʹ δʹ· λοιπά εἰσιν εʹ ιεʹ μέρος ὥρας. ἔστω οὖν ἡ ἡμέρα Ἡλίου ὄντος ἐν Καρκίνῳ περὶ μοίρας ιεʹ κατὰ τὸ κλίμα τῆς Συρίας ὡρῶν ιδʹ εʹ ιεʹ. εἰ δὲ καὶ τὸ τῆς νυκτὸς μέγεθος ἐπιγνῶναι θέλεις, ἀπὸ τῆς διαμετρούσης μοίρας τὸν Ἥλιον ἐπισυνθεὶς τὰς ἀναφορὰς ἕως ἧς ἐπέχει πραγματεύου· ὁμοίως δὲ καὶ ἐπὶ τῶν λοιπῶν ζῳδίων. 〈ζʹ.〉 Περὶ ἀναφορᾶς τῶν ζῳδίω ν . Πόσων δὲ ὡρῶν ἕκαστον ζῴδιον ἀναφέρεται, ἐκ τῆς ἑκάστου ἀναφορᾶς γνωστέον. οἷον ἐπεὶ ὁ Κριὸς ἀναφέρεται ἐν κʹ, ἡ δὲ ὥρα ἔχει χρόνους ἰσημερινοὺς ιεʹ, ἐὰν ἀφέλῃς ἐκ τῶν κʹ τὰς ιεʹ, λοιπὰ εʹ, ἅ ἐστι τρίτον μέρος τῶν ιεʹ. ἀνενεχθήσεται οὖν ὁ Κριὸς ὥρᾳ αʹ καὶ τρίτῳ. πόσον δὲ χρόνον ἑκάστη μοῖρα ἰσχύει, γνώσῃ οὕτως. δίπλωσον τὴν ἀναφορὰν ἑκάστου ζῳδίου καὶ ταῦτα ἑξάκις· γίνονται σμʹ· ἡ μοῖρα μῆνες ηʹ. ἕκαστον δὲ ζῴδιον πόσην πρόσθεσιν ἢ ἀφαίρεσιν ἀναφορᾶς ἔχει, οὕτως γνωστέον. ἐπεὶ ὁ Κριὸς ἀναφέρεται ἐν κʹ, ὁ Ζυγὸς ἐν μʹ εἰς συμπλήρωσιν τῶν ξʹ. ὅσων γὰρ ἕκαστον ἀναφέρεται ζῴδιον, εἰς συμπλήρωσιν τῶν ξʹ τὸ κατὰ διάμετρον ζῴδιον ἐφέξει· καὶ ὅσων ὡρῶν ἕκαστον, εἰς συμπλήρωσιν τῶν δʹ ὡρῶν τὸ κατὰ διάμετρον· καὶ ὅσων ἡμερῶν καὶ μηνῶν, δυοῖν ἐτῶν τὸ κατὰ διάμετρον ἐφέξει. ᾧ γὰρ πλεονάζει ἕκαστον, τὸ κατὰ διάμετρον λείπεται· ᾧ δὲ λείπεται, τούτῳ πλεονάζει τὸ κατʼ εὐθύ. ἀφεῖλον οὖν ἀπὸ τοῦ προκειμένου μεγίστου τὸ ἐλάχιστον, τοῦτʼ ἔστιν ἀπὸ τῶν μʹ τὰ κʹ· λοιπὰ κʹ. τούτων τὸ πέμπτον γίνεται δʹ· ἡ προσθαφαίρεσις ἑκάστου ζῳδίου τέτταρα. ταῖς οὖν κʹ τοῦ Κριοῦ ἐὰν προσθῶμεν δʹ, γίνονται κδʹ· ἐν τούτοις ὁ Ταῦρος ἀνενεχθήσεται· οἱ δὲ Δίδυμοι ἐν κηʹ, ὁ Καρκίνος ἐν λβʹ, ὁ Λέων ἐν λϛʹ, ἡ Παρθένος ἐν μʹ, ὁ Ζυγὸς μʹ.

24 εἶτα ἀπὸ Σκορπίου ὁμοίως ἀφαιρήσεις δʹ ἕως Ἰχθύων. οὕτως καὶ καθʼ ἕκαστον κλίμα ζητῶν ἐπιγνώσῃ. Ἄλλω ς. ἔστω τὸν Λέοντα ἀναφέρεσθαι ἐν λϛʹ, ὁμοίως δὲ καὶ Σκορπίον, τὸν δὲ Ταῦρον καὶ τὸν Ὑδροχόον ἐν κδʹ· λοιπὰ ιβʹ, ὧν τὸ τρίτον δʹ· αὕτη προσθαφαίρεσις. οὕτως καὶ καθʼ ἕκαστον κλίμα ζητῶν ἐπιγνώσεις. ἡ δὲ διαφορὰ τῶν κλιμάτων καὶ παραύξησις οὕτω γιγνώσκεται. ἐπεὶ ἐν τῷ πρώτῳ κλίματι ἀπὸ Καρκίνου ἕως Τοξότου συνάγονται ἀναφοραὶ σιʹ, τὸ ἕκτον γίνεται λεʹ· ἐν τούτοις ὁ Λέων ἀνενεχθήσεται. καὶ ὁμοίως κατὰ τὴν προκειμένην ἔφοδον, ἐὰν ἀφέλῃς τὰς κεʹ τοῦ Ὑδροχόου καὶ τῶν λοιπῶν τὸ τρίτον λάβῃς, ἐπιγνώσεις τῶν ζῳδίων τὰς ἀναφοράς. ἐπεὶ οὖν ἑπτὰ κλίματα τυγχάνει, ἐν δὲ τῷ ἑβδόμῳ ἀπὸ Καρκίνου συνάγονται ἀναφοραὶ σλδʹ, ἀφʼ ὧν ἐὰν τὰ σιʹ τοῦ πρώτου κλίματος ἀφέλωμεν, περιλειφθήσονται κδʹ ὑπεροχαί· ὧν τὸ ϛʹ, ἐπεὶ μεταξὺ ϛʹ κλίματα τυγχάνει, γίνονται δʹ. αὕτη αὔξησις ἑκάστου κλίματος πρὸς τὴν πῆξιν τοῦ ἀναφορικοῦ· ὡς εἶναι ἐν μὲν τῷ πρώτῳ κλίματι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀπὸ Καρκίνου ἕως Τοξότου ἀναφορὰς σι′, ἐν δὲ τῷ β′ κλίματι σιδ′, ἐν δὲ τῷ γ′ σιη′, ἐν δὲ τῷ τετάρτῳ σκβ′, ἐν δὲ τῷ πέμπτῳ σκς′, ἐν δὲ τῷ ς′ σλ′, ἐν δὲ τῷ ζ′ σλδ′. 〈η′.〉 Περὶ ἀκουόντων καὶ βλεπόντων ζῳδίω ν . Ὁμοίως καὶ περὶ ἀκουόντων καὶ βλεπόντων ἑξαγώνων ζῳδίων ἐκ τῶν ἀναφορῶν γνωστέον, οἷον οὕτως. οἱ Ἰχθύες βλέπουσι τὸν Ταῦρον· ἀπὸ Ἰχθύων ἓξ ζῳδίων ἀναφοραὶ κατὰ τὸ δεύτερον κλίμα γίνονται ρξ′ καὶ ἀπὸ Ταύρου ἕως Ζυγοῦ σ′· γεγόνασιν οἱ Ἰχθύες ἥττονες τοῦ Ταύρου καὶ ἀκούουσιν αὐτοῦ· καὶ τῶν β′ αἱ ἀναφοραὶ πληροῦσι τὰς τξ′. ὁμοίως ἀπὸ Διδύμων ἕως Σκορπίου σιβ′ καὶ ἀπὸ Λέοντος ἕως Αἰγόκερω σιβ′· Δίδυμοι οὖν καὶ Λέων ἰσανάφοροι καὶ ἀκούουσιν ἀλλήλων. πάλιν ἀπὸ Παρθένου ἕως Ὑδροχόου σ′ καὶ ἀπὸ Σκορπίου ἕως Κριοῦ ρξ′· βλέπουσιν. ἀπὸ Ζυγοῦ ἕως Ἰχθύων ρπ′, ἀπὸ Τοξότου ἕως Ταύρου ρμη′, ἀπὸ Ὑδροχόου ἕως Καρκίνου ρμη′· ἀκούουσι καὶ ἰσανάφοροι. οὕτως καὶ ἐπὶ τῶν λοιπῶν. Τινὲς δὲ τὴν συμπάθειαν τῶν ἑξαγώνων οὕτως ἡγοῦνται· τῶν δύο ζῳδίων τὰς ἀναφορὰς ἐπισυνθέντες καὶ τούτων τὴν ἡμίσειαν ἀναλαβόντες σκοποῦσιν, εἰ τὸ μεταξὺ ζῴδιον οὕτως ἀναφέρεται.

25 οἷον Κριὸς κ′ οἱ Δίδυμοι κη′, γίνονται μη′, ὧν τὸ ἥμισυ κδ′· ἐν τούτοις ὁ Ταῦρος ἀναφέρεται. διὰ τοῦτο ὁ Κριὸς πρὸς τοὺς Διδύμους ἕξει συμπάθειαν· ὁμοίως ὁ Ταῦρος πρὸς τὸν Καρκίνον, ἐπεὶ τῶν δύο αἱ ἀναφοραὶ γίνονται νς′, ὧν τὸ ἥμισυ κη′· ἐν τούτοις οἱ Δίδυμοι ἀναφέρονται, καὶ ὁμοίως οἱ Δίδυμοι πρὸς τὸν Λέοντα καὶ ὁ Καρκίνος πρὸς τὴν Παρθένον. ὁ δὲ Λέων πρὸς τὸν Ζυγὸν οὐκ ἔχει διὰ τὸ συνάγεσθαι οη′, ὧν τὸ ἥμισυ λθ′, ἡ δὲ Παρθένος ἐν μ′ ἀναφέρεται. ὁμοίως καὶ ἐπὶ τῶν λοιπῶν. 〈θ′.〉 Σύνοδοι καὶ πανσέληνοι ἀπὸ χειρό ς . Σύνοδον καὶ πανσέληνον ἀπὸ χειρὸς εὑρεῖν. λαβὼν ἀπὸ τῆς ἡλιακῆς μοίρας ἐπὶ τὴν σεληνιακὴν καὶ ἐπιγνοὺς πόσα ἐστὶ δωδεκατημόρια ἀνάδραμε ἀπὸ τῆς ἡλιακῆς μοίρας κἀκεῖ εὑρήσεις τὴν σύνοδον. καὶ ἡ Σελήνη δὲ τοσαύτας ἀπὸ συνόδου ἐφέξει μοίρας, ὅσα ἐὰν εὑρεθῇ δωδεκατημόρια. ἐπὶ δὲ τῶν πανσελήνων γενέσεων ἀπὸ τῆς διαμετρούσης τὸν Ἥλιον μοίρας λάμβανε ὡς ἐπὶ τὴν Σελήνην καὶ ἐπιγνούς, πόσα ἐστὶ δωδεκατημόρια, ἀφαίρει ἀπὸ τῆς διαμετρούσης τὸν Ἥλιον μοίρας· κἀκεῖ ἔσται ἡ πανσέληνος. ἐὰν δὲ τῇ πανσεληνιακῇ μοίρᾳ προσθῇς ιε′, εὑρήσεις τὴν μέλλουσαν σύνοδον. ὁμοίως δὲ καὶ τῇ συνοδικῇ μοίρᾳ ἐὰν προσθῇς ιε′, εὑρήσεις τὴν μέλλουσαν πανσέληνον. Οἷον Μεσωρὶ β′ Ἥλιος Λέοντι μοίρᾳ ε′, Σελήνη Ζυγῷ μοίρᾳ κς′· τὸ διάστημα ἀπὸ τοῦ Ἡλίου ἐπὶ τὴν Σελήνην γίνεται πα′, ἅ ἐστι δωδεκατημόρια ζ′ ἔγγιστα. ἔσται οὖν ἑβδόμη ἡ Σελήνη ἀπὸ συνόδου. πάλιν τὰ ἑπτὰ ἀνεπόδισα ἀπὸ ἡλιακῆς μοίρας· κατέληξεν εἰς τὴν τοῦ Καρκίνου μοῖραν κη′· ἐκεῖ ἡ σύνοδος ἐγένετο. καὶ ἀπὸ τῆς δευτέρας τοῦ Μεσωρὶ ἀνεπόδισα τὰς ζ′· γίνεται Ἐπιφὶ κε′· ταῖς οὖν κη′ τοῦ Καρκίνου ἐὰν προσθῶμεν ιε′, γίγνεται Λέοντι ιγ′. ἔσται οὖν ἡ πανσέληνος Λέοντι μοίρᾳ ιγ′. Τὴν δὲ πανσέληνον οὕτως· ἔστω Μεχὶρ ιγ′ Ἥλιος Ὑδροχόῳ μοίρᾳ κβ′, Σελήνη Σκορπίῳ μοίρᾳ ζ′.

26 ἔλαβον ἀπὸ τῆς διαμετρούσης τὸν Ἥλιον μοίρας Λέοντος κβ′ ἕως τῆς σεληνιακῆς· γίνονται οε′. εἰσὶν οὖν δωδεκατημόρια ς′, ἅτινα ἀφαιρῶ ἀπὸ τῆς τοῦ Λέοντος μοίρας κβ′· λοιπαὶ ις′, ἐν αἷς γέγονεν ἡ πανσέληνος. πάλιν τὰς ς′ ἀφεῖλον ἀπὸ τῆς ιγ′ τοῦ Μεχίρ· γέγονε τοῦ Μεχὶρ ζ′. ὁμοίως ἐπεὶ ἀπὸ συνόδου ἕως πανσελήνου εἰσὶν ἡμέραι ιε′, ταύταις προσέθηκα τὰς η′· γίνονται κα′. τοσαύτας ἡμέρας ἡ Σελήνη ἀπὸ τῆς συνόδου ἀφέξει. 〈ι′.〉 Περὶ ἑπταζώνου ἤτοι σαββατικῆς ἡμέρας ἀπὸ χειρό ς . Περὶ δὲ τῆς ἑβδομάδος καὶ σαββατικῆς ἡμέρας οὕτως. τὰ ἀπὸ Αὐγούστου ἔτη πλήρη καὶ τὰς ἐμβολίμους ἀναλαβὼν πρόσθες καὶ τὰς ἀπὸ Θὼθ ἕως τῆς γενεθλιακῆς ἡμέρας καὶ ἐκ τούτων ἀφαίρει ὁσάκις δύνῃ ἑπτά, τὰς δὲ λοιπὰς ἀπὸ Ἡλίου· εἰς οἷον δ′ ἂν καταλήξῃς ἀστέρα, ἐκείνου ἔσται ἡ ἡμέρα. ἡ δὲ τάξις τῶν ἀστέρων πρὸς τὰς ἡμέρας οὕτως ἔχει· Ἥλιος Σελήνη Ἄρης Ἑρμῆς Ζεὺς Ἀφροδίτη Κρόνος. ἡ δὲ τῶν ζωνῶν διάθεσις οὕτως· Κρόνος Ζεὺς Ἄρης Ἥλιος Ἀφροδίτη Ἑρμῆς Σελήνη· ἐκ ταύτης δὲ τῆς διαθέσεως αἱ ὧραι σημαίνονται, ἐκ δὲ τῶν ὡρῶν ἡ ἡμέρα τοῦ ἑξῆς ἀστέρος. οἷον ἔτος δ′ Ἀδριανοῦ Μεχὶρ κατὰ Ἀλεξανδρεῖς ιγ′

Eulogikon public reading copy · View original HTML at eulogikon.org

νυκτὸς ὥρα α′· τὰ ἀπὸ Αὐγούστου ἔτη πλήρη ρμη′ καὶ ἐμβόλιμοι λς′ καὶ ἀπὸ Θὼθ ἕως ιγ′ Μεχὶρ ἡμέραι ρξγ′· γίγνεται τμζ′. ἀφαιρῶ ἑβδομάδας μθ′, λοιπαὶ δ′· ἀπὸ Ἡλίου καταλήγει εἰς Ἑρμοῦ ἡμέραν, καὶ ἡ α′ ὥρα νυκτὸς Ἑρμοῦ, ἡ δευτέρα Σελήνης, ἡ τρίτη Κρόνου, ἡ τετάρτη Διός, ἡ πέμπτη Ἄρεως, ἡ ἕκτη Ἡλίου, ἡ ἑβδόμη Ἀφροδίτης, ἡ ὀγδόη Ἑρμοῦ, ἡ ἐνάτη Σελήνης, ἡ δεκάτη Κρόνου, ἡ ἑνδεκάτη Διός, ἡ δωδεκάτη Ἄρεως· [ἡ] ἡμέρα α′ Ἡλίου, β′ Ἀφροδίτης, τρίτη Ἑρμοῦ, τετάρτη Σελήνης, πέμπτη Κρόνου, ἕκτη Διός, ἑβδόμη Ἄρεως, ὀγδόη Ἡλίου, ἐνάτη Ἀφροδίτης, δεκάτη Ἑρμοῦ, ἑνδεκάτη Σελήνης, δωδεκάτη Κρόνου. εἶτα ἑξῆς γίγνεται ἡ ἐπιοῦσα ἡμέρα τουτέστι Μεχὶρ ιδ′· ἔσται Διὸς καὶ ἡ α′ ὥρα. 〈ια′.

27 〉 Περὶ οἰκοδεσπότου ἔτου ς . Εἰ δὲ καὶ τὸν οἰκοδεσπότην τοῦ ἔτους θέλεις ἐπιγνῶναι τῷ αὐτῷ τρόπῳ, οἷον ἐπὶ τοῦ αὐτοῦ ὑποδείγματος τὰ πλήρη Αὐγούστου ἔτη ρμη′ καὶ ἐμβόλιμοι λς′ καὶ τοῦ Θὼθ α′· γίγνονται ρπε′· ἐκ τούτων ἀφαιρῶ ἑβδομάδας κς′· λοιπαὶ γ′. ταύτας ἀπὸ Ἡλίου· καταλήγει τὸ ἔτος Ἄρει. ἐπὰν οὖν ἐπιγνῷς τὸν κύριον τοῦ ἔτους, εὑρήσεις καὶ τὸν κύριον τοῦ μηνὸς οὕτως, τῇ τῶν ζωνῶν διαθέσει ἀνωφερῶς χρώμενος. οἷον ὁ Θὼθ ἔσται Ἄρεως· ἐπεὶ οὖν ἡ κθ′ τοῦ Θὼθ πάλιν εἰς τὸν Ἄρεα καταλήγει, ἡ λ′ Ἑρμοῦ, ἡ πρώτη τοῦ Φαωφὶ ἔσται Διός, ἡ λ′ Ἀφροδίτης· ἡ α′ τοῦ Ἀθὺρ Κρόνου, ἡ τοῦ Χοιὰκ α′ Σελήνης, ἡ τοῦ Τυβὶ Ἑρμοῦ, ἡ τοῦ Μεχὶρ Ἀφροδίτης. ἐπεὶ οὖν τοῦ μὲν ἔτους κύριος Ἄρης, τοῦ δὲ μηνὸς Ἀφροδίτη, τῆς δὲ ἡμέρας Ἑρμῆς, τῆς δὲ ὥρας Ἥλιος, τούτους σκοπεῖν δεήσει ἐπὶ τῆς γενέσεως πῶς εἰσι κείμενοι. ἐπιτόπως μὲν γὰρ καὶ τῆς αἱρέσεως πράξεως δηλωτικοί, καὶ μάλιστα ὅταν ὁ κύριος τοῦ ἔτους διαπορευόμενος τύχῃ τὸν καταγόμενον ἐνιαυτόν, ὁ δὲ τοῦ μηνὸς τὸν μῆνα καὶ ὁ τῆς ἡμέρας τὴν ἡμέραν. ἐὰν δέ πως παραπέσωσιν ἢ ὑπὸ κακοποιῶν μαρτυρηθῶσιν, ἐναντιωμάτων καὶ ταραχῶν εἰσιν δηλωτικοί. Ἐμοὶ δὲ μᾶλλον φυσικώτερον ἔδοξε τὰ πλήρη [τὰ] ἀπὸ Αὐγούστου ἔτη καὶ τὰς ἐμβολίμους λαβόντα, καθὼς πρόκειται, καὶ τὰς ἀπὸ Θὼθ ἕως τῆς γενεσιακῆς ἡμέρας καὶ ἐκκρούσαντα ἑβδομάδας καὶ τὰς λοιπὰς ἀπολύσαντα ἀπὸ Ἡλίου ἐκεῖνον κρίνειν τοῦ ἔτους κύριον, εἰς ὃν κατέληξεν ὁ ἀριθμός· ἑκάστης γὰρ γενέσεως ἡ νουμηνία τὴν γεννητικὴν ἡμέραν ἐφέξει. ἐν δὲ τῷ αὐτῷ ἔτει τοὺς γεννωμένους ὑπὸ μίαν οἰκοδεσποτίαν τετευχέναι οὐ δοκεῖ λόγον ἔχειν. καθολικῶς οὖν τοῦ ἔτους τὸν κύριον καὶ κοσμικῶν κινήσεων οἱ παλαιοὶ ἐκ τῆς νουμηνίας τοῦ Θὼθ κατελάβοντο (ἔνθεν γὰρ τὴν ἀρχὴν τοῦ ἔτους ἐποιήσαντο), φυσικώτερον δὲ ἐκ κυνὸς ἐπιτολῆς. 〈ιβ′.〉 Περὶ ἀρρενικῶν καὶ θηλυκῶν μοιρῶ ν . Περὶ δὲ ἀρρενικῶν καὶ θηλυκῶν μοιρῶν οὕτως. τῶν μὲν ἀρρενικῶν ζῳδίων αἱ πρῶται β′ ἥμισυ μοῖραι ἔσονται ἀρρενικαί, αἱ δὲ ἑξῆς β′ ἥμισυ θηλυκαί· τῶν δὲ θηλυκῶν ζῳδίων αἱ πρῶται β′ ἥμισυ θηλυκαί, αἱ ἑξῆς ἀρρενικαί, αἱ δὲ ἑξῆς θηλυκαί.

28 τοῖς οὖν συνοδικοῖς ἡ μοῖρα τῆς συνόδου δηλώσει, τοῖς δὲ πανσεληνιακοῖς ἡ μοῖρα τῆς πανσελήνου· οἱ δέ, ἐν ᾗ μοίρᾳ ὁ ὡροσκόπος ἢ ἡ Σελήνη. 〈ιγ′.〉 Περὶ φωτισμῶν Σελήνη ς . Εἰσὶ δὲ καὶ οἱ φωτισμοὶ τῆς Σελήνης οὕτως. πρωταία μὲν γὰρ οὖσα φαίνει ὥρας ∠′ δ′ κ′· δευτεραία α′ ∠′ ι′· καὶ ἀεὶ ὅσων ἂν ᾖ ἡμερῶν, τετράκις ποιήσας πέμπτον λαβὼν ἀποφαίνου τὴν ὥραν. οἷον ιε′ ἐστὶ τῆς Σελήνης· τετράκις ταῦτα γίνεται ξ′, ὧν ε′ ιβ′· φαίνει ἄρα λείπουσα ὥρας ιβ′. πρωταία μὲν γὰρ οὖσα φαίνει ὥρας ∠′ δ′ κ′; δευτεραία ὥραν α′ ∠′ ι′, τριταία ὥρας β′ γ′ ιε′, τεταρταία ὥρας γ′ ε′, πεμπταία ὥρας δ′, ἑκταία ὥρας δ′ ∠′ δ′ κ′, ἑβδομαία ὥρας ε′ ι′, ὀγδοαία ς′ ς′ ιε′, ἐναταία ὥρας ζ′ ε′, δεκαταία ὥρας η′, ἑνδεκαταία ὥρας η′ ∠′ δ′ κ′, δωδεκαταία ὥρας θ′ ε′ ι′, τρισκαιδεκαταία ὥρας ιγ′ ιε′, τεσσαρακαιδεκαταία ὥρας ια′ ε′, πεντεκαιδεκαταία ὥρας ιβ′. ὁμοίως ις′ πρὸς ἀφαίρεσιν ὡς ἀπὸ α′ ἕως ιε′ ἐστίν. [ἔστι δὲ αὐτῆς ὁ μὴν ἡμερῶν κθ′, ὁ δὲ ἐνιαυτὸς ἡμερῶν τνδ′.] 〈ιδ′.〉 Περὶ κρύψεως Σελήνη ς . Ἀφανὴς δὲ γίνεται ἡ Σελήνη ἐπὶ σύνοδον φερομένη καθ’ ἕκαστον ζῴδιον μοιρικῶς οὕτως. ὅπου ἂν εὑρεθῇ ὁ Ἥλιος, τοῦ ζῳδίου λάμβανε τὴν ἡμίσειαν ἀναφοράν, κἀκεῖ ἔσται λείπουσα. οἷον Ἥλιος Κριῷ ἐπὶ τοῦ δευτέρου κλίματος· ἡ ἀναφορὰ τοῦ ζῳδίου κ′, ὧν τὸ ἥμισυ ι′· ἀφαιρουμένων τῶν ι′ ἐκ τῶν λ′ Σελήνη

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀφανὴς ἐν Ἰχθύσιν περὶ μοίρας κʹ. Ἥλιος Ταύρῳ· τὸ ἥμισυ τῆς ἀναφορᾶς ιβʹ· ἔσται ἡ Σελήνη ἀφανὴς ἐν Κριῷ περὶ μοίρας ιηʹ. Ἥλιος Διδύμοις· τὸ ἥμισυ τῆς ἀναφορᾶς τοῦ ζῳδίου ιδʹ· ἔσται οὖν ἡ Σελήνη περὶ τὰς ιϛʹ μοίρας τοῦ Ταύρου ἀφανής. Ἥλιος Καρκίνῳ· τὸ ἥμισυ τῆς ἀναφορᾶς ιϛʹ· ἔσται ἀφανὴς ἡ Σελήνη Διδύμοις περὶ μοίρας ιδʹ. Ἥλιος Λέοντι· τὸ ἥμισυ τῆς ἀναφορᾶς ιηʹ· ἔσται ἀφανὴς ἡ Σελήνη Καρκίνῳ περὶ μοίρας ιβʹ.

29 Ἥλιος Παρθένῳ· τὸ ἥμισυ τῆς ἀναφορᾶς κʹ· ἔσται ἀφανὴς ἡ Σελήνη Λέοντι περὶ μοίρας ιʹ. ὁμοίως καὶ ἐπὶ τῶν λοιπῶν ζῳδίων. 〈ιεʹ.〉 Περὶ τριταίας ἑβδομαίας τεσσαρακοσταίας Σελήνη ς . Περὶ δὲ τριταίας καὶ ἑβδομαίας καὶ τεσσαρακοσταίας οὕτως. ἔστω Σελήνη Σκορπίῳ μοίραις ζʹ· ἡ τριταία ἔσται Τοξότῃ μοίραις ζʹ. οὕτω γὰρ δέον ζητεῖν τὰς ἡμέρας, ἄλλως τε ἡ τοῦ Τοξότου ζʹ μοῖρα καθέστηκε τριταία ἡμέρα. ἡ δὲ ἑβδομαία εὑρεθήσεται πρὸς ἀποτελεσματογραφίαν ἐν τῇ τετραγώνῳ πλευρᾷ περὶ Ὑδροχόου μοίρας ζʹ· ἡ δὲ τεσσαρακοσταία περὶ Ταύρου μοίρας ζʹ. τινὲς δὲ ταῖς κατὰ γένεσιν Σελήνης μοίραις προστιθέασιν ρξʹ καὶ ἀπολύουσιν ἀπὸ τοῦ σεληνιακοῦ ζῳδίου. οἱ δὲ τὴν σεληνιακὴν γενεσιακὴν μοῖραν παρὰ τὰς τριταίας καὶ ἑβδομαίας καὶ τεσσαρακοσταίας ἐπιπροσθέντες καὶ ψηφίσαντες τὴν Σελήνην ἐκεῖ λογίζονται. καθολικῶς οὖν σημειοῦνται τάς τε εὐτυχεῖς καὶ ἀτυχεῖς καὶ μέσας γενέσεις ἐκ τῆς τριταίας καὶ ἑβδομαίας καὶ τεσσαρακοσταίας· τούτων μὲν γὰρ τῶν τόπων θεωρουμένων ὑπὸ ἀγαθοποιῶν ἐν χρηματιστικοῖς τόποις καὶ μὴ ὑπὸ κακοποιῶν ὑπερευτυχεῖς καὶ μεγάλας ἀποφαίνου, τῶν δὲ δύο ἐπιθεωρουμένων ὑπὸ ἀγαθοποιῶν τοῦ δὲ ἑτέρου ὑπὸ κακοποιῶν μέσας, τῶν δὲ τριῶν ὑπὸ κακοποιῶν μόνων τῶν ἀγαθοποιῶν ἀποστρόφων ὄντων ἀτυχεῖς· ἐὰν δὲ ἀναμεμιγμένοι ὦσιν, μέσας λέγε. 〈ιϛʹ.〉 Ἀναβιβάζοντα ἀπὸ χειρὸς εὑρεῖ ν . Ἀναβιβάζοντα δὲ ἀπὸ χειρὸς εὑρεῖν, τὰ πλήρη ἔτη ἀπὸ Αὐγούστου λαβὼν πολυπλασίασον ἐπὶ τὸν ιθʹ γʹ καὶ ἑκάστου μηνὸς Αἰγυπτίου ἀνὰ μοῖραν αʹ εʹ λεʹ, ἑκάστης δὲ ἡμέρας εʹ γʹ συνθεὶς ἀφαίρει τοῖς πρώτοις ἀνὰ τξʹ. τὸν δὲ καταλειπόμενον ἀριθμὸν ἀνωφερῶς ἀπὸ Καρκίνου δίδου ἑκάστῳ ζῳδίῳ ἀνὰ λʹ· καὶ ὅπου δὰν καταλήξῃ, ἐκεῖ ἔσται ὁ ἀναβιβάζων. οἷον Ἀδριανοῦ δʹ Φαμενὼθ ιθʹ· τὰ ἀπὸ Αὐγούστου πλήρη ἔτη ρμηʹ· ταύτας ἐπὶ τὸν ιθʹ τρίτον γίνονται ͵βωξβʹ· καὶ ἀπὸ Θὼθ ἕως τοῦ Φαμενὼθ συνάγονται μοῖραι ιʹ· γίγνονται ὁμοῦ ͵βωοβʹ.

30 αἰρῶ κύκλους ἐκ τούτων ζʹ ἀνὰ τξʹ· λοιπαὶ καταλείπονται τνβʹ. ταύτας ἀνωφερῶς ἀπὸ Καρκίνου· καταλήγει εἰς τὴν τοῦ Λέοντος μοῖραν ηʹ· ἔσται οὖν ὁ ἐκλειπτικὸς τόπος ἐνταῦθα, ὁ δὲ καταβιβάζων ἐν τῷ διαμέτρῳ. Σκοπεῖν οὖν δεήσει, ἐν τούτοις εἰ ἀγαθοποιοί εἰσι καὶ μάλιστα τῷ ἀναβιβάζοντι· ἔσται γὰρ ἡ γένεσις εὔπορος καὶ πρακτική· κἂν μετρία εὑρεθῇ ἢ ἐν καθαιρέσει γινομένη, ἀναβιβασθήσεται καὶ ἐν δόξῃ γενήσεται. οἱ δὲ κακοποιοὶ ἐκπτώσεις καὶ καταιτιασμοὺς ἀποτελοῦσιν. ἀπὸ δὲ τῶν σεληνιακῶν ἐποχῶν καὶ ἡμερησίων ὁ ἀναβιβάζων καὶ τὸ ζῴδιον τοῦ πλάτους οὕτως εὑρίσκεται. οἷον ἐπὶ τῆς προκειμένης γενέσεως δʹ ἔτει Ἀδριανοῦ Φαμενὼθ ιθʹ ἀπὸ ἐποχῆς ἕως γενεσιακῆς ἡμέρας γίνονται σδʹ· καὶ ἐποχῇ μὲν παράκεινται πλάτους μοῖραι ιβʹ ιηʹ καὶ εἰς τὰς σδʹ τοῦ πλάτους ιαʹ λζʹ, γίνονται κγʹ νεʹ· ταύτας ἐπὶ τὸν ιεʹ γίνονται τνηʹ μεʹ· ἀπολύω ἀπὸ Λέοντος κατὰ τὰ ἑξῆς· καταλήγει Καρκίνῳ κηʹ μεʹ. 〈ιζʹ.〉 Ἄλλως συντομώτερο ν . Τὰς κγʹ νεʹ ἀπολύω ἀπὸ Λέοντος διδοὺς ἑκάστῳ ἀνὰ βʹ· ἕως οὖν Διδύμων γίνονται κβʹ, καὶ λοιπὰ αʹ νεʹ· ταύτας πολυπλασιάζω ἐπὶ τὸν ιεʹ· γίνονται κηʹ μεʹ Καρκίνου. εἶτα λαμβάνω ἀπὸ Ταύρου πάντοτε ἀνὰ μοῖραν αʹ ἕως ἐκπεπτωκυίας μοίρας· γίνονται πθʹ ἔγγιστα. ταύτας ἀναποδίζω ἀπὸ τῆς σεληνιακῆς μοίρας, ἥτις ἐστὶ Σκορπίου ζʹ· καταλήγει εἰς τὴν τοῦ Λέοντος μοῖραν ηʹ ὁ ἀναβιβάζων. οὕτως καὶ ἐπὶ τῶν λοιπῶν γενέσεων σκοπεῖν δεήσει. ἐὰν δὲ καὶ τὸ ζῴδιον τοῦ πλάτους θέλω ἐπιγνῶναι, οὕτως ποιήσω. αὐτὰς μόνον τὰς τῇ ἐποχῇ παρακειμένας τοῦ πλάτους ιβʹ ιηʹ πολυπλασιάζω ἐπὶ τὸν ιεʹ· γίνονται ρπδʹ λʹ· ἀπολύω ἀπὸ Λέοντος· καταλήγει εἰς Ὑδροχόου δʹ λʹ. εἶτα τὰς τῆς ἡμερησίας ταῖς 〈σ〉 δʹ παρακειμένας [μοίρας] πλάτους μοίρας ιαʹ λζʹ πολυπλασιάζω ἐπὶ τὸν ιεʹ. γίνονται ροδʹ ιεʹ.

ταύταις προσθεὶς τὰς τοῦ Ὑδροχόου δ′ λ′ ἀπέλυσα ἀπ’ αὐτοῦ· κατέληξε Καρκίνῳ κη′ με′. οὕτως καὶ ἐπὶ τῶν λοιπῶν ἐποχῶν εὑρήσομεν τὸ ζῴδιον τοῦ πλάτους. 〈ιη′〉.

31 Περὶ εὑρέσεως βαθμῶν καὶ ἀνέμων τῆς Σελήνη ς . Τὸν δὲ βαθμὸν καὶ τὸν ἄνεμον οὕτως εὑρήσομεν. ἀπὸ Λέοντος ἕως Ζυγοῦ ἡ Σελήνη καταβαίνει βόρεια, ἀπὸ δὲ Σκορπίου ἕως Αἰγόκερω καταβαίνει νότια, ἀπὸ δὲ Ὑδροχόου ἕως Κριοῦ ἀναβαίνει τὰ νότια, ἀπὸ δὲ Ταύρου ἕως Καρκίνου ἀναβαίνει τὰ βόρεια. οἱ δὲ βαθμοὶ εὑρίσκονται οὕτως. ἐπεὶ ἕκαστος βαθμός ἐστι μοιρῶν ιε′, τὸ δὲ ζῴδιον ἐπέχει μοίρας λ′, ἐφέξει ἓν ἕκαστον ζῴδιον βαθμοὺς β′. ἀπὸ Λέοντος οὖν τὴν ἄφεσιν ποιούμενοι τοῦ πλάτους εὑρήσομεν τὸν βαθμόν. ἐπεὶ οὖν ἐν τῇ προκειμένῃ γενέσει τὸ πλάτος εὑρέθη κγ′ νε′, [καὶ] ἀπολύσαντες ἀπὸ Λέοντος 〈ἀνὰ〉 μοίρας β′ εὑρήσομεν Καρκίνου μοῖραν α′ νε′. ἔγνωμεν ὅτι ἡ Σελήνη ἀναβαίνει τὰ βόρεια περὶ βαθμὸν τοῦ ἀνέμου ἕκτον. 〈ιθ′〉. Ἱππάρχειον περὶ ψήφου Σελήνης ἐν ποίῳ ζῳδί ῳ . Εὗρον δὲ καὶ ἐν ποίῳ ζῳδίῳ ἡ Σελήνη ἀπὸ χειρὸς οὕτως. ἑκάστου βασιλέως τὴν πρόσθεσιν τῷ ζητουμένῳ ἔτει προσβάλλων μερίσεις εἰς τὸν γ′ μὴ λοιπογραφῶν τὸν ἀριθμὸν ἀλλὰ κατέχων· ἐὰν μὲν γὰρ περισσεύῃ α′, πρόσθες τ′ τῷ ἀριθμῷ· ἐὰν δὲ β′, κ′· ἐὰν δὲ γ′, μηδέν· ἄρτιος γὰρ ὁ ἀριθμός. εἶτα τὸ ἥμισυ τῶν ἀπὸ Θὼθ μηνῶν ἕως τοῦ γεννητικοῦ λαβὼν καὶ τὰς ἡμέρας ἐπιπροσθεὶς τῷ πρώτῳ ἀριθμῷ καὶ ἀφελών, ἐὰν ἐνῇ, τριακοντάδας τὰς λοιπὰς ἀπόλυε ἀπὸ τοῦ ἡλιακοῦ ζῳδίου· ἐὰν μὲν ἐν ἀρχῇ ᾖ, ἀνὰ β′ ∠ ′, ἐὰν δὲ ἐν ὑστέραις, τὸ ἐπιβάλλον. ὅπου δ’ ἂν καταλήξῃ, ἐκεῖ ἡ Σελήνη. Ὁμοίως δὲ τῷ αὐτῷ τρόπῳ τεθείσης γενέσεως τὴν ἡμέραν εὑρεῖν· τῷ ζητουμένῳ ἔτει τὴν πρόσθεσιν ἐπισυνθεὶς καὶ μερίσας ὡς πρόκειται εἰς τὸν γ′ καὶ τὸ ἥμισυ τῶν μηνῶν ἐπιπροσθεὶς σημειοῦ τὸν ἀριθμόν· εἶτα εἰκάσας τὸ ἀπὸ Ἡλίου διάστημα ἕως τῆς Σελήνης ὡς ἑκάστου ζῳδίου ἀνὰ β′ γ′ σύγκρινε, τίς πλείων ἀριθμός. ἐὰν γὰρ τὸ ἀπὸ Ἡλίου ἕως Σελήνης διάστημα πλεονάζῃ, ἐκ τούτων ἀφελεῖς τὸν πρῶτον συναχθέντα ἀριθμόν, καὶ αἱ καταλειπόμεναι τὴν ἡμέραν δηλώσουσιν.

32 ἐὰν δὲ ἥττους ὦσιν αἱ τοῦ διαστήματος, ἐπιπροσθεὶς αὐταῖς λ′ οὕτως ἀφαίρει τὸν προσυναχθέντα ἀριθμόν. ἐὰν δὲ οἱ δύο ἀριθμοὶ ἀνὰ λ′ εὑρεθῶσιν, συνοδεύει ἡ Σελήνη τῷ Ἡλίῳ. Οἷον ἔτος γ′ Ἀδριανοῦ Ἀθὺρ κη′. τῷ γ′ ἔτει προσέθηκα τὰς ἐξ ἔθους τῷ βασιλεῖ προστιθεμένας β′· γίνονται ε′· ἐμέρισα εἰς τὸ γ′· 〈λοιπαὶ β′,〉 ἀνθ’ ὧν προσβάλλω κ′· γίνονται κε′. καὶ τὸ ἥμισυ τῶν μηνῶν α′ ∠ ′ καὶ τὴν κη′· γίνονται νδ′ ∠ ′. ἀφαιρῶ τριακοντάδα μίαν· λοιπαὶ κδ′ ∠ ′· ἔσται ἡ Σελήνη ἀπὸ συνόδου τοσαύτας ἔχουσα ἡμέρας. ταύτας ἀπολύω ἀπὸ τοῦ ἡλιακοῦ ζῳδίου Τοξότου ἀνὰ β ∠ ′· καταλήγει ἡ Σελήνη Παρθένῳ τῇ προκειμένῃ ἡμέρᾳ. Τὴν δὲ ἡμέραν οὕτως· πάλιν τῷ γ′ ἔτει προσέθηκα τὰς β′ καὶ ἐμέρισα παρὰ τὸν γ′· λοιπαὶ β′. ἀνθ’ ὧν προσέθηκα κ′ καὶ τὸ ἥμισυ τῶν μηνῶν α ∠ ′, γίνεται κϛ′ ∠ ′· εἶτα εἴκασα τὸ ἀπὸ Ἡλίου ἕως Σελήνης διάστημα τουτέστιν ἀπὸ Τοξότου ἕως Παρθένου, ἡμερῶν κδ′ ἥμισυ. ἐπεὶ οὖν ἐκ τούτων οὐ δυνατὸν ἀφελεῖν τὰς κϛ′ ἥμισυ τὰς προσυναχθείσας, προσέθηκα αὐταῖς λ′· γίνεται νδ′ ἥμισυ· ἐκ τούτων ἀφεῖλον κϛ′ ἥμισυ· λοιπαὶ κη′, αἵτινες τὴν γεννητικὴν ἡμέραν ἐδήλουν. [Ἑκάστῳ βασιλεῖ ὁ ἐξ ἔθους προστιθέμενος ἀριθμὸς ὁ ὑποτεταγμένος ἐκ καταγωγῆς τοιαύτης. Αὐγούστῳ α′ καὶ ἐβασίλευσεν ἔτη μγ′, γίνεται μδ′· ἀφαιρῶ λ′, λοιπαὶ ιδ′. ταύτας Τιβερίῳ προστιθῶ καὶ τὰ τῆς βασιλείας Τιβερίου κβ′, γίνεται λϛ′· ἀφαιρῶ λ′, λοιπαὶ ἕξ. ταῦτα Γαΐῳ προστιθῶ, καὶ ἐκράτησε δ′, γίνεται ι′. Κλαυδίῳ προσέθηκα καὶ ἐβασίλευσε ιδ′, γίνεται κδ′. ἐξ ὧν ἀφαιρῶ ἐννεακαιδεκαετηρίδα, λοιπὰ ε′. ταῦτα Νέρων ι· καὶ ἐβασίλευσε ιδ′, γίνεται ιθ′· πλήρης οὖν ἡ ἐννεακαιδεκαετηρίς. καὶ αὕτη μὲν χρηματίζει ἐὰν θῇ μὲν οὖν εἰς συμπλήρωσιν τῶν λ′ Οὐεσπασιανοῦ ια′ καὶ ἐβασίλευσε ι′, γίνεται κα′· ἀφεῖλον ἐννεακαιδεκαετηρίδα. λοιπὰ β′. ταῦτα Τίτ ῳ· καὶ τὰ τῆς κρατήσεως γ′, γίνεται ε′.

33 ταῦτα Δομετιαν ῷ· καὶ τὰ τῆς κρατήσεως ιε′, γίνεται κ′. ἐξ ὧν ἀφαιρῶ ἐννεακαιδεκαετηρίδα, λοιπὸν α′· ἔστιν ἡ τοῦ Νέρουα πρόσθεσις, καὶ ὃ ἐκράτησεν ἔτος α′, γίνεται β′. ταῦτα Τραϊαν ῷ,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ ἃ ἐκράτησε ιθʹ, γίνεται καʹ· ὑφαιρουμένης τῆς ἐννεακαιδεκαετηρίδος λοιπαὶ περιλείπονται βʹ, αἵτινές εἰσιν Ἀδριανο ῦ, καὶ ἃ ἐκράτησεν εἴκοσι ἓν τῆς βασιλείας, γίνεται κγʹ· ἐξ ὧν ἀφαιρῶ ἐννεακαιδεκαετηρίδα· λοιπαὶ δʹ Ἀντωνίνο υ. ὁμοίως προστιθῶ ἃ ἐκράτησεν ἔτη κγʹ, γίνεται κζʹ. ἀφ' ὧν ἀφαιρῶ ιθʹ, λοιπὰ ηʹ. αὗται προστεθήσονται Ἀντωνίνῳ καὶ Λουκίῳ Κομμόδῳ καὶ ἃ ἐβασίλευσε λβʹ, γίνεται μʹ· ἀφ' ὧν ἀφαιρῶ λʹ, λοιπὰ ιʹ Σεβήρου καὶ Ἀντωνίνο υ. καὶ ἐβασίλευσαν κεʹ, γίνεται λεʹ· ἐξ ὧν ἀφαιρῶ λʹ, λοιπὰ εʹ Ἀντωνίν ῳ· καὶ ἐβασίλευσε δʹ, γίνεται θʹ Ἀλεξάνδρ ῳ· καὶ ἃ ἐβασίλευσε ιγʹ, γίνεται κβʹ· ἐξ ὧν ἀφαιρῶ ἐννεακαιδεκαετηρίδα· λοιπὰ δʹ τῆς Μαξιμιανοῦ προσθέσεως καὶ ἃ ἐκράτησε γʹ, γίνεται ζʹ. καὶ Γορδιανοῦ ϛʹ καὶ Φιλίππου ϛʹ, γίνεται ὁμοῦ ιθʹ· πλήρης ἡ ἐννεακαιδεκαετηρίς.] 〈κʹ. Περὶ ψήφου Ἡλίου καὶ τῶν εʹ ἀστέρω ν .〉 Τὸν δὲ Ἥλιον μοιρικῶς οὕτως ἐπιγνώσῃ· πάντοτε τῇ γενεθλιακῇ ἡμέρᾳ προστίθει ἀπὸ μὲν Θὼθ ἕως Φαμενὼθ μοίρας ηʹ, καὶ τοσούτων εὑρήσεις τὸν Ἥλιον· τῷ Φαρμουθὶ ζʹ, τῷ Παχὼν ϛʹ, τῷ Παϋνὶ εʹ, τῷ Ἐπιφὶ δʹ, τῷ Μεσωρὶ γʹ. οἷον ἐν Φαωφὶ ϛʹ, προσέθηκα ηʹ· γίνονται ιδʹ· τοσούτων μοιρῶν ὁ Ἥλιος ἐν Ζυγῷ. Παχὼν ϛʹ καὶ ϛʹ· γίνεται ιβʹ· τοσούτων μοιρῶν ὁ Ἥλιος Ταύρῳ. Ἐπεὶ δέ τινες τῶν φιλομαθῶν περὶ τὴν τῶν ἀριθμῶν ἀγωγὴν προθυμότεροι καθίστανται, τούτοις ἀναγκαῖον ὑποτάξαι καὶ τοὺς λοιποὺς ἀστέρας ἀπὸ χειρός, ὅπως διὰ τῆς τοιαύτης τριβῆς ἡδεῖαν τὴν μοιρικὴν καὶ ἀκριβῆ διδασκαλίαν ἀναλαβόντες οὕτως καὶ τὴν τῶν μειζόνων αἱρέσεων διάκρισιν ποιήσωνται μετὰ πάσης προθυμίας. Τὸν μὲν οὖν Κρόνον οὕτως ψηφιστέον· τὰ ἀπὸ Αὐγούστου ἔτη πλήρη ἀναλαβὼν ἔκκρουε ὁσάκις δύνῃ ἀνὰ λʹ, τὰ δὲ περιλειπόμενα πολυπλασίασον ἐπὶ τὸν ιβʹ· καὶ ὁσάκις εἶ ἐκκεκρουκὼς τριακοντάδας, ἑκάστου κύκλου ἀναλάμβανε εʹ καὶ ἀπὸ Θὼθ ἑκάστου μηνὸς ἀνὰ αʹ, ἑκάστης δὲ ἡμέρας ἀνὰ λβʹ, καὶ συγκεφαλαιώσας ἀπόλυε ἀπὸ Καρκίνου κατὰ τὸ ἑξῆς ἀνὰ λʹ· καὶ ὅπου δ᾽ἂν καταλήξῃ, ἐκεῖ ἔσται ὁ ἀστήρ.

34 Τὸν δὲ Δία οὕτως. Τὰ ἀπὸ Καίσαρος πλήρη μέριζε παρὰ τὸν ιβʹ, τὰς δὲ καταλειπομένας πολυπλασίασον ἐπὶ τὸν ιβʹ καὶ συναναλάμβανε τούτοις, ὁσάκις ἂν ᾖς ἐκκεκρουκὼς δωδεκάδας, ἑκάστου κύκλου ἀνὰ αʹ καὶ ἑκάστου μηνὸς ἀνὰ αʹ καὶ ἑκάστης ἡμέρας εʹ θʹ· καὶ συγκεφαλαιώσας ἀπόλυε ἀπὸ Ταύρου ἀνὰ ιβʹ ἑκάστῳ ζῳδίῳ. Τὸν δὲ Ἄρεα οὕτως. Τὰ ἀπὸ Αὐγούστου μέχρις 〈οὗ〉 ζητεῖς ἔτους ἀναλαβὼν ἔκκρουε ὁσάκις δύνῃ ἀνὰ λʹ, τὸν δὲ καταλειπόμενον ἀριθμὸν διάκρινε, πότερον ἄρτιός ἐστιν ἢ ἄνισος, ἵνα ἐὰν μὲν εὕρῃς ἄρτιον, ἀπὸ Κριοῦ τὴν ἄφεσιν ποιήσῃς, ἐὰν δὲ ἄνισον, ἀπὸ Ζυγοῦ. μετὰ οὖν τὸ ἐπιγνῶναι τὸν ἀριθμὸν δίπλωσον, καὶ ἑκάστου μηνὸς ἀνὰ βʹ ἥμισυ· ἐὰν ὑπὲρ τὰς ξʹ γένηται, τὰ λοιπὰ ἀπόλυε ἀπὸ Ζυγοῦ ἢ Κριοῦ, ἑκάστῳ ζῳδίῳ διδοὺς ἀνὰ μοίρας εʹ. ὅπου δ᾽ ἂν καταλήξῃ, σημειωσάμενος τὸ ζῴδιον σκόπει τὸν Ἥλιον, ἐν ποίῳ ζῳδίῳ ἐστίν· ἐὰν μὲν γὰρ ἀνώτερος εὑρεθῇ, ἀναποδίσει ὁ ἀστὴρ ἀπὸ τοῦ εὑρεθέντος ζῳδίου, ἐὰν δὲ κατώτερος, προποδίσει· τουτέστι πάντοτε ἐγγύτερον τοῦ Ἡλίου αὐτὸν ποίει ἀπὸ τοῦ εὑρισκομένου ζῳδίου· καὶ οἱ λοιποὶ δὲ ἀστέρες τὴν αὐτὴν δύναμιν ἔχουσι περὶ τὴν μέσην τοῦ Ἡλίου κίνησιν φερόμενοι, μάλιστα δὲ ἡ Ἀφροδίτη. Τὴν δὲ Ἀφροδίτην οὕτως. τὰ ἀπὸ Καίσαρος ἕως οὗ ζητεῖς ἔτους ἀναλαβὼν μέριζε παρὰ τὸν ηʹ, τὸν δὲ καταλειφθέντα ἐντὸς τῶν ηʹ ἀριθμὸν σκόπει εἰ ἔχει ἐποχὴν στηριγμοῦ, κἀκείνῃ χρησάμενος ἀναλάμβανε τὸ πλῆθος τῶν ἡμερῶν ἕως τῆς ἐπιζητουμένης ἡμέρας, ἐάνπερ ἐπιδέχηται. εἰ δ᾽ οὖν, τῇ ὑπεράνω χρῶ, καθάπερ ἐπὶ τῆς Σελήνης· ἐὰν γὰρ πρὸ γενέσεως εὑρεθῇ ἡ ἐποχὴ αὕτη, χρηστέον· ἐὰν δὲ μετὰ τὴν γένεσιν, τῇ ὑπεράνω. συναθροίσας δὲ τὸ κεφάλαιον καὶ ἀφελὼν τοῦ ζῳδίου τὴν ἐποχὴν ἀπόλυε ἑκάστου ζῳδίου μοίρας ρκʹ, τουτέστι τοῦ στηριγμοῦ τὰς λοιπὰς ἀπὸ τοῦ ἐχομένου ζῳδίου [ἀπὸ] τῆς ἐποχῆς ἀπόλυε, ἑκάστῳ ζῳδίῳ διδοὺς ἀνὰ κεʹ. ὅπου δ᾽ ἂν καταλήξῃ ὁ ἀριθμός, ἐκεῖ ἔσται ἡ Ἀφροδίτη.

35 αἱ δὲ ἐποχαὶ τῶν στηριγμῶν πρόδηλοι ἔσονται ἐκ τῶν περιλειπομένων ἐτῶν· ἐὰν περισσεύῃ οἷον αʹ γʹ δʹ ϛʹ ζʹ, στηρίζει· ἐὰν δὲ βʹ εʹ, ὁδεύει. ἡ οὖν πρώτη ἐποχὴ ἐφέξει Φαμενὼθ ιʹ Ταύρῳ, αἱ

γʹ Φαωθὶ ιʹ Τοξότῃ, αἱ δʹ Παϋνὶ κβʹ Λέοντι, αἱ ϛʹ Τυβὶ ηʹ Ἰχθύσιν, αἱ ζʹ Μεσωρὶ ιδʹ Ζυγῷ· εἰς τὸ ηʹ ἔτος τὸν στηριγμὸν ἐπέχουσα. Τὸν δὲ τοῦ Ἑρμοῦ οὕτως [ψηφιζόμενον ἢ] ψηφιστέον. ἕως τῆς γεννητικῆς ἡμέρας ἀναλαβὼν καὶ ταύταις ἐπιπροσθεὶς πάντοτε ἔξωθεν ρξβʹ καὶ συγκεφαλαιώσας, ἐὰν ᾖ ὑπὲρ τὰς τξʹ, ἀφελὼν κύκλον τὰς λοιπὰς ἀπόλυε ἀπὸ Κριοῦ ἑκάστῳ ζῳδίῳ διδοὺς ἀνὰ λʹ, καὶ ὅπου δἂν καταλήξῃ, ἐκεῖ ὁ ἀστήρ. πάντοτε μὲν οὖν ἔγγιστα τοῦ Ἡλίου αὐτὸν ποίει. οἷον ἐν ἀρχῇ ἦν τοῦ ζῳδίου ὁ Ἥλιος, ἐν τῷ ὄπισθεν αὐτὸν δυνατὸν εὑρεθῆναι· ἐὰν δὲ ἐπὶ τέλει, ἐν τῷ ἑξῆς ζῳδίῳ. Ἔστω δὲ ἐπὶ ὑποδείγματος ιγʹ Τραϊανοῦ Φαμενὼθ ιηʹ· τὰ ἀπὸ Αὐγούστου ἔτη πλήρη ρληʹ. ἐκ τούτων ἀφεῖλον δʹ τριακοντάδας, ἀνθʼ ὧν ἀναλαμβάνω ἑκάστου κύκλου ἀνὰ εʹ, γίνονται κʹ· τὰς δὲ περιλειφθείσας ιηʹ πολυπλασιάζω ἐπὶ τὸν ιβʹ, γίνονται σιϛʹ· καὶ ἀπὸ Θὼθ ἕως Φαμενὼθ ἑκάστου μηνὸς ἀνὰ αʹ, γίνονται ζʹ· ὁμοῦ πᾶσαι σμγʹ. ἔπειτα ταύτας ἀπολύω ἀπὸ Καρκίνου ἀνὰ λʹ, καταλήγει ἐν Ἰχθύσιν· ἐκεῖ Κρόνος. —Πάλιν ρληʹ ἐμέρισα εἰς τὰς ιβʹ, ιαʹ καὶ λοιπὰ ϛʹ· ταῦτα δωδεκάκις γίνονται οβʹ, καὶ ἑκάστου ἐκκρουσθέντος κύκλου ἀνὰ αʹ, γίνονται ιαʹ, καὶ τῶν μηνῶν ζʹ, γίνονται ϟʹ· ταύτας ἀπὸ Ταύρου ἀνὰ ιβʹ. καταλήγει Τοξότῃ· ἐκεῖ Ζεύς. —Εἶτα τὸν Ἄρεα οὕτως· ἀπὸ Καίσαρος ἕως τοῦ ζητουμένου ἔτους γίνονται ρλθʹ, ἐκ τούτων λʹ ἀφεῖλον τετράκις, λοιπαὶ ιαʹ. ἐπεὶ οὖν ὁ περιλειφθεὶς ἀριθμὸς ἄνισος εὑρέθη, ἔγνων ὅτι τὴν ἄφεσιν ἀπὸ Ζυγοῦ δεῖ με ποιῆσαι. ταύτας οὖν ἐδίπλωσα, γίνονται κβʹ, καὶ ἑκάστου μηνὸς ἕως Φαμενώθ, γίνονται ιζʹ, ὁμοῦ πᾶσαι λθʹ· ἐμέρισα ταύτας. ἀπολύω ἀπὸ Ζυγοῦ διδοὺς ἑκάστῳ ζῳδίῳ ἀνὰ εʹ, καταλήγει Ταύρῳ· ἐκεῖ Ἄρης. —Τὴν δὲ Ἀφροδίτην οὕτως. ρλθʹ ἐμέρισα παρὰ τὸν ηʹ, λοιπαὶ γʹ, αἳ σημαίνουσι στηριγμόν, ἐποχὴν δὲ Φαωθὶ ιʹ Τοξότῃ. παραλαμβάνω τὰς λοιπὰς τοῦ Φαωθὶ κʹ, ἀπὸ δὲ Ἀθὺρ ἕως Μεχὶρ ρκʹ καὶ τοῦ Φαμενὼθ τὰς ιηʹ, γίνονται ὁμοῦ ρνηʹ. ἐκ τούτων ἀφαιρῶ τοῦ στηριγμοῦ καὶ τοῦ Τοξότου ρκʹ, λοιπὰ ληʹ, ἃ ἀπολύω ἀπὸ Αἰγοκέρωτος ἀνὰ κεʹ· καταλήγει Ὑδροχόῳ· ἐκεῖ Ἀφροδίτη.

36 Ἐπειδὴ δὲ δοκεῖ πολλὴ περὶ τὴν γένεσιν ὑπάρχειν ** , καὶ ἐπὶ ἑτέρας γενέσεως ἐκθήσομαι. Ἀδριανοῦ δʹ Ἀθὺρ λʹ, τὰ ἀπὸ Αὐγούστου γίνονται ρμηʹ· ἃ ἐμέρισα παρὰ τὸν ηʹ, λοιπὰ δʹ, αἳ σημαίνουσιν ἐποχὴν Παϋνὶ κβʹ Λέοντι. ἐπεὶ οὖν οὐ χρηματίζει αὕτη ἡ ἐποχὴ διὰ τὸ ὑπὲρ τὴν γένεσιν εὑρεθῆναι, ἀνατρέχω εἰς τὴν ἀνωτέραν, ἥτις ἐστὶ τρίτη Φαωθὶ ιʹ Τοξότῃ. λαμβάνω τὰς λοιπὰς κʹ τοῦ Φαωφὶ καὶ ἀπὸ Ἀθὺρ ἕως Μεσωρὶ τʹ καὶ ἐπαγομένων εʹ· γίνονται τκεʹ τοῦ προεληλυθότος ἔτους καὶ αὐτοῦ τοῦ καταγομένου ἔτους ἀπὸ Θὼθ ἕως λʹ Ἀθὺρ ϟʹ, γίνονται αἱ πᾶσαι υιεʹ. ἐκ τούτων ἀφαιρῶ τοῦ στηριγμοῦ καὶ τοῦ ζῳδίου Τοξότου ρκʹ, λοιπαὶ σϟʹ εʹ. ταύτας ἀπὸ Αἰγοκέρωτος ἀνὰ κεʹ, καταλήγει Τοξότῃ κʹ· ἐκεῖ ὁ ἀστήρ. — Ἄλλως. Ἀδριανοῦ δʹ Μεχὶρ ιγʹ, ἀπὸ Αὐγούστου ρμθʹ. παρὰ τὸν ηʹ, λοιπαὶ εʹ, αἳ οὔτε ἐποχὴν οὔτε στηριγμὸν σημαίνουσιν· ἀνατρέχω εἰς τὴν ἐπάνω ἐποχήν, ἥτις ἐστὶ Παϋνὶ κβʹ Λέοντι· ἀναλαμβάνω τὰς λοιπὰς ηʹ τοῦ Παϋνὶ καὶ Ἐπιφὶ καὶ Μεσωρὶ καὶ ἐπαγομένας εʹ, γίνονται ογʹ· καὶ τοῦ καταγομένου ἔτους ἀπὸ Θὼθ ἕως Μεχὶρ ιγʹ, γίνονται ρξγʹ· γίνονται σλϛʹ. ἐκ τούτων ἀφαιρῶ στηριγμοῦ καὶ ζῳδίου Λέοντος ρκʹ, λοιπαὶ ριϛʹ· ταύτας ἀπὸ Παρθένου ἀνὰ κεʹ, καταλήγουσιν Αἰγοκέρωτι μοίραις ιϛʹ. ἐκεῖ ἡ Ἀφροδίτη. Ὁμοίως ἐπὶ τῆς αὐτῆς γενέσεως καὶ τὸν Ἑρμῆν οὕτως ἐψήφισα· ἔλαβον τὰς ἀπὸ Θὼθ ἕως τῆς ιγʹ τοῦ Μεχὶρ ρξγʹ καὶ ἔξωθεν προσέθηκα ρξβʹ, ὁμοῦ τκεʹ· ταύτας ἀπέλυσα ἀπὸ Κριοῦ ἀνὰ λʹ, κατέληξεν κεʹ Ὑδροχόου· ἔνθα ὁ ἀστήρ. Ἡλίου τὸ μὲν δεύτερον καὶ τὸ ϛʹ καὶ τὸ ιβʹ καλόν, τὸ δὲ ζʹ καὶ δʹ σαπρόν. Σελήνης τὸ γʹ καὶ τὸ ηʹ καὶ τὸ θʹ σαπρόν, τὸ δὲ εʹ καὶ ιαʹ καὶ ιβʹ καλόν. Κρόνου τὸ δʹ καὶ τὸ ιʹ σαπρόν, τὸ δὲ ϛʹ καὶ ηʹ καὶ ιβʹ καλόν. Διὸς τὸ γʹ τὸ θʹ τὸ ιʹ καὶ τὸ ιαʹ καλόν, τὸ δὲ δʹ καὶ ζʹ σαπρόν. Ἄρεως τὸ γʹ τὸ δʹ καὶ τὸ θʹ καλόν, τὸ δὲ ζʹ καὶ ιʹ σαπρόν.

37 Ἀφροδίτης τὸ γʹ καὶ ζʹ καὶ ηʹ καλόν, τὸ εʹ σαπρόν. Ἑρμοῦ τὸ βʹ τὸ εʹ τὸ ιαʹ σαπρόν, τὸ δὲ ζʹ καὶ ηʹ καὶ θʹ καλόν. Τὰ δὲ λοιπὰ ἑκάστου ἀστέρος ἀνώμαλα. Γινόμενοι ἐν τούτοις τοῖς προειρημένοις τόποις οἱ ἀστέρες κατὰ τὰς ἐμβάσεις καὶ μάλιστα τῶν χρόνων δεσπόζοντες ἐν χρηματιστικοῖς τόποις καὶ ὑπὸ ἀγαθοποιῶν ἢ κακοποιῶν μαρτυρούμενοι ἔσονται ἀγαθῶν ἢ κακῶν δοτῆρες,

καθὼς ἐὰν πλεονάσωσιν· ἐὰν δὲ ὁμοῦ, ἀναμεμιγμένα τά τε φαῦλα καὶ τὰ ἀγαθὰ γενήσεται κατὰ τὴν ἑκάστου γένεσιν. ὅθεν παρατηρεῖν ἀεὶ κατὰ τὰς παρόδους ἀναγκαῖον τοὺς τόπους πρὸς τὰς ἐπιδιακρίσεις τῶν χρόνων. 〈κα'. Περὶ συμπαρουσίας καὶ συγκράσεωσ〉 . Ὑποτάξωμεν δὲ καὶ τὰς συμπαρουσίας καὶ συγκράσεις ἑκάστου ἀστέρος. Κρόνος μὲν οὖν καὶ Ζεὺς ὁμόσε ὑπάρχοντες συμπαθεῖς εἰσι πρὸς ἀλλήλους, ἀποτελοῦντες ὠφελείας ἐκ νεκρικῶν, εἰσποιήσεις, ἐγγαίων κτημάτων κυρίους, ἐπιτρόπους, ἀλλοτρίων διοικητάς, οἰκονομικούς, φιλολόγους. Κρόνος μὲν οὖν καὶ Ἄρης ἐχθροί, ἐναντιωμάτων καὶ καθαιρέσεων ποιητικοί. στάσεις γὰρ οἰκείων καὶ ἀνευνοησίας καὶ ἔχθρας ἐπάγουσι, δόλους καὶ ἐπιβουλὰς καὶ κακοποιΐας καὶ κρίσεις, ἐκτὸς εἰ μὴ οἰκείοις ἢ χρηματιστικοῖς ζῳδίοις πεσόντες καὶ ὑπὸ ἀγαθοποιῶν μαρτυρηθέντες ἐπισήμους καὶ λαμπρὰς γενέσεις κατασκευάσωσιν· ἀβεβαίους δὲ περὶ τὴν εὐδαιμονίαν καὶ ἀδοκήτους κινδύνους ἢ προδοσίας. Κρόνος μὲν οὖν καὶ Ἑρμῆς σύμφωνοι καὶ πρακτικοί· πλὴν διαβολὰς ἐπάγουσιν ἕνεκεν μυστικῶν, κρίσεις καὶ χρεωστίας, γραπτῶν τε καὶ ἀργυρικῶν χάριν ταραχάς, οὐκ ἀπόρους δὲ οὐδὲ ἀσυνέτους, πολυπείρους καὶ πολυΐστορας ἢ προγνωστικοὺς φιλομαθεῖς περιέργους, ἀποκρύφων μύστας, εὐσεβοῦντας εἰς τὸ θεῖον, δυσσυνειδήτους. Κρόνος μὲν οὖν καὶ Ἀφροδίτη σύμφωνοι περὶ τὰς πράξεις, εὐεπίβολοι περὶ τὰς πλοκὰς καὶ τὰς συναρμογάς, συμπαθεῖς καὶ ὠφέλιμοι οὐ μέχρι τέλους, ἀλλ' ἐπί τινας χρόνους· εἶθ' οὕτως ψόγους χωρισμοὺς καὶ ἀστασίας ἢ θανάτους ἀποτελοῦσι, πολλάκις δὲ καὶ ἀγεννέσιν ἢ καὶ δημοσίαις τὰς ἐπιπλοκὰς ποιουμένους καὶ βλάβαις ἢ κρίσεσι περιπίπτοντας.

38 Κρόνος μὲν οὖν καὶ Σελήνη ὠφέλιμοι, περιποιητικοὶ κτημάτων θεμελίων ναυκληρίας καὶ ἐκ θανατικῶν εὐεργετικοί, μάλιστα ἐπὰν ἡ Σελήνη τὸν ἐξ ἀνατολῆς δρόμον ποιουμένη τύχῃ καὶ ὑπὸ ἀγαθοποιῶν μαρτυρῆται· μειζόνων γὰρ συστάσεις καὶ δωρεὰς καὶ ἐχθρῶν καθαιρέσεις ἀποτελεῖ. πλὴν ἀβεβαίους τῇ κτήσει, εἰς δὲ τὸν περὶ γυναικὸς τόπον ἀστάτους καὶ ἐπιλύπους διά τινας χωρισμοὺς καὶ μίση καὶ πένθη. ἐπάγουσι δὲ καὶ σωματικὰ πάθη καὶ καταπτώσεις αἰφνιδίους καὶ ἡγεμονικῶν τόπων ἢ νεύρων ἀλγήσεις καὶ ἀναγκαίων προσώπων θανάτους. Κρόνος μὲν οὖν καὶ Ἥλιος ἀσύμφωνοι, μετὰ φθόνων τὰς κτήσεις καὶ τὰς φιλίας παρεχόμενοι καὶ ἀφαιρούμενοι· ὅθεν 〈οἱ〉 ὑπὸ τὴν τοιαύτην στάσιν γεννηθέντες ἔχθρας λαθραίας πρὸς μείζονα πρόσωπα 〈καὶ〉 ἀπειλὰς ὑπομένοντες καὶ ὑπό τινων ἐπιβουλεύονται καὶ ἐπιφθόνως μέχρι τέλους τὸν βίον διάξουσιν. ὑποκριτικῶς δὲ φερόμενοι τῶν πλείστων περιγίνονται, πλὴν οὐκ ἄποροι καθίστανται, ἐπιτάραχοι δὲ καὶ ἀνεξίκακοι, ἐγκρατεῖς περὶ τὰς τῶν αἰτίων ἐπιφοράς. Ζεὺς καὶ Ἥλιος ὁμόσε ἰόντες λαμπροὺς ἐπιδόξους ἀποτελοῦσιν, ἀρχικοὺς ἡγεμονικοὺς τυραννικοὺς πρακτικοὺς ὑπὸ ὄχλων τιμωμένους καὶ εὐφημουμένους, εὐπόρους δὲ καὶ πλουσίους καὶ μετὰ πλείστης φαντασίας διεξάγοντας· πλὴν κατά τινας χρόνους ἐν ἀνωμαλίαις καὶ φθόνοις, καὶ μάλιστα, ἐὰν καὶ ὁ ἀστὴρ ὑπὸ δύσιν εὑρεθῇ, φαντασίαις μείζοσι περιτρέψας οἴησιν ἀληθείας ἀπεργάζεται. Ζεὺς καὶ Σελήνη ἀγαθοὶ περικτητικοί, κόσμου καὶ σωμάτων δεσπότας ἀποτελοῦντες καὶ ἀρχὰς ἐπισήμους παρεχόμενοι, ἔκ τε γυναικῶν καὶ ἐπισήμων προσώπων ὠφελουμένους, ἀπὸ οἰκείων ἢ τέκνων εὐεργετουμένους καὶ δωρεῶν [ἢ] καὶ τιμῶν καταξιουμένους, χρηματοφύλακας ἢ πολλὰ δανειστικοὺς ἢ πιστευομένους καὶ θησαυρῶν εὑρετάς, εὐχρηματίστους. Ζεὺς 〈καὶ〉 Ἄρης ἐπιδόξους φαντασιώδεις, μειζόνων ἢ βασιλέων φίλους, στρατιωτικοὺς ἐπισήμους καὶ ὀψωνίων μετόχους, ἐν δημοσίοις ἢ στρατιωτικοῖς τὰς ἀναστροφὰς ποιουμένους καὶ τιμῆς καὶ δόξης καταξιουμένους, ἀνωμάλους δὲ τῷ βίῳ καὶ τῷ ἤθει καὶ τῶν κτηθέντων ἀποβολὰς ποιουμένους.

39 Ζεὺς καὶ Ἀφροδίτη ἀγαθοὶ σύμφωνοι, περιποιητικοὶ δόξης καὶ ὠφελείας, ἐπάγοντες ἐπικτήσεις δωρεὰς κόσμου σωμάτων δεσποτείας τέκνων γονὰς ἀρχιερωσύνας προστασίας ὄχλων στεμματηφορίας χρυσοφορίας, ἀνδριάντων καὶ εἰκόνων καταξιουμένους, ἀνωμάλους δὲ περὶ γάμους καὶ τέκνα ἀποτελοῦσι. Ζεὺς καὶ Ἑρμῆς ἀγαθοὶ σύμφωνοι διοικητικοί, πραγμάτων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οἰκονόμους ἀποτελοῦντες ἔν τε πίστεσι καὶ χειρισμοῖς γινομένους, ἐπιτροπικούς, ἀπὸ λόγων ἢ ψήφων ἀναγομένους καὶ ἐν παιδείαις δοξαζομένους, πολυφίλους δὲ καὶ εὐσυστάτους, μισθῶν καὶ ὀψωνίων καταξιουμένους. ἐὰν δέ πως καὶ ἐν χρηματιστικοῖς ζῳδίοις εὑρεθῶσι, καὶ θησαυρῶν εὑρετὰς ποιοῦσιν ἢ ἐκ παραθηκῶν ὠφελουμένους δανειστικούς. Ἀφροδίτη καὶ Ἥλιος σύμφωνοι καὶ ἐπίδοξοι καὶ ἀγαθῶν δοτῆρες, συστάσεις ἀρρενικῶν καὶ θηλυκῶν ἐπάγοντες δωρεάς τε καὶ καταγραφάς, καὶ περὶ τὰς ἐπιβολὰς εὐεπιτεύκτους· ἔσθ’ ὅτε μὲν οὖν καὶ προστασίας ἀναλαμβάνοντας ὀχλικὰς ἢ πίστεις καὶ ἑτέρων τόπων προεστῶτας καὶ ὀψωνίων καταξιουμένους, εἰς δὲ τὸν περὶ γυναικὸς καὶ τέκνων τόπον οὐκ ἀλύπους, καὶ μάλιστα ἐὰν ὑπὸ δύσιν τύχῃ ὁ ἀστήρ. Ἀφροδίτη καὶ Σελήνη ἀγαθοὶ μὲν περὶ τὰς δόξας καὶ τὰς περικτήσεις καὶ περὶ τὰς τῶν πραγμάτων ἀφορμάς, περὶ δὲ τὰς συμβιώσεις καὶ φιλίας καὶ συναρμογὰς ἄστατοι, ἀντιζηλίας καὶ ἔχθρας ἐπιφέροντες καὶ συγγενικῶν ἢ φίλων κακουργίας ἢ ταραχάς· ὁμοίως δὲ καὶ εἰς τὸν περὶ τέκνων ἢ σωμάτων τόπον οὐκ ἀγαθοὶ ἀπαραμόνους τε τὰς κτήσεις παρεχόμενοι καὶ ψυχικὰς ἀνίας ἐπάγοντες. Ἀφροδίτη καὶ Ἄρης ἀσύμφωνοι· ἀστάτους γὰρ ταῖς γνώμαις καὶ ἀκρατεῖς ἀποτελοῦσι, ζηλοτύπους δὲ καὶ αὐτόχειρας, πολυφίλους δὲ ἢ ἐπιψόγους αἰσχροὺς εὐμετανοήτους καὶ ἀδιαφόρους ταῖς μίξεσιν ἀρρενικῶν τε καὶ θηλυκῶν, κακουργίας ἢ φαρμακείας ἐπιβόλους, οὔτε τοῖς καλοῖς οὔτε τοῖς φαύλοις ἐπιμένοντας, [οὔτε] περὶ τὰς φιλίας διαβαλλομένους καὶ κακολογουμένους, εὐδαπάνους ἀκροθιγεῖς περὶ τὰς πράξεις καὶ πολλῶν ἐπιθυμητάς, ὑπὸ θηλυκῶν ἀδικουμένους ἢ καὶ τούτων χάριν κρίσεις καὶ ταραχὰς καὶ χρεωστίας ὑπομένοντας.

40 Ἀφροδίτη καὶ Ἑρμῆς σύμφωνοι· εὐομίλους γὰρ καὶ ἐπιχαρεῖς ποιοῦσι φιλοφίλους τε καὶ φιληδόνους καὶ περὶ παιδείαν καὶ σωφροσύνην τὸν νοῦν ἔχοντας καὶ τιμὰς καὶ δωρεὰς λαμβάνοντας· τοῖς δὲ ἐν μετρίᾳ τύχῃ καθεστηκόσι λήψεις καὶ ἀγορασμοὺς καὶ συναλλαγὰς ἀποτελοῦσι καὶ ἔπαισχρον βίον μερίζουσιν· εἰς δὲ τὸν περὶ γυναικὸς τόπον ἀστάτους καὶ ἀδιαφόρους καὶ εὐμετανοήτους περὶ τὰς συμβολάς. Ἑρμῆς καὶ Ἥλιος πολυφίλους καὶ ὑποκριτικοὺς ποιοῦσι, ποικίλους δὲ καὶ ἐγκρατεῖς καὶ ἐν δημοσίοις τόποις τὰς ἀναστροφὰς ἔχοντας, καθαρίους περισσόφρονας κριτικούς, καλῶν ἐραστάς, πολυΐστορας, μύστας θείων, εὐεργετικοὺς φιλοσυνήθεις αὐτάρκεις θρασυδείλους, γενναίως τὰ καταπίπτοντα φέροντας, δυσεπιτεύκτους καὶ ἀνωμάλους περὶ τὸν βίον, ἐν ὑψοταπεινώμασι γινομένους, οὐκ ἀπόρους, ἀναβιβάζοντας δὲ κατὰ 〈τὴν〉 τῆς γενέσεως ὑπόστασιν. Ἑρμῆς καὶ Σελήνη ἀγαθοὶ περὶ τὰς συστάσεις καὶ δόξας ἀρρενικῶν τε καὶ θηλυκῶν καὶ περὶ τὴν τοῦ λόγου καὶ παιδείας δύναμιν καὶ περὶ τὰς λοιπὰς ἐγχειρήσεις καὶ συναλλαγὰς κοινωνικοὺς καὶ μηχανικοὺς καὶ πολυπείρους καὶ περιέργους ἀποτελοῦσι καὶ ἀπὸ μειζόνων τελῶν προβιβαζομένους πολυκινήτους καὶ ἀνεπιμόνους ταῖς πράξεσιν ἢ ταῖς γνώμαις πρὸς τὸ μέλλον ** γενναίους πρὸς τὰ φαῦλα, ἀνωμάλους δὲ [καὶ] περὶ τὸν βίον. Ἑρμῆς καὶ Ἄρης οὐκ ἀγαθοί, ἔχθρας κρίσεις ἐναντιώματα κακοτροπίας προδοσίας ἀποτελοῦντες ἀπό τε κρειττόνων ἢ ὑποτακτικῶν ἀδικουμένους· τινὰς μὲν οὖν ἀθλητικοὺς στρατιωτικοὺς ἢ καθηγεμόνας εὐεργετικοὺς περιέργους ποικίλως τὸν βίον περιερχομένους· γίνονται δὲ ἐν πλαστογραφίαις νοσφισμῶν ἁρπαγῆς συλήσεως χάριν, ἐγγύαις τε καὶ δάνεσι περιπίπτοντες περιβοησίας ἢ κρυβὰς ἀναδέχονται. ἐὰν δέ πως τὸ σχῆμα κακωθῇ, ἐν αἰτίαις γενόμενοι ἢ συνοχαῖς τῶν κτηθέντων ἀποβολὰς ἢ ἀφαιρέσεις ὑπομένουσιν. Ἥλιος καὶ Σελήνη ἀγαθοί· συστάσεις γὰρ μειζόνων καὶ δόξας περιποιοῦσι κτήσεις τε θεμελίων καὶ κτημάτων καὶ χρημάτων καὶ κόσμου καὶ πρὸς τὰς ἐπιβολὰς τῶν πραγμάτων εὐεπιτεύκτους καὶ ἐπωφελεῖς.

41 ἐὰν δὲ 〈ἡ〉 ὑπόστασις μεγάλη εὑρεθῇ, γίνονται ἀρχικοὶ πόλεων, πραγμάτων προϊστάμενοι, ὄχλων προεστῶτες, εὐφαντασιώτατοι δωρηματικοὶ ἡγεμονικοὶ τυραννικοὶ ἀνυπότακτοι βασιλικὸν σχῆμα κεκτημένοι ἢ ἀπὸ μετρίας τύχης ἀναβιβαζόμενοι καὶ εὐδαίμονες γινόμενοι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μακαρίζονται· πλὴν ἀνεπίμονον τὸ ἀγαθὸν τοῖς τοιούτοις ὑπάρχει διὰ τὸ τῆς Σελήνης μειωτικὸν σχῆμα. 〈κβʹ. Περὶ σχηματισμῶν κατὰ πλείου ς .〉 Κρόνος Ζεὺς καὶ Ἥλιος ἀνώμαλοι καὶ ἀβέβαιοι εἴς τε τὰς περικτήσεις καὶ τὰς φιλίας καὶ τὰς λοιπὰς τῶν πραγμάτων ἐπιβολάς· τῶν γὰρ περικτηθέντων ἀποβολὰς ποιοῦσι καὶ ἐπιφθόνοις αἰτίαις περιπίπτοντας, καὶ ἐξ ἀδοκήτων ἢ νεκρικῶν ὠφελείας ἐνδειξάμενοι καὶ τῇ δόξῃ προσαυξήσαντες καθαιρέσεις ἢ αἰτίας ἀπεργάζονται αἰφνιδίους τε κινδύνους καὶ ἐπιβουλάς· ἀποτελοῦσι δὲ καὶ προστασίας ἢ ἐπιτροπὰς ἀλλοτρίων πραγμάτων φορολογίας τε ἢ μισθώσεις, ὧν χάριν ἢ ταραχὰς ἢ κρίσεις ὑφίστανται, καὶ τὴν ὑπόστασιν ἀνώμαλον ἢ ἐπίφοβον κατασκευάζουσι. Κρόνος Ζεὺς Σελήνη σύμφωνοι, δόξας καὶ ὠφελείας περιποιοῦντες καὶ συστάσεις μειζόνων καὶ δωρεάς· γίνονται δὲ ἐν ξενιτείαις καὶ ἐπὶ ξένης ἢ ἀπὸ ξένων τὰς τῶν πράξεων κατορθώσεις ποιοῦνται οὐ μόνον ἰδίων ἀλλὰ καὶ ἀλλοτρίων πραγμάτων· εὐεργετοῦνται δὲ καὶ ἀπὸ θηλυκῶν καὶ ἐν περικτήσει γενόμενοι θεμελίων καὶ χωρῶν δεσπόζουσι· τινὲς μὲν οὖν καὶ ναύκληροι γενόμενοι τῷ βίῳ προσηύξησαν, ἢ ὅσα δι’ ὑγρῶν συνίστανται μεταχειρισάμενοι διῳκονόμησαν τὸν βίον.

42 Κρόνος Ζεὺς Ἄρης συγκράσεις ἀγαθῶν ἀποτελοῦσι· τινὰς μὲν οὖν ἐνδόξους, ἀρχιερατικούς, ἡγεμονικούς, ἐπιτροπικούς, ὄχλων καὶ χωρῶν προεστῶτας ἢ στρατιωτικῶν πραγμάτων, κελεύοντας καὶ ἐνακουομένους, οὐ τοσοῦτον τῇ περὶ τὸν βίον φαντασίᾳ κεκοσμημένους, ἐναντιώμασι δὲ καὶ κατηγορίαις καὶ βιαίοις πράγμασι περικυλιομένους καὶ ἐπιφόβως διάγοντας. τινὰς δὲ καὶ τῇ περὶ τὸν βίον ὑπάρξει κεκοσμημένους καὶ κτημάτων καὶ θεμελίων δεσπόζοντας καὶ ἀπὸ νεκρικῶν ὠφελουμένους, περὶ δὲ τὴν δόξαν ἥττονας· ὅθεν παρὰ τὰς τοποθεσίας καὶ τὰς τῶν ζῳδίων ἐνεργείας τὰ πράγματα κριθήσεται. Κρόνος Ζεὺς Ἀφροδίτη ἀγαθοὶ καὶ ὠφέλιμοι περὶ τὰς πράξεις, περικτητικοί, συστάσεις ἀρρενικῶν καὶ θηλυκῶν ἀποτελοῦντες, καὶ φιλίας καὶ προβιβασμοὺς ἀπό τε νεκρῶν εὐεργεσίας, περὶ δὲ τὰς συνηθείας ἐπιψόγους καὶ ἐπιφθόνους καὶ ἀνωμάλους περὶ συναρμογάς, ψύξεις κατὰ καιρὸν ὑπομένοντας καὶ ἔχθρας ἢ κρίσεις. πλὴν φιλοσυνήθεις καὶ εὐσυμβιώτους, καινοτέραις καὶ πολλαῖς ἡδομένους φιλίαις, εἰς δὲ τὸν περὶ τέκνων λόγον καὶ σωμάτων οὐ διὰ παντὸς εὐσταθοῦντας οὐδὲ ἀλύπως ὑπομένοντας. Κρόνος Ζεὺς Ἑρμῆς συσχηματιζόμενοι πρακτικοὺς ἀποτελοῦσιν, οἰκονομικούς, πιστούς, προεστῶτας ὄχλων, κελεύοντας καὶ ἐνακουομένους, χρημάτων χειριστὰς καὶ λόγων ἢ ψήφων διευθυντάς. οἱ δὲ τοιοῦτοι τὸ ἐλευθέριον καὶ ὑποκριτικὸν ἦθος κεκτημένοι ὅτε μὲν κακοῦργοι καὶ πανοῦργοι φαίνονται, ὅτε δὲ ἀγαθοὶ καὶ καλοί· ἀλλοτρίων ἐπιθυμηταὶ γενήσονται καὶ [παραινέκται ἢ] πλεονέκται, ὧν χάριν ταραχὰς ἢ κρίσεις ὑπομενοῦσιν καὶ χρεωστίας καὶ περιβοησίας ὀχλικάς. ὅτε δὲ τῇ περὶ τὴν πρᾶξιν εὐημερίᾳ καὶ πίστει φερόμενοι ὠφελείας μὲν ἀναδέξονται καὶ ἀπὸ μειζόνων δωρεῶν καὶ τιμῶν καταξιωθέντες καὶ εὐμετάδοτον σχῆμα κτησάμενοι ἰδίους καὶ ἀλλοτρίους εὐεργετήσουσι, μυστηρίων δὲ καὶ ἀλλοτρίων πραγμάτων μεθέξουσι καὶ τὰ λοιπὰ περίεργοι ἐννοηματικοὶ ἔσονται εἰς ἀφέλειαν τὸν τρόπον ἐμφαίνοντες. Κρόνος Ἄρης καὶ Ἥλιος βιαίων καὶ ἀλλοτρίων καὶ ἐπικινδύνων πραγμάτων δηλωτικοί· θρασεῖς γὰρ καὶ ἁδρεπιβόλους περὶ τὰς πράξεις ἀποτελοῦσι, κακούργους ἀθέους, προδότας, ἀνυποτάκτους, μισοϊδίους, τῆς ἰδίας χωριζομένους μετὰ δὲ ἀλλοφύλων ἀναστρεφομένους, ἐν ἐπηρείαις καὶ κινδύνοις γινομένους, ἀπὸ ὕψους ἢ τετραπόδων πτώσεις ὑπομένοντας ἢ ἐμπρησμῶν φόβους, ἐπιμόχθους περὶ τὰς ἐγχειρήσεις, μὴ φυλάσσοντας τὰ περικτώμενα, ἀλλοτρίων ἐπιθυμητάς, ἐκ κακῶν πορίζοντας, ἐκτὸς εἰ μὴ στρατιωτικὸν ἢ ἀθλητικὸν τὸ σχῆμα τύχῃ· καὶ οὕτω μὲν ἐπίμοχθον, πλὴν οὐκ ἄπρακτον.

43 Κρόνος καὶ Ἄρης καὶ Σελήνη παραβόλους μὲν εἰς τὰς ἐπιβολὰς τῶν πράξεων καὶ γενναίους ἀποτελοῦσι, δυσεπιτεύκτους δὲ περὶ τὰς πράξεις καὶ ἐναντιώμασι περιτρεπομένους καὶ βιαίοις πράγμασι. γίνονται γὰρ βίαιοι, φιλέρημοι, κακοῦργοι, ἅρπαγες, τρόπον ληστρικὸν ἔχοντες, ἔν τε ἀπολογίαις ἢ κρίσεσι περιπίπτοντες, συνοχῶν δὲ καὶ καταιτιασμῶν πεῖραν λαμβάνοντες, εἰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μή πως φιλοπάλαιστρος ἢ φίλοπλος ἡ γένεσις τύχοι, ἵνα διὰ τῆς κατοχῆς ταύτης τὸ τῆς συνοχῆς σχῆμα πληροφορηθῇ· τινὲς μὲν οὖν καὶ ἐπισινεῖς ἢ ἐμπαθεῖς γενόμενοι βίαιον τὸ τέλος ἐφέξουσι. Κρόνος Ἄρης Ἀφροδίτη περὶ μὲν τὰς πράξεις καὶ τὰς φιλίας ἢ συναλλαγὰς κατ' ἀρχάς εἰσιν ἐπιτήδειοι, ὠφελείας δόξας καὶ συστάσεις ἀποτελοῦντες· ἐξ ὑστέρου δὲ ἐπιτάραχοι καὶ ἐπίδικοι καθίστανται διά τινας ἀντιζηλίας καὶ προδοσίας, ὧν χάριν καταιτιασμοὺς μὲν ποιοῦνται καὶ ἔχθρας πρός τε ἀρρενικὰ καὶ θηλυκὰ πρόσωπα ὑπομένουσι καὶ ψόγοις ἐπαίσχροις ἢ μοιχείαις περιτρέπονται καὶ περιβοησίας καὶ δειγματισμοὺς ἀναδέχονται· τινὲς μὲν οὖν ἀθεμίτοις μίξεσι καὶ ἀδιαφόροις ἀνεπιστρεπτοῦσι, συνίστορες δὲ ἢ ἐπίβολοι κακουργιῶν ἢ φαρμακειῶν γινόμενοι φόβον οὐ τὸν τυχόντα ὑπομενοῦσιν. Κρόνος Ἄρης Ἑρμῆς κακουργίας καὶ δόλους ἀποτελοῦσι κρίσεις τε καὶ ταραχάς, γραπτῶν ἢ μυστικῶν χάριν πραγμάτων ἐγγύαις τε ἢ δάνεσι περιτραπέντες ἀγῶνας οὐ τοὺς τυχόντα ὑπομένουσι καὶ καθαιρέσεις. ἄλλως τε δριμεῖς καὶ εὐσυνέτους περὶ τὰς πράξεις ἀποτελοῦσι, ποικίλως τὸν βίον διερχομένους καὶ ὑπό τινων κακολογουμένους διά τινας βιαίους ἢ παρανόμους πράξεις· ἔσθ' ὅτε μὲν οὖν καὶ πράξεων ἐπιμόχθων ἢ ἐπικινδύνων ἐντὸς γινομένοι καὶ ἐνδείαις περιπίπτοντες τὴν ἰδίαν μέμφονται τύχην καὶ εἰς θεοὺς βλασφημοῦσιν ἢ ἐπίορκοι καὶ ἄθεοι καθίστανται.

44 ἐὰν δὲ καὶ ἀνοικείως πέσωσιν οἱ ἀστέρες, καὶ καταιτιασμοὺς καὶ συνοχὰς ποιοῦσιν. ἐὰν δὲ ἐν χρηματιστικοῖς τόποις ἢ ἰδίοις τύχωσι, τοὺς ὑπὲρ ἑτέρων ἀγῶνας ἀναδεχόμενοι τῶν πλείστων καθυπερτερήσουσιν ἢ καὶ ἀπὸ λόγων ἢ ψήφων ἢ στρατειῶν ὠφεληθέντες τῷ βίῳ προσαυξήσουσι. Κρόνος Ἀφροδίτη Ἥλιος συστάσεων μεγάλων καὶ τιμῶν καὶ πράξεων δηλωτικοί, δόξης τε καὶ προφανείας καὶ προστασίας ὀχλικῆς αἴτιοι· ἀπαράμονοι δὲ πρός τε τὴν κτῆσιν καὶ πρὸς τὰ λοιπὰ ὑπάρχουσιν καὶ εἰς ἀνωμαλίας περιτρέπουσι καὶ τὰς φιλίας διαλύουσιν καὶ τοῦ βίου μειώσεις ἀπεργάζονται καὶ δειγματισμοὺς ἢ ζημίας ἕνεκεν θηλυκῶν προσώπων, μυστικῶν τε πραγμάτων προδοσίας, περὶ δὲ τὰς μίξεις καὶ τὰς συνουσίας ἀστάτους καὶ ἀδιαφόρους. Κρόνος Ἀφροδίτη Σελήνη ἀνωμαλίας καὶ ἀστασίας βίου ἐπάγουσι καὶ μάλιστα εἰς τὸν περὶ γυναικὸς καὶ μητρὸς καὶ τέκνων τόπον. κακοηθείας γὰρ καὶ ἀχαριστίας ἐπιφέρουσι, ἔτι δὲ ἀντιζηλίας καὶ στάσεις, χωρισμούς, ψόγους, δειγματισμούς, ἀθεμίτους μίξεις· περὶ δὲ τὰς πράξεις οὐκ ἀπόρους, εὐεπινοήτους δὲ καὶ ἐν περικτήσει γινομένους, ἀπὸ νεκρικῶν ὠφελουμένους, πλὴν οὐ φυλάσσοντας, ἐπιβουλευομένους δὲ ὑπὸ πολλῶν ἢ καὶ αὐτοὺς συνίστορας κακουργίας ἢ φαρμακείας, παραινέτας δὲ γυναικῶν. Κρόνος Ἀφροδίτη Ἑρμῆς συνετούς, νοεροὺς καὶ περὶ τὰς τῶν πράξεων ἀφορμὰς εὐφυεῖς καὶ εὐεπιβόλους ἀποτελοῦσιν, ἀπαραμόνους δὲ καὶ ψύχοντας τὰς πρώτας πράξεις καὶ ἑτέρων ἐπιθυμητάς, πολυΐστορας, περιέργους, ποικίλους, ἰατρικούς, ἡδομένους τῇ καινότητι καὶ μεταβολῇ καὶ ξενιτείᾳ. ἐὰν δὲ τούτων οὕτως ὄντων τὸ σχῆμα κακωθῇ ἢ καὶ ἐπιθεωρήσῃ Ἄρης, ἕνεκεν φαρμακειῶν ἢ θηλυκῶν προσώπων ἢ θανατικῶν προφάσεων ταραχαῖς καὶ κρίσεσι περιπίπτουσιν ἢ καὶ ἐκ γυναικῶν ὑπομείναντες ἀδικίας μείωσιν βίου καὶ κακωτικὰς αἰτίας ἀναδέχονται. καθόλου εἰς τὸν περὶ γυναικὸς τόπον καὶ τέκνων καὶ σωμάτων ἀβέβαιοι καὶ ἐπίλυποι γενήσονται. Ζεὺς Ἥλιος Σελήνη ἐνδόξους, λαμπρούς, πολυγνώστους ἀποτελοῦσι, δημοσίων πολιτικῶν βασιλικῶν πραγμάτων προεστῶτας, ἡγεμονικούς, στραταρχικούς, ἀνυποτάκτους, τυράννους, ἐπιφθόνους δὲ καὶ κακολογουμένους καὶ ὑπό τινων προδιδομένους, μισοϊδίους, εὐμετανοήτους, ποικίλους καὶ ἀστάτους ταῖς γνώμαις, ὑψαύχενας, ὑπὲρ ἑαυτοὺς φρονοῦντας καὶ ἐν ὑψοταπεινώμασι γινομένους, τῇ δὲ περὶ τὸν βίον φαντασίᾳ συγκεκοσμημένους, οὐ μέντοι μέχρι τέλους ταῖς εὐδαιμονίαις ἐπιμένοντας, σφαλλομένους δὲ ἔν τισιν ἢ καὶ τὸ τέλος ὀδυνηρὸν ἔχοντας.

45

Ζεὺς Ἄρης Ἥλιος ἐπιταράχους καὶ ἐπικινδύνους δηλοῦσι, θερμοτέρους δὲ καὶ εὐεπιτεύκτους εἰς τὰς ἐπιβολὰς τῶν πράξεων καὶ δόξης μετέχοντας, στρατιωτικοὺς ἡγεμονικούς, δημοσίων πραγμάτων προεστῶτας, ἐπισφαλεῖς διὰ τὸ ἐπακολουθεῖν φθόνους μειζόνων, ἀπειλάς, προδοσίας, οἰκείων ἐπιβουλάς, καταιτιασμούς. ἔνιοι μὲν γὰρ καὶ τῇ τῶν μειζόνων [τύχη] προαγωγῇ ἀπὸ μετρίας τύχης ἀναβιβασθέντες τῷ βίῳ καθηρέθησαν. Ζεὺς Ἄρης Σελήνη εὐεπιβόλους, θρασεῖς, δημοσίους, πολυφίλους, ἐν προβιβασμοῖς γινομένους καὶ ἀπὸ μικρᾶς τύχης ὑψουμένους καὶ πίστεως καταξιουμένους, στρατιωτικούς, ἀθλητικούς, ἐνδόξους, ἡγεμονικούς, ὄχλων καὶ τόπων προεστῶτας, τιμῶν καὶ ὀψωνίων μεταλαμβάνοντας ἢ ἱερωσύνης, ἐναντιώμασι δὲ καὶ κατηγορίαις περιπίπτοντας καὶ προδιδομένους ὑπὸ ἰδίων ἢ θηλυκῶν προσώπων καὶ τῶν περικτηθέντων μείωσιν ὑπομένοντας καὶ ἐξ ὑστέρου περικτωμένους ἀπὸ μυστικῶν ἢ ἀπροσδοκήτων πραγμάτων. Ζεὺς Ἄρης Ἑρμῆς πρακτικούς, θερμούς, κεκινημένους ἀποτελοῦσιν, ἐν δημοσίοις τόποις ἢ στρατιωτικοῖς τάγμασιν ὀψωνίων μεταλαμβάνοντας ἢ βασιλικὰ ἢ πολιτικὰ πράσσοντας, ἀνωμάλους δὲ περὶ τὸν βίον καὶ τῶν περικτωμένων ἀναλωτάς, εὐνοήτους καὶ εὐπίστους οἰκονόμους, ῥᾳδίως τὰ ἁμαρτήματα διορθοῦντας καὶ τὰς αὑτῶν αἰτίας ἑτέροις ἐπιφέροντας, κακολογουμένους δὲ καὶ ἐναντιώμασι περιπίπτοντας. τινὰς μὲν οὖν ἀθλητικούς, στεφηφόρους ἢ καὶ ἀσκητὰς σωμάτων, πολυΐστορας, φιλεκδημητὰς ἢ ἐπὶ ξένης πορίζοντας, τῶν δὲ ἰδίων ἀστοχοῦντας. Ζεὺς Ἄρης Ἀφροδίτη πολυφίλους μὲν καὶ φιλοσυνήθεις ἀποτελοῦσι, συστάσεών τε μειζόνων καὶ ὠφελειῶν καταξιουμένους, ἐν προκοπαῖς γινομένους, ὑπὸ γυναικῶν προβιβαζομένους· τινὰς μὲν οὖν ἀρχιερατικούς, στεφηφόρους, ἀθλητικοὺς ἢ ἱερῶν προεστῶτας, ὄχλων ἡδοναῖς ἐξυπηρετουμένους καὶ κατὰ καιρὸν ἀστάτως καὶ ἀνωμάλως διάγοντας, ἐπιψόγους δὲ καὶ ἀδιαφόρους περὶ τὰς συνελεύσεις, δειγματισμοὺς προδοσίας ὑπομένοντας, εἴς τε τὸν περὶ τέκνων καὶ σωμάτων τόπον λυπουμένους, καινοτέραις ἐπιπλοκαῖς ἡδομένους, χωρισμούς τε γυναικῶν ὑπομένοντας.

46 Ζεὺς Ἑρμῆς Ἥλιος πρὸς μὲν τὰς ἐπιβολὰς τῶν πράξεων εὐκατορθώτους καὶ πολυφίλους ἀποτελοῦσι, πίστεων, τιμῶν, οἰκονομιῶν καταξιουμένους συστάσεών τε μειζόνων καὶ προκοπῶν ἢ ἀπὸ μικρᾶς τύχης ἀναβιβαζομένους καὶ συγκοσμουμένους, πρὸς δὲ τὰς περικτήσεις ἀπαραμόνους καὶ εὐαλώτους ἢ ἐνδεεῖς κατά τινας χρόνους γινομένους καὶ μυστικῶς πολλὰ διαπρασσομένους· οὐκ ἀβίους δὲ ἀλλ' ἐξ ἀδοκήτων καὶ μειζόνων ὠφελουμένους. Ζεὺς Ἑρμῆς Σελήνη ἀγαθοὺς περικτητικοὺς καὶ εἰς τὰς πράξεις εὐεπιβόλους, συλλεκτικοὺς δωρεῶν καὶ πίστεων μεταλαμβάνοντας, μυστικούς, συνετούς, λογικούς, κτημάτων παραθηκῶν φύλακας, ἀπὸ λόγων καὶ ψήφων ἀναγομένους, δανειστικούς, φορολόγους, μισθωτάς, πολυφίλους, πολυγνώστους, ἐπιτροπικούς, διοικητὰς πραγμάτων, εὐμεταδότους· τινὰς μὲν οὖν ἀθλητικούς, στεφηφόρους, τιμῶν εἰκόνων ἀνδριάντων καταξιουμένους. ἐὰν δέ πως καὶ ἐν χρηματιστικοῖς τόποις τύχωσι, θησαυρῶν εὑρετὰς καὶ ναῶν, ἱερῶν ἐπιστάτας ποιοῦσιν, ἀνακτίσουσί τε καὶ καταφυτεύσουσι καὶ τόπους συγκοσμήσαντες ἀειμνήστου φήμης τεύξονται. Ζεὺς Ἑρμῆς Ἀφροδίτη ἀγαθοί, περίκτησιν βίου καὶ εὐημερίας πράξεων ἀποτελοῦντες· γίνονται δὲ συνετοί, ἁπλοῖ, εὐμετάδοτοι, ἡδεῖς, φιλοσυμβίωτοι, εὐφραντικοί, παιδείας καὶ μουσικῆς μέτοχοι, καθάριοι, εὐπρεπεῖς, τιμῆς καὶ δόξης καταξιούμενοι, μετὰ μειζόνων ἀναστρεφόμενοι καὶ πίστεων καὶ οἰκονομιῶν μεταλαμβάνοντες, συγκοσμούμενοι τῷ βίῳ, φιλοτρόφοι τε καὶ φιλασκηταὶ ὄντες, σωμάτων κυριεύουσι καὶ ἐν τέκνων μοίραις ἀνατρέφουσί τινας καὶ εὐεργετοῦσι καὶ ἀπὸ θεῶν τὰ μέλλοντα προγινώσκουσι φιλόθεοι ὑπάρχοντες, εἰς δὲ τὸν περὶ γυναικὸς καὶ τέκνων τόπον ἄστατοι ἢ ἐπίλυποι γενήσονται. Ζεὺς Ἀφροδίτη Ἥλιος εὐφαντασιώτους μὲν καὶ ἐπιδόξους ποιήσουσι, μικρολόγους δὲ καὶ ἀνωμάλους ταῖς γνώμαις, ὑψαύχενας, ὅτε μὲν παρεκτικοὺς καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εὐεργετικούς, εὐμετανοήτους δέ, ὅτε δὲ ταῖς ἑτέρων δόξαις καὶ περικτήσεσιν ἐπαιρομένους καὶ ἀπὸ μικρᾶς τύχης ἀναβιβαζομένους.

47 γίνονται δὲ καὶ ἀρχιερεῖς, στεφηφόροι, ἀρχικοί, ἡγεμονικοί, δημοσίων πραγμάτων προεστῶτες καὶ ὄχλων ἀφηγούμενοι, τιμῶν ἢ δωρεῶν καταξιοῦνται καὶ τῷ βίῳ συγκοσμοῦνται, περὶ δὲ τὰς συνελεύσεις ἀθέμιτοι ἢ ἐπίψογοι γενήσονται. ἐὰν δέ πως ἀνατολικοὶ ἢ ἐν χρηματιστικοῖς τόποις τύχωσι, καὶ ἐπὶ γυναικὶ καὶ τέκνοις εὐφρανθήσονται. Ζεὺς Ἀφροδίτη Σελήνη πρακτικοὺς ἐνδόξους ἀποτελοῦσιν, ἀρχιερατικούς, στεφηφόρους, ἱερῶν καὶ ναῶν προεστῶτας, δωρηματικοὺς φιλοδόξους, ὄχλων ἡδοναῖς ἐξυπηρετοῦντας, πόλεών τε ἢ χωρῶν, πίστεις ἀναδεχομένους καὶ τιμῶν καταξιουμένους καὶ εὐφημουμένους καὶ ἀντιζηλουμένους ἀπό τε οἰκείων καὶ φιλικῶν προσώπων, ἔχθρας καὶ ἀντικαταστάσεις ὑπομένοντας, εἰς δὲ τὸν περὶ γυναικὸς καὶ συνηθείας τόπον ἀστάτους καὶ φιλονείκους, μετὰ ζηλοτυπιῶν καὶ χωρισμῶν καὶ ἀνάγκης διάγοντας, μετεώρους· ἔσθ’ ὅτε μὲν οὖν καὶ συγγενέσι συνέρχονται καὶ οὐδὲ οὕτως ἀτάραχον τὴν συνοίκησιν διαφυλάσσουσιν· ἐν μετουσίαις γινομένους· τὴν μέντοι περὶ τὸν βίον οὐσίαν εὐφαντασίωτοι γενήσονται, οὐ τοσοῦτον ἀληθείας ἀνάμεστοι ὅσον πλάνης. Ἀφροδίτη Ἥλιος Σελήνη ἐνδόξους μὲν καὶ πρακτικοὺς ἀποτελοῦσιν, ἐν φαντασίαις γινομένους, κακοήθεις δὲ καὶ ἐπιψόγους, ὑπὸ τῶν πλείστων διαβαλλομένους καὶ φθονουμένους ὑπὸ μειζόνων καὶ φιλικῶν προσώπων, ἐν προκοπῇ δὲ καὶ κτήσει γινομένους καὶ τῇ τύχῃ ὑψουμένους, ἀνωμάλους δὲ εἰς τὸν περὶ γυναικὸς καὶ τέκνων λόγον· ἄλλως δὲ φιλόφιλοι, ἐν ξενιτείαις γινόμενοι καὶ ἐπὶ ξένης εὐτυχοῦντες. Ἀφροδίτη Ἄρης Σελήνη οὐκ ἀπόρους μὲν οὐδὲ ἀπράκτους ποιοῦσι, ποικίλους δὲ καὶ ἀστάτους ταῖς γνώμαις, μεγαλοψύχους, ἀκρίτως ἀναλίσκοντας καὶ μὴ ἐπιτιθέντας τέλος τοῖς πράγμασι, ἁδρεπιβόλους, καταφρονητάς, πλανήτας, θρασεῖς, δημοσίους, στρατιωτικούς, ἀδιαφόρους ταῖς χρήσεσιν ἐπί τε ἀρρενικῶν καὶ θηλυκῶν, κακολογουμένους δὲ καὶ ἐν ἐπηρείαις καὶ κρίσεσι γινομένους καὶ τὰς φιλίας εἰς ἔχθρας μετατιθέντας διὰ τὰς τῶν πανούργων ἀφορμάς, τῷ δὲ βίῳ σφαλλομένους. Ἑρμῆς Ἥλιος Σελήνη σεμνούς, καθαρίους, εὐυποκρίτους, οἰκονομικούς, πίστεων ἢ τάξεων μεταλαμβάνοντας, εὐεργετικούς, μυστηρίων μετόχους, κατορθωτὰς πραγμάτων, πλείστην φαντασίαν τῆς ὑπάρξεως κεκτημένους· γίνονται δὲ καὶ σωματοφύλακες, εἰσαγγελεῖς, ἐπάνω χρημάτων γραμμάτων ψήφων τεταγμένοι· τῶν δὲ τοιούτων καὶ ὁ λόγος ἐπισχύσει πρὸς συμβουλίαν ἢ διδαχήν.

48 Ἑρμῆς Ἥλιος Ἀφροδίτη πολυμαθεῖς, πολυπείρους, ἀγαθούς, τεχνῶν καὶ ἐπιστημῶν προηγουμένους καὶ πίστεων καὶ τάξεων καταξιουμένους, εὐμετανοήτους ἐν τοῖς διαπρασσομένοις, κατὰ καιρὸν ἀνωμαλοῦντας, πολυκινήτους δὲ ἢ ἐν ταῖς καινοποιΐαις τῶν πράξεων ἡδομένους, πολυφίλους, πολυγνώστους, καὶ ἀπὸ μειζόνων ἐν προκοπῇ γινομένους καὶ τῷ βίῳ καὶ τῇ δόξῃ συγκοσμουμένους, ἐπιψόγους δέ. Ἑρμῆς Σελήνη Ἀφροδίτη ἀγαθούς, εὐσυμβιώτους, ἁπλοῦς, μεταδοτικούς, φιλογέλωτας, πολιτικούς, παιδείας ἢ ῥυθμῶν μετόχους, μηχανικούς, πολυπείρους, κοσμίους, καθαρίους, εὐφυεῖς, μυστικῶν πραγμάτων συνίστορας, ὑπηρετικούς, ζηλουμένους καὶ φθονουμένους, ἀνωμάλους δὲ περὶ τὸν βίον καὶ ἀδιαφόρους περὶ τὰς τῶν γυναικῶν καὶ ἀνδρῶν ἐπιμιξίας, εὐπόρους δὲ καὶ συλλεκτικούς. Ἑρμῆς Ἄρης Ἀφροδίτη συσχηματιζόμενοι ὠφελείας καὶ δόξας καὶ πράξεις ἀποτελοῦσι, περί τε τὰς δόσεις καὶ λήψεις καὶ τὰς λοιπὰς ἐγχειρήσεις εὐεπιβόλους καὶ οἰκονομικούς, πανούργους δὲ καὶ πολυπείρους, ἀπὸ γραμμάτων ἢ ἀσκήσεων ἀναγομένους· ἐπιψόγους, πολυαναλώτους, εὐμεταδότους, ἐγγύαις καὶ δάνεσι περικυλιομένους καὶ ἀδικοῦντας, νοσφιστὰς χρημάτων ἀλλοτρίων, παραινέτας ἐπιχαρίτως διαψευδομένους, εὐπόρους δὲ καὶ βασκάνους, εὐμετανοήτους ἐν τοῖς διαπρασσομένοις. Ἄρης Ἥλιος Σελήνη θρασεῖς, ἐπάνδρους, τολμηρούς, πρακτικοὺς ἀποτελοῦσι· γίνονται γὰρ ἀθλητικοὶ καὶ στρατιωτικοί, ἀρχικοὶ ἡγεμονικοί, ἀπὸ

βιαίων πραγμάτων καὶ ἐπιφθόνων πορίζοντες καὶ ἐπιμόχθων τεχνῶν ἢ σκληρουργίας, ἐναντιώμασι δὲ καὶ ἐπικινδύνοις πράγμασι περιτρεπόμενοι καὶ ἐν μειζόνων ἔχθραις καὶ αἰτίαις γίνονται, ἐκτὸς εἰ μή πως ἀγαθοποιοὶ συσχηματισθέντες ἀκαθαίρετον τὴν ὑπόστασιν φυλάξωσιν. Ἄρης Ἥλιος Ἀφροδίτη πολυφίλους καὶ πολυγνώστους ἀποτελοῦσι, συστάσεων καὶ τιμῶν καταξιουμένους, εὐπόρους φιλοσυνήθεις ἐπιψόγους καὶ πολυθρυλλήτους, ἀνεπιμόνους δὲ ταῖς φιλίαις καὶ ἀστάτους ταῖς πράξεσι, πολλῶν ἐπιθυμητάς, πολυδαπάνους, κακωτὰς γυναικῶν, εὐεπηρεάστους, ἐναντιώμασι καὶ ἔχθραις περιτρεπομένους διά τινας τοῦ λογισμοῦ ἀκρισίας.

49 Ἄρης Ἥλιος Ἑρμῆς πολυπείρους, ἐπινοηματικοὺς περὶ τὰς τῶν πράξεων ἀφορμὰς ἀποτελοῦσι, πολυμερίμνους δὲ καὶ δυσεπιτεύκτους πρὸς τὰς τῶν λογισμῶν ἐπιθυμίας, ἀπροσδοκήτως δὲ περιγινομένους· ὅθεν οἱ τοιοῦτοι ἀνώμαλοι ταῖς γνώμαις γίνονται, τολμηροί, πρακτικοί, ὀξύθυμοι, πρὸς τοὺς ἐχθροὺς φερόμενοι, αἰτίας δὲ κακωτικὰς αὑτοῖς ἢ βλάβας ἐπεισάγοντες μετανοοῦσι· ἔσθ’ ὅτε δὲ δειλὸν καὶ εὐκαταφρόνητον ἦθος ἀναλαμβάνοντες, ἐγκρατεῖς καὶ ὑποκριτικοὶ καὶ ἥττονες πρὸς οὓς οὐκ ἐχρῆν καθίστανται, ἀνωμάλως δὲ περὶ τὰ πλεῖστα τοῦ βίου διάγοντες καὶ ὑποχείριοι γινόμενοι τὴν ἰδίαν μέμψονται τύχην. Ἄρης Σελήνη Ἑρμῆς ἐντρεχεῖς μηχανικούς, ῥᾳδίως περὶ τὰς πράξεις ὁρμωμένους καὶ πολυκινήτους, μετὰ τάχους πράττειν θέλοντας, περιέργους, ἀποκρύφων μύστας καὶ ἀπορρήτων συνίστορας πραγμάτων, κακωτάς, βιαίους, ἀνυποτάκτους, ἀλλοτρίων ἐπιθυμητάς, αἰτίαις καὶ βλάβαις περιπίπτοντας κρίσεσί τε καὶ ἐπικινδύνοις πράγμασι, γραπτῶν τε καὶ ἀργυρικῶν χάριν ταραχὰς ὑπομένοντας, πλὴν εὐποροῦντας καὶ πολυδαπάνους ἀποτελοῦσι, τῷ δὲ βίῳ ἀστοχοῦντας. Καὶ ταῦτα μὲν ὡς πρὸς μονοειδεῖς διαστολὰς καὶ καθολικὰς προεθέμεθα. συνεπικιρναμένων δὲ καὶ ἑτέρων συγκράσεων ἤτοι κατὰ παρουσίαν ἢ κατὰ συμμαρτυρίαν κατὰ τὴν τοῦ ἀστέρος φύσιν καὶ τοπικὴν διάγνωσιν ἐναλλοιωθήσεται καὶ ἡ τῶν πραγμάτων δύναμις. οὐκ ἠβουλήθην γὰρ ἐπὶ πολὺ καὶ πολυμερῶς τὰς συγκράσεις συγγράφειν διὰ τὸ καὶ τοὺς παλαιοὺς περὶ τούτων προτεταχέναι· εὐσύνοπτος οὖν ὁ τρόπος κριθήσεται τοῖς γε νοῦν ἔχουσιν ἐκ τῆς ἑκάστου ἀστέρος καὶ ζῳδίου φυσικῆς ἐνεργείας· πρόκειται δὲ ἐν τῷδε τῷ συντάγματι, ὅθεν συγκρίνειν δεήσει τοῦ ἀστέρος τὴν τοποθεσίαν ὅπως ἐσχημάτισται, ἤτοι ἐπίκεντρος, ἢ ἀνατολικός, κλήρου, ὡροσκόπου, τριγώνου κύριος· ὁμοίως δὲ καὶ τὰ ζῴδια ἐν οἷς τετεύχασιν, ἤτοι οἰκεῖα ἢ ἰδίας αἱρέσεως, ὑπὸ τίνων δὲ μαρτυρούμενοι· οὕτως γὰρ βέβαια τὰ ἀποτελέσματα ἀποφαίνεται· ἐὰν δὲ ἐν ἀχρηματίστοις τόποις καὶ ζῳδίοις ἀνοικείοις ἐκπέσωσιν καὶ παρ’ αἵρεσιν, ἥττονα καὶ τὰ τῆς πράξεως καὶ τὰ τῆς τύχης γενήσεται.

50 〈κγʹ. Περὶ σπορᾶ ς .〉 Τούτων οὕτως ἐχόντων λεκτέον καὶ περὶ τῆς σπορᾶς, παρέντας τὴν πλοκὴν καὶ τὸν φθόνον θεμένους. τριῶν ὅρων ὑπαρχόντων, ἐλαχίστου τε καὶ μέσου καὶ μεγίστου, ἡ ἑκάστου ὑπεροχή ἐστι μοιρῶν ιεʹ· ἃς ἐὰν προσθῶμεν ἢ ἀφέλωμεν ἑκάστου ὅρου, ὁ ἕτερος ἔσται καταληπτός· καὶ ὁ μὲν 〈ἐλάχιστός〉 ἐστιν ἡμερῶν σν〈ηʹ〉, ὃς ἀποδειχθήσεται μετὰ τὴν δυτικὴν μοῖραν, τουτέστιν ἐν τῇ ἐπικαταδύσει τῆς Σελήνης οὔσης, ὁ δὲ μέσος σογʹ, ὃς πρόδηλός ἐστιν ἐν τῷ ὡροσκόπῳ τῆς Σελήνης οὔσης, ὁ δὲ μέγιστος σπηʹ, ὃς πρόδηλός ἐστι τῆς Σελήνης οὔσης ἐν τῇ δύσει. τὰς γὰρ ιεʹ μοίρας τῆς ὑπεροχῆς ἐὰν μετρήσωμεν εἰς τὸ ἡμισφαίριον, ὅ ἐστιν ἀπὸ ὡροσκόπου ἐπὶ δύσιν, εὑρίσκομεν ἑκάστου ζῳδίου ἐπιβαλλούσας μοίρας βʹ ἥμισυ. ἔστω οὖν ὡροσκοπεῖν Καρκίνον, δύνειν δὲ Αἰγόκερων· ἐὰν εὑρεθῇ ἡ Σελήνη ὑπὲρ τὸ τῆς δύσεως κέντρον, ἔσται ἡ σπόρα σν〈ηʹ〉· ἐὰν δὲ Ὑδροχόῳ, σζʹ ἥμισυ· ἐὰν δὲ Ἰχθύσι, διακοσίων ξγʹ· ἐὰν δὲ ἐν Κριῷ, σξεʹ ἥμισυ· ἐὰν δὲ ἐν Ταύρῳ, σξηʹ· ἐὰν δὲ ἐν Διδύμοις, σοʹ ἥμισυ· ἐὰν δὲ Καρκίνῳ ἐν τῷ ὡροσκόπῳ, σογʹ· ἐὰν δὲ Λέοντι, σοεʹ ἥμισυ· ἐὰν δὲ ἐν Παρθένῳ, σοηʹ· ἐὰν δὲ ἐν Ζυγῷ, σπʹ ἥμισυ· ἐὰν δὲ Σκορπίῳ, σπγʹ· ἐὰν δὲ Τοξότῃ, σμεʹ ἥμισυ· ἐὰν δὲ Αἰγόκερῳ, σπηʹ. Ἔστω δὲ ἐπὶ ὑποδείγματος ἔτους ηʹ Νέρωνος Μεσορὶ ϛʹ εἰς τὴν ζʹ ὥρα ιαʹ,

Σελήνη Ζυγῷ, ὡροσκόπος Καρκίνῳ. ἐπεὶ οὖν ἡ Σελήνη ἐν τῷ κέντρῳ εὑρέθη, ἐξετράπη ἡ γένεσις δι’ ἡμερῶν σπʹ καὶ ὡρῶν ιβʹ. ταύτας οὖν ἀφαιρεῖν δεήσει ἀπὸ τῶν τοῦ ἐνιαυτοῦ τξεʹ δʹ ἡμερῶν, λοιπαὶ πδʹ ὧραι ιβʹ· τὰς οὖν πδʹ ἐὰν προσθῶμεν τῇ τοῦ Μεσορὶ ϛʹ, ἔσται Φαωφὶ κ 〈ζʹ〉 ὥραι κγʹ, ἥτις ἔσται ἡ σποριμὴ ἡμέρα. καὶ πάλιν ἀπὸ τῆς κζʹ τοῦ Φαωφὶ ἐὰν λάβωμεν ἕως Μεσορὶ ϛʹ, ἔσονται σπʹ. ὑποδείξομεν δὲ καὶ διὰ πολλῶν μὲν αἱρέσεων, εἰς μίαν δὲ ὁδὸν εὐθεῖαν φερουσῶν.

51 προτεθείσης γενέσεως ἐπιγνῶμεν, διὰ πόσων ἡμερῶν ἐξετράπη· ἐὰν ἡ Σελήνη εὑρεθῇ ἐν τῷ ὑπὲρ γῆν ἡμισφαιρίῳ, λογισάμενος τὰς ἀπὸ τῆς δυτικῆς μοίρας ἕως τῆς Σεληνιακῆς καὶ ἑκάστης τριακοντάδος ἀναλαβὼν ἀνὰ βʹ ∠ʹ ἡμέρας ταύτας πρόσθες τῷ ἐλαχίστῳ ὅρῳ ταῖς σν 〈ηʹ〉 καὶ τοσούτων ἡμερῶν εὑρήσεις τὴν σποράν· ἃς ἀναποδίσας ἀπὸ τῆς γεννητικῆς εἰς τὴν καταλήγουσαν εὑρήσεις τὴν σπορίμην ἡμέραν. εἰ δὲ ἄλλως θέλεις, ἀπὸ τῆς Σεληνιακῆς μοίρας ἕως τῆς ὡροσκοπούσης μοίρας καὶ ἑκάστης τριακοντάδος λογισάμενος ἀνὰ βʹ ∠ʹ ἡμέρας ταύτας ἀφαίρει ἀπὸ τοῦ μέσου ὅρου τῶν σογʹ· καὶ τοσούτων ἔσται ἡ σπορά. ὁμοίως δὲ καὶ ἐὰν ἐν τῷ ὑπὸ γῆν ἡμισφαιρίῳ εὑρεθῇ ἡ Σελήνη, ἀπὸ τῆς ὡροσκοπούσης μοίρας λογισάμενος ἕως τῆς Σεληνιακῆς καὶ ἐκκρούσας ἑκάστης τριακοντάδος βʹ ∠ʹ ἡμέρας καὶ συγκεφαλαιώσας πρόσθες τῷ μέσῳ ὅρῳ ταῖς σογʹ· καὶ τοσούτων ἔσται ἡ σπορά. ἀπὸ δὲ τῆς Σεληνιακῆς λαβὼν ἕως τῆς δυτικῆς καὶ ἐπιγνούς, πόσαι ἡμέραι συνάγονται, πρὸς τὴν ποσότητα [ἐκ] τῶν ἐκκρουσθεισῶν τριακοντάδων βʹ ∠ʹ ἡμέρας ἀφαίρει ἐκ τῶν σπηʹ· καὶ τοσούτων ἔσται ἡ σπορά. Ἔστω δὲ πάλιν ἐπὶ ὑποδείγματος, ἵνα σαφέστερον οἱ ἐντυγχάνοντες τὴν ἐπίγνωσιν λαμβάνωσιν, Ἀδριανοῦ ἔτος ιʹ Μεχὶρ ιγʹ εἰς τὴν ιδʹ ἡμέρας ὥρα αʹ· Σελήνη Σκορπίῳ μοίρᾳ ζʹ, ὡροσκόπος Παρθένῳ μοίρᾳ ζʹ· ἐπεὶ ἡ Σελήνη εὑρέθη ἐν τῷ ὑπὸ γῆν ἡμισφαιρίῳ, λαμβάνω ἀπὸ τῆς ὡροσκοπούσης μοίρας ἕως τῆς σεληνιακῆς μοίρας [ζʹ]· γίνονται ξʹ· ἑκάστης δὲ τριακοντάδος ἀνὰ βʹ ∠ʹ λογίζομαι· γίνονται εʹ· καὶ ταύτας προστίθημι τῷ μέσῳ ὅρῳ ταῖς σογʹ· γίνονται σοηʹ· τοσούτων ἡ σπορά. ἀναποδίζω οὖν τὰς σπηʹ ἀπὸ [ ∠ʹ] τῆς γεννητικῆς ὥρας· καταλήγει ἡ σπορίμη ἡμέρα εἰς Παχὼν ιαʹ. ἢ πάλιν τὰς τοῦ διαστήματος ἡμέρας εʹ ἀφαιρῶ ἐκ τῶν ϟβʹ· λοιπὰ πζʹ· ἐπεὶ γὰρ ὁ μέσος σογʹ, λοιπαὶ ἐκ τῶν τξεʹ ἡμερῶν ϟβʹ. τὰς οὖν πζʹ ἐὰν προσθῶμεν τῇ τοῦ Μεχὶρ ιδʹ καὶ ἀπολύσωμεν ἀπὸ τῆς γεννη[μα]τικῆς ὥρας, καταλήξει εἰς τὸν Παχὼν ιαʹ. ἐὰν δὲ ἀπὸ τῆς σεληνιακῆς μοίρας ἕως τῆς δυτικῆς [ ∠ʹ] τουτέστιν Ἰχθύων μοίρας ζʹ λογίσῃ, συνάγονται ρκʹ· ἑκάστου τριακονταμοιρίου βʹ ∠ʹ ἡμέρας λαμβάνοντες γίνονται ἡμέραι ιʹ· ταύτας ἐὰν ἀφέλω ἀπὸ τοῦ μεγίστου ὅρου τῶν σπηʹ, λοιπαὶ σοηʹ· ταύτας ἀναδραμὼν ἀπὸ τῆς γεννη[μα]τικῆς ὥρας ψηφίσας τὴν Σελήνην εὑρήσεις ἐπὶ τοῦ κατὰ ἐκτροπὴν ὡροσκόπου. Ἐὰν δὲ ἐν τῷ ὑπεργείῳ ἡμισφαιρίῳ ἡ Σελήνη εὑρεθῇ, λαβὼν ἀπὸ αὐτῆς τὸ μοιρικὸν διάστημα ἕως τῆς ὡροσκοπούσης μοίρας καὶ ἑκάστης τριακοντάδος ἐκκρούσας ἀνὰ βʹ ∠ʹ καὶ ἐπιγνούς, πόσαι ἡμέραι συνάγονται, καὶ ἐὰν μὲν θέλης ταῖς ϟβʹ προσθεῖναι καὶ ἀπολῦσαι ἀπὸ τῆς γεννη[μα]τικῆς ὥρας κατὰ τὸ ἑξῆς, ὅπου ἂν καταλήξῃ, ἐκεῖ εὑρήσεις τὴν σπορίμην ἡμέραν.

52 καὶ πάλιν ἀπὸ τῆς αὐτῆς τῆς εὑρεθείσης ἡμέρας ἕως τῆς γεννη[μα]τικῆς κατὰ τὸ ἑξῆς λογισάμενος ἐπιγνώσῃ τὸ τῶν ἡμερῶν πλῆθος. ἐὰν δὲ ἐν τῷ ὑπὸ γῆν ἡμισφαιρίῳ εὑρεθῇ ἡ Σελήνη καὶ λογίσῃ ἀπὸ τῆς ὡροσκοπούσης ὥρας ἕως τῆς σεληνιακῆς καὶ τοῦ διαστήματος τὴν ἡμέραν ἐπιγνοὺς ἑκάστῃ τριακοντάδι βʹ ∠ʹ ἡμέρας ἀπονέμεις· ταύτας ἄφελε ἀπὸ τῶν ϟβʹ καὶ τὰς λοιπὰς πρόσθες τῇ γενεσιακῇ ἡμέρᾳ καὶ ἀπόλυε ἀπὸ αὐτῆς κατὰ τὸ ἑξῆς· κἀκεῖ ἔσται ἡ σπορίμη ἡμέρα· ἣν προσθεὶς τῷ ὅρῳ ταῖς σογʹ ἀναπόδιζε ἀπὸ τῆς γενεσιακῆς ὥρας. Ἔστω δὲ καὶ ἐπὶ ἑτέρου ὑποδείγματος ἔτους ιζʹ Τραϊανοῦ Μεσορὶ βʹ ὥρα ἡμέρας ιαʹ ∠ʹ. Ἥλιος Λέοντι μοίραις εʹ, Σελήνη Ζυγῷ 〈ιηʹ〉, ὡροσκόπος Αἰγόκερῳ κδʹ. ἐπεὶ οὖν ἡ Σελήνη ἐν τῷ ὑπὲρ γῆν ἡμισφαιρίῳ εὑρέθη, λαμβάνω ἀπὸ [τῆς] αὐτῆς ἕως τῆς ὡροσκοπούσης μοίρας· γίνονται ϟϛʹ ἔγγιστα· ἑκάστου τριακονταμοίρου ἀνὰ βʹ ∠ʹ λαμβάνω καὶ γίνονται ἡμέραι ζʹ ∠ʹ· ταύτας

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προστιθῶ ταῖς ϟβʹ· γίνονται ἡμέραι ϟθʹ ∠ʹ. ἀπολύω ἀπὸ τῆς γενεσιακῆς ἡμέρας κατὰ τὸ ἑξῆς ταύτας· καταλήγει εἰς τὴν τοῦ Ἀθὺρ ϛʹ. πάλιν ἀπὸ τῆς ϛʹ τοῦ Ἀθὺρ ἕως τῶν γενεσίων κατὰ τὸ ἑξῆς· συνάγονται ἡμέραι σξϛʹ· τούτων ἦν ἡ σπορά. ἐὰν δὲ μὴ θέλω ταῖς ϟβʹ προσθεῖναι τὰς ζʹ, ἀφαιρῶ αὐτὰς ἐκ τῶν σογʹ· καὶ λοιπαὶ ἔσονται διακόσιαι ἑξήκοντα ἕξ· ταύτας ἀναποδίσας ἀπὸ τῆς γενεσιακῆς ἡμέρας καὶ ψηφίσας τὸν Ἥλιον εὗρον ἐν τῷ ὡροσκόπῳ Αἰγόκερῳ. 〈Τ〉 ὴν ὥραν τῆς σπορᾶς ἡ κατὰ γένεσιν Σελήνη δηλώσει, καθ’ οὗ ζῴου τέτευχεν. ὅσαι δ’ ἂν ὦσι μοῖραι τῆς κατ’ ἐκτροπὴν Σελήνης, τοσαύτας ἔχει ὁ ὡροσκόπος τῆς σπορᾶς. ἕτεροι δὲ τὰς γεννη[μα]τικὰς ὥρας διπλασιάσαντες λογίζονται τῷ ὡροσκόπῳ καὶ πάλιν μὲν τοῦ κατ’ ἐκτροπὴν Ἡλίου λαβόντες τὸ δʹ κἀκείνου τὸ προηγούμενον τρίγωνον ὡροσκόπον τῆς σπορᾶς ἡγοῦνται.

53 ὅθεν κατὰ τὴν προκειμένην αἵρεσιν καὶ ἐπὶ τῶν λοιπῶν γενέσεων ζητήσαντες οὐ παραμφοδίσομεν. οὗτος δὲ ἔστω ἀναγκαστικὸς καὶ μυστικὸς τρόπος εἰς τὴν μέλλουσαν ὑφ’ ἡμῶν ἀγωγὴν ἐπιλύεσθαι. 〈κδʹ〉 . Περὶ ἑπταμήνω ν . Ὑποτάξομεν δὲ καὶ ἄλλως, πότερον πλήρη τίς χρόνον διέμεινεν ἐν τῇ γαστρὶ ἤτοι ἐλάσσονα, ὅπως τε οἱ ἀφανισμοὶ καὶ τὰ ἐκτρώματα γίνονται καὶ δυστοκίαι καὶ νεκρώσεις ἥ τε τῶν ἑπταμηνιαίων γέννα. ἔστι δὲ ἡ εὕρεσις οὕτως. Λαμβάνω πάντοτε τὸν πρὸ τῆς γενέσεως ἐνιαυτὸν καὶ τὸν μῆνα τὸν γεννητικὸν καὶ τὴν ἡμέραν, καὶ ψηφίζω τὴν Σελήνην· καὶ ἐπιγνούς, ἐν ποίῳ ζῳδίῳ εὑρέθη, σημειοῦμαι. ὁμοίως καὶ μετὰ τὸν γεννητικὸν τοῦ δευτέρου ἐνιαυτοῦ λαβὼν καὶ τὸν μῆνα καὶ τὴν ἡμέραν [καὶ] ψηφίζω πάλιν τὴν Σελήνην καὶ εὑρὼν συγκρίνω τῷ πρώτῳ ἔτει. καὶ ἐὰν μὲν εὕρω ἐν ἀμφοτέροις τοῖς ἔτεσι τὴν Σελήνην κατὰ τὸ τρίγωνον τῆς κατὰ γένεσιν Σελήνης, ἀποφαίνομαι τελείαν εἶναι τὴν σποράν· ἐὰν δ’ ἐν τοῖς δύο ἔτεσιν εὑρεθῶσιν αἱ Σελῆναι κατὰ τετράγωνον πρὸς τὴν κατὰ γένεσιν, τῆς ἐλαχίστης σπορᾶς ἐφέξει τὸν χρόνον ὁ γεννώμενος, τουτέστιν ἐντὸς σνηʹ. ἐὰν δὲ ἡ μὲν τοῦ πρώτου ἔτους Σελήνη τρίγωνος εὑρεθῇ, ἡ δὲ τοῦ δευτέρου τετράγωνος, ἐντὸς σξθʹ ἔχει τῆς γαστρὸς τοὺς χρόνους. ἐὰν δὲ ἡ μὲν τοῦ πρώτου κατὰ τετράγωνον, ἡ δὲ τοῦ δευτέρου κατὰ τρίγωνον, καὶ αὐτὸς σξθʹ ἡμερῶν ἔχει χρόνον. ἐὰν δὲ ἡ μὲν τοῦ πρώτου κατὰ τετράγωνον, ἡ δὲ τοῦ δευτέρου ἀπόστροφος, ἔσται ἄτροφον. ἐὰν δέ πως ἐν τοῖς δυσὶ χρόνοις αἱ Σελῆναι εὑρεθῶσιν ἀσύνδετοι πρὸς τὴν τῆς γενέσεως Σελήνην, νεκρὸν ἔσται ἐν τῇ γαστρὶ ἢ ἐμβρυοτομηθήσεται καὶ τῇ μητρὶ κίνδυνον ἐπάξει. ἐὰν δὲ καὶ ἐκ τοῦ διαμέτρου εὑρεθῶσιν αἱ τῶν δύο ἐτῶν Σελῆναι σύμφωνοι, ἔσται ἑπταμηνιαῖον. ἐὰν δέ πως ἡ μὲν τοῦ πρώτου ἔτους κατὰ διάμετρον, ἡ δὲ τοῦ δευτέρου κατὰ τρίγωνον ἤτοι τοῦ ὡροσκόπου ἢ αὐτῆς, ἑπταμηνιαῖον ἔσται· τὸ δ’ αὐτὸ ἔσται, καὶ ἐὰν τετράγωνος εὑρεθῇ.

54 καὶ ἐὰν ἡ μὲν τοῦ πρώτου ἐν τετραγώνῳ, ἡ δὲ τοῦ δευτέρου ἐν διαμέτρῳ, ἑπταμηνιαῖον ἔσται. τὸ δ’ ὅμοιον καὶ ὁ Ἥλιος ἀποτελεῖ διαμετρήσας τὸ ζῴδιον, ἐν ᾧ ἡ σύνοδος ἐγένετο. Τοῦτον τὸν τόπον οἱ παλαιοὶ μυστικῶς καὶ σκοτεινῶς διέγραψαν, ἡμεῖς δὲ τηλαυγέστερον. Liber II.

55 (1t) Οὐεττίου Οὐάλεντος Ἀντιοχέως ἀνθολογιῶν βιβλίον δεύτερο ν . Περὶ μὲν οὖν προτρεπτικῶν καὶ διδασκαλικῶν λόγων ἐν τῷ πρώτῳ συντάγματι ἐδηλώσαμεν καὶ περὶ συγκρατικῆς ἀποτελεσματογραφίας, οὐ τοσοῦτον τῇ περὶ τὸν λόγον κακοζηλίᾳ ἐνεχθέντες, ὅσον τῇ περὶ τὴν ἐμπειρίαν ἐνεργείᾳ. νυνὶ δὲ ἀκολούθως περὶ καθολικῶν ὑποστάσεων καὶ διαφορᾶς τόπων ὑποτάξομεν. 〈αʹ.〉 Περὶ τριγώνω ν . Τοῦ ζῳδιακοῦ κύκλου κατὰ διαφορὰν καὶ οἰκειότητα τεταγμένου εὕρομεν αἱρέσεις δύο, Ἡλίου τε καὶ Σελήνης, ἡμερινὴν καὶ νυκτερινήν. ὁ μὲν γὰρ Ἥλιος πυρώδης ὑπάρχων προσῳκειώθη Κριῷ Λέοντι Τοξότῃ, ὅπερ αὐτοῦ τρίγωνον προσωνομάσθη ἡμερινόν· ἔστι δὲ καὶ αὐτὸ φύσει πυρῶδες. Δία δὲ καὶ Κρόνον τῇ ἰδίᾳ αἱρέσει προσηρμόσατο συνεργοὺς καὶ φύλακας τῶν ὑπ’ αὐτοῦ τελουμένων, τὸν μὲν Δία ἀντίμιμον ἑαυτοῦ καὶ διάδοχον τῆς βασιλείας ἀγαθῶν αἱρέτην καὶ δόξης τε καὶ ζωῆς δοτῆρα, τὸν δὲ Κρόνον ὑπουργὸν κακίας καὶ ἐναντιωμάτων καὶ χρόνων ἀφαιρέτην. ἔστι μὲν οὖν τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προκειμένου τριγώνου ἡμέρας μὲν δεσπότης Ἥλιος, νυκτὸς δὲ κατὰ διαδοχὴν ὁ τοῦ Διός, ἀμφοτέροις δὲ Κρόνος συνεργεῖ. Ἑξῆς δὲ τοῦ ἑπομένου τριγώνου γεώδους ὑπάρχοντος Ταύρου Παρθένου Αἰγόκερω Σελήνη περίγειος οὖσα τὴν οἰκοδεσποτείαν ἐκληρώσατο. ἔσχε δὲ συναιρετιστὰς Ἀφροδίτην καὶ Ἄρεα, Ἀφροδίτην μὲν εἰκότως εἰς τὸ εὐεργετεῖν καὶ δόξας καὶ χρόνους μερίζειν, Ἄρεα δὲ εἰς τὸ παραβλάπτειν τὰς γενέσεις.

56 ὅθεν ἐπὶ μὲν νυκτὸς ἔσχεν τὴν προστασίαν ἡ Σελήνη, δευτέρῳ δὲ τόπῳ Ἀφροδίτη, τρίτῳ δὲ Ἄρης· ἐπὶ δὲ τῶν ἡμερινῶν προηγήσεται Ἀφροδίτη, συνεργήσει δευτέρῳ τόπῳ ἡ Σελήνη, τρίτῳ Ἄρης. Ἑξῆς δὲ Διδύμων Ζυγοῦ Ὑδροχόου τριγώνου ἀερώδους δεσπόσει ἡμέρας Κρόνος, συνεργήσει δὲ δευτέρῳ τόπῳ Ἑρμῆς, τρίτῳ Ζεύς· νυκτὸς δὲ ὁ τοῦ Ἑρμοῦ προηγήσεται καὶ δευτέρῳ τόπῳ ὁ τοῦ Κρόνου καὶ τρίτῳ ὁ τοῦ Διός. Ἑξῆς ὁμοίως Καρκίνου Σκορπίου Ἰχθύων τριγώνου ὑδατώδους ὁ τοῦ Ἄρεως τὴν οἰκοδεσποτίαν νυκτὸς ἐφέξει καὶ δευτέρῳ τόπῳ Ἀφροδίτη καὶ τρίτῳ Σελήνη· ἡμέρας δὲ ὁ τῆς Ἀφροδίτης προηγήσεται, μεθ' ἣν ὁ τοῦ Ἄρεως καὶ τρίτη Σελήνη. —Ὁ μέντοι Ἑρμῆς κοινὸς ὑπάρχων ἐξαιρέτως ταῖς δυσὶν αἱρέσεσιν ἐξυπηρετεῖ πρός τε τὸ ἀγαθὸν ἢ φαῦλον καὶ πρὸς τὴν οἰκειότητα καὶ σχηματογραφίαν ἑκάστου ἀστέρος. 〈β'.〉 Τριγώνων διακρίσεις καὶ οἰκοδεσποτῶν καὶ συνεργῶν καὶ αἱρέσεων Ἡλίου Σελήνης ἡμέρας καὶ νυκτό ς . Τὴν δὲ τῶν προκειμένων τριγώνων διαίρεσιν καὶ εὐδαιμονίαν ἢ μετριότητα πρὸς τὴν ἑκάστου γένεσιν ὁρῶν δηλώσεις. ἐπὶ μὲν γὰρ τῶν ἡμέρας γεννωμένων σκοπεῖν δεήσει τὸν Ἥλιον, ἐν ποίῳ τριγώνῳ ὑπάρχει, καὶ τὸν καθ' ὑπεροχὴν τούτου οἰκοδεσπότην καὶ τὸν τούτου συνεργόν, πότερόν ποτε ἐπίκεντρος ἢ ἐπαναφερόμενος ἢ ἀποκεκλικώς, ἀνατολικὸς ἢ δυτικός, ἢ ἐν οἰκείοις ζῳδίοις καὶ ὑπὸ τίνων μαρτυρεῖται, ἀγαθοποιῶν ἢ κακοποιῶν· καὶ οὕτως τὰς ἀποφάσεις ποιεῖσθαι. ἐὰν γὰρ ὡροσκοπῇ ἢ μεσουρανῇ ἢ καὶ ἐπί τινος ἑτέρου τῶν χρηματιστικῶν ζῳδίων τύχῃ, εὐτυχεῖς καὶ λαμπρὰς τὰς γενέσεις προδηλοῦσιν· ἐὰν δὲ ἐν ταῖς ἐπαναφοραῖς, μέσας· ἐν δὲ τοῖς ἀποκλίμασι ταπεινὰς καὶ δυστυχεῖς. χρὴ δὲ καὶ αὐτὸν τὸν Ἥλιον προσβλέπειν, ὅπως τέτευχε καὶ ὑπὸ τίνων μαρτυρεῖται. Ἐπὶ δὲ τῶν νυκτὸς γεννωμένων τὴν Σελήνην ὁμοίως σκοπεῖν δεήσει καὶ τὸν καθ' ὑπεροχὴν τοῦ τριγώνου οἰκοδεσπότην καὶ τὸν τούτου ἐπίκοινον ὅπως ἐσχημάτισται, καθὼς πρόκειται. Ἐὰν μὲν γὰρ ὁ καθ' ὑπεροχὴν οἰκοδεσπότης ἐπὶ τῶν καλῶν κειμένων ἡμέρας ἢ νυκτὸς παραπέσῃ, ὁ δὲ κατὰ διαδοχὴν ἐπίκεντρος ἢ καλῶς σχηματιζόμενος ὑπάρχῃ, ὁ γεννώμενος ἐν πρώτοις χρόνοις ἀνωμαλίσας ἕως τῆς ἀναφορᾶς τοῦ ζῳδίου ἢ τῆς τοῦ χρόνου κυκλικῆς ἀποκαταστάσεως ἐξ ὑστέρου ἔμπρακτος ἔσται, πλὴν ἄστατος καὶ ἐπίφοβος διάξει.

57 ἐὰν δὲ ὁ προηγούμενος οἰκοδεσπότης καλῶς πέσῃ, ὁ δὲ ἑπόμενος κακῶς, τοῖς πρώτοις καλῶς ἐνεχθεὶς ἐξ ὑστέρου καθαιρεθήσεται ἐπὶ τοῦ τῆς ἀναφορᾶς τοῦ ζῳδίου χρόνου, ἐν ᾧ ὁ ἑπόμενος οἰκοδεσπότης παρέπεσεν. ἀκριβέστερον μὲν οὖν περὶ τῆς διακρίσεως τῶν χρόνων ἐν δέοντι καιρῷ δηλώσομεν. ἐὰν δ' ἀμφότεροι καλῶς πέσωσι, τὰ τῆς εὐτυχίας παραμενεῖ καὶ ἔνδοξα γενήσεται, ἐκτὸς εἰ μὴ κακοποιὸς ἐναντιωθῇ ἢ καθυπερτερήσῃ οὐδὲ μετατρέψει τὰ τῆς γενέσεως πράγματα. πᾶς δὲ ἀστὴρ οἰκοδεσποτήσας καὶ ἐν ἀποκλίσει ὑπάρχων ἐναντίος γενήσεται καὶ παραιρέτης· ἑτέροις γὰρ ὑποτασσομένους ποιεῖ, ἀνωμαλοῦντας ἢ δόξης καθαιρουμένους, σίνεσι καὶ πάθεσι καὶ καταιτιασμοῖς περιπίπτοντας ἢ ἐνδεεῖς τῷ βίῳ. Ἐὰν οὖν ἐπὶ τῶν ἡμέρας γεννωμένων εὑρεθῇ ὁ Ἥλιος Κριῷ Λέοντι Τοξότῃ, βέλτιον μὲν αὐτὸν ἐπίκεντρον εἶναι. εἰ δὲ ἐπὶ τῶν ἐπαναφορῶν καὶ τοὺς τούτου συναιρετιστὰς ὁμοίως ** Ἄρεος μὴ ἐναντιουμένου ἢ τετραγωνίζοντος, εὐτυχίας προδήλως ὁ τόπος κριθήσεται. ἐὰν δὲ ὦσιν ἐναλλάξ, τἀναντία γενήσεται. ἐὰν δὲ Ταύρῳ Παρθένῳ Αἰγόκερῳ εὑρεθῇ ὁ Ἥλιος ἡμέρας, ζητεῖν δεήσει πρώτῳ τόπῳ τὸν τῆς Ἀφροδίτης καὶ ἐκ δευτέρου τὴν Σελήνην καὶ ἐκ τοῦ τρίτου Ἄρεα πῶς σχηματίζονται καὶ ὑπὸ τίνων μαρτυροῦνται. ὁμοίως καὶ ἐν τῷ ἑπομένῳ τριγώνῳ Διδύμοις Ζυγῷ Ὑδροχόῳ τοῦ Ἡλίου εὑρεθέντος ἡμέρας προσβλέπειν τόν τε τοῦ Κρόνου καὶ

τὸν τοῦ Ἑρμοῦ καὶ τὸν τοῦ Διός. τὸ δ’ αὐτὸ καὶ ἐπὶ τοῦ Καρκίνου Σκορπίου Ἰχθύων ἡμέρας Ἡλίου ἐπόντος τὸν τῆς Ἀφροδίτης καὶ τὸν τοῦ Ἄρεος προσβλέπειν καὶ τὸν τὴν Σελήνην εἰ ἔγκεντροι, καὶ οὕτως διακρίνοντας ἀποφαίνεσθαι. τῷ δ’ αὐτῷ λόγῳ καὶ νυκτὸς τὴν Σελήνην χρὴ προσβλέπειν. Βέλτιον μὲν οὖν τοὺς ἡμερινοὺς ἐν ἰδίοις τριγώνοις ἐπικέντρους ἢ ἐν χρηματιστικοῖς τόποις εὑρίσκεσθαι καὶ τοὺς νυκτερινοὺς ὁμοίως· ἐὰν δὲ ἐν ἀλλοτρίοις τριγώνοις ἢ παρ’ αἵρεσιν, ἥττονα τὰ τῆς εὐδαιμονίας καὶ ἐπὶ φόβοις γενήσεται.

58 τῶν οἰκοδεσποτῶν καὶ τῶν συνεργῶν παραπεπτωκότων σκοπεῖν δεήσει τὸν κλῆρον τῆς τύχης καὶ τὸν τούτου οἰκοδεσπότην. ἐὰν γὰρ ἐπίκεντροι καὶ ἐπαναφερόμενοι εὑρεθῶσιν ὑπὸ ἀγαθοποιῶν μαρτυρούμενοι, εὐτυχίας καὶ δόξης μέρος ἕξει ὁ γεννώμενος, ἀνωμαλίας δὲ κατὰ καιρὸν καὶ ἐναντιώματα ὑπομένων· πλὴν οὐκ ἀπορήσει. ἐὰν δὲ καὶ οὗτοι κακῶς πέσωσι, μέτρια καὶ σκληρότατα 〈τὰ〉 πράγματα κριθήσεται· δυσεπίτευκτοι γὰρ εἰς τὰς ἐπιβολάς, ἐνδεεῖς, κατάχρεοι, εἰς τὰ θεῖα βλασφημοῦντες. ἐὰν δὲ καὶ ὑπὸ κακοποιῶν μαρτυρηθῶσιν, ἐπίμοχθοι ἀλῆται αἰχμάλωτοι ὑποτακτικοὶ κακόβιοι ἐπισινεῖς ἐπικίνδυνοι. ἐὰν δέ πως τοῦ τε κλήρου καὶ τοῦ οἰκοδεσπότου κακῶς πεπτωκότων ἀγαθοποιοὶ ἐπιμαρτυρήσωσιν, ἐλεούμενοι διαζῶσιν ἢ ὑπὸ ἑτέρων προσλαμβανόμενοι κοσμίως κατά τινα χρόνον διανύουσιν ἢ πράξεων ἢ πίστεων ἢ δωρεῶν μεταλαμβάνοντες· πλὴν οὐκ ἀταράχως οὐδὲ ἀμέμπτως τὸν βίον διάξουσιν. Παντὸς οὖν οἰκοδεσπότου προσβλέπειν δεήσει τὰς μαρτυρίας καὶ τῶν σχηματισμῶν τὰς διαθέσεις, ἤτοι οἰκεῖαι ἢ καὶ ἐναντίαι ὑπάρχουσιν. ἐὰν γάρ πως ἐπὶ τῶν νυκτὸς γεννωμένων εὑρεθῇ ὁ τοῦ Κρόνου κατὰ διάμετρον ἢ τετράγωνον στάσιν, ἐναντιώματα καὶ καθαιρέσεις κινδύνους τε καὶ σίνη καὶ πάθη ἀποτελεῖ καὶ νωθροὺς περὶ τὰς ἐπιβολάς. ἐπὶ δὲ τῶν ἡμέρας ὁ τοῦ Ἄρεος θερμοὺς παραβόλους ἐπισφαλεῖς τοῖς πράγμασι καὶ τῷ βίῳ· γίνονται γὰρ ἐν συνοχῇ κρίσεσιν ἐπηρείαις τομαῖς καύσεσιν αἱμαγμοῖς πτώσεσιν. οἰκείως δὲ σχηματισθέντες καὶ ἰδίᾳ αἱρέσει πρακτικοὶ τυγχάνουσιν· ὅθεν οὐ πάντοτε κακοποιοὶ κριθήσονται, ἀλλὰ καὶ ἀγαθῶν δοτῆρες· καὶ μάλιστα [ὅταν] ὁ Κρόνος ἡμέρας λόγον ἔχων πρὸς τὴν οἰκοδεσποτίαν καλῶς τυχὼν ὑπὸ Διὸς καὶ Ἡλίου μαρτυρούμενος πολυκτήμονας ἐνδόξους ἀποτελεῖ, ἐκ θανατικῶν εὐεργετουμένους, θεμελίων σωμάτων κυρίους, ἐπιτρόπους ἀλλοτρίων πραγμάτων προεστῶτας. νυκτὸς δὲ καλῶς σχηματισθεὶς καὶ λόγον ἔχων οἰκοδεσποτίας παρεκτικὸς τῶν προκειμένων γενήσεται, τῶν δὲ περικτηθέντων ἀποβολὴ καὶ δόξης καθαίρεσις ἢ ἀτιμία γενήσεται.

59 τὸ δ’ ὅμοιον καὶ ἐπὶ τοῦ Ἄρεος νοείσθω· νυκτὸς γὰρ ἡγεμονίας ἢ στρατηγίας καὶ δημοσίων τάξεις ὀχλικὰς ἐπιτρέπει, ἡμέρας δὲ τοῖς χρηματιστικοῖς τόποις ὑπάρχων τὰ μὲν προκείμενα ἀποτελεῖ, ἐναντιώμασι δὲ καὶ φόβοις καὶ ἀντιλογίαις περιτρέπει καὶ τὰς ἡγεμονίας εἰς στασιώδεις καὶ ἐμφόβους· ἐπάγει γὰρ πολεμίων ἐφόδους πολλῶν καὶ ὄχλων ἐπαναστάσεις, λοιμὸν καὶ λιμὸν ἐπὶ πόλεων καὶ ἐπιφορὰς ἐμπρησμοὺς ἐπικινδύνους αἰτίας. Ὁμοίως καὶ οἱ ἀγαθοποιοὶ κακοποιῶν τρόπον ἐφέξουσιν, ἐπὰν οἰκοδεσποτοῦντες κακῶς πέσωσιν. ἐὰν δὲ καὶ ἐπίκεντροι τύχωσι τοῦ οἰκοδεσπότου ἀποκεκλικότος, ἐξασθενήσουσιν ἐν τῷ ἀγαθόν τι παρασχεῖν. ἐπὶ παντὸς εἴδους σκοπεῖν δεήσει τὸν οἰκοδεσπότην τοῦ οἰκοδεσπότου, ὅπως ἔτυχε καὶ ὑπὸ τίνων μαρτυρεῖται. ἐὰν γὰρ καὶ ὁ καθολικὸς οἰκοδεσπότης παραπέσῃ, ὁ δὲ τούτου κύριος καλῶς σχηματισθῇ, ἕξει βοήθειαν ὁ γεννώμενος καὶ ὑπόστασιν βίου καὶ δόξης κατὰ τὴν τοῦ ἀστέρος τοποθεσίαν. 〈γʹ〉 . Περὶ κλήρου τύχης καὶ οἰκοδεσπότο υ . Ἀκριβέστερον δὲ βουλόμενος τὸν περὶ εὐδαιμονίας τόπον βεβαιῶσαι ἐπάνειμι εἰς τὸν κλῆρον τῆς τύχης ὄντα ἀναγκαιότατον καὶ δυναστικὸν τόπον, καθὼς καὶ ὁ βασιλεὺς ἐναρχόμενος ἐν τῇ ιγʹ βίβλῳ μυστικῶς ἐδήλωσε λέγων· εἶ τ ’ ἐχομένως δεήσει τοῖς ἡμέρας γεννωμένοις σαφῶς ἀριθμεῖν ἀπὸ Ἡλίου ἐπὶ Σελήνη ν , ἔμπαλιν δὲ ἀ φ ’ ὡροσκόπου ἰσότητα τάσσειν καὶ τὸν ἀποβάντα τόπον συνορᾶ ν , οὗτινος τέτευχεν ἀστέρος καὶ τίς ἢ τίνες ἐπὶ τούτου πρόσεισ ι , τά τε τετράγωνα ἢ

τρίγωνα παντάπασιν ὡς κατηστέρητα ι . ἐκ γὰρ τῆσδε τῆς τῶν τόπων συγγνώσεως πρόδηλα κρινεῖς τῶν γεννωμένων τὰ πράγματ α. ὁμοίως δὲ καὶ ὁ Πετόσιρις ἐν τοῖς ὅροις ἐδήλωσε τὸν τόπον, ἄλλοι δ’ ἄλλως διαλαμβάνουσιν, ὃν καὶ ἡμεῖς ἐκθησόμεθα ἐν δέοντι καιρῷ καὶ ἄλλας ἀγωγὰς δηλούσας εἰς τὸν περὶ εὐδαιμονίας λόγον.

60 νυνὶ δὲ περὶ τοῦ προκειμένου λεκτέον. 〈δʹ〉 . Περὶ τοῦ λαχόντος τὴν ὥραν ἢ τὸν κλῆρον ἀστέρο ς . Κρόνος τὴν ὥραν λαχὼν ἢ τὸν κλῆρον οἰκοδεσποτήσας μὴ ἐναντιουμένου τοῦ Ἄρεως· ὁ τοιοῦτος εὐδαιμονήσει περὶ τῆς ὑπὸ Κρόνου μεριζομένης πράξεως· ἐὰν δὲ ὑπὸ Διὸς μαρτυρηθῇ, διπλασίονα· ἐὰν δὲ Ἀφροδίτης, διὰ γυναικὸς ἢ ἀσπέρμου· ἐὰν δὲ ὁ τοῦ Ἄρεως αὐτῷ συνῇ ἢ ἐναντιωθῇ, ὁ τοιοῦτος ἐν ταραχαῖς καὶ ἐναντιώμασιν ἔσται· ἐὰν δὲ ὁ τοῦ Ἑρμοῦ αὐτῷ συνωροσκοπήσῃ, ὁ τοιοῦτος ταῖς ἀκοαῖς παραποδισθήσεται. Ζεὺς τὴν ὥραν ἢ τὸν κλῆρον ὡροσκοπήσας εὐτυχεῖς ἄγαν ἀπὸ νεότητος ἀποτελεῖ· ἐὰν δὲ Ἄρης παρῇ ἢ ὁμόκεντρος ἢ τρίγωνος, ἐν λαμπραῖς στρατείαις προκόψει καὶ βίου περίκτησιν οἴσει· ἐὰν δὲ καὶ Κρόνος προσγένηται, ἐν ὑπεροχαῖς γίνονται· εἰ δὲ καὶ Ἀφροδίτη, ἔτι μᾶλλον· ἐὰν δὲ καὶ Ἑρμῆς, ἐν λήψεσι καὶ δόσεσι γίνονται. Ἄρης λαχὼν τὴν ὥραν ἢ τὸν κλῆρον ὡροσκοπῶν ποιεῖ ὅρμησιν ἐπὶ στρατείαν· ἐὰν δὲ καὶ Ζεὺς μαρτυρήσῃ, ἐν ἀξίᾳ προκόψει· ἐὰν δὲ καὶ Ἀφροδίτη, ἐν ἀξίαις οὐ ταῖς τυχούσαις γίνονται· ἐὰν δὲ καὶ Ἑρμῆς συμπαρῇ, μόνος παρακαταθήκην λαβὼν ἀρνήσεται· ἐὰν δὲ καὶ Ζεύς, ἀπὸ πολλῶν πολλὰ περικτήσεται, μετὰ δὲ τὸν θάνατον εἰς βασιλικὰ χωρήσει. Ἀφροδίτη τὴν ὥραν ἢ τὸν κλῆρον λαχοῦσα μεγάλα ἀγαθὰ σημαίνει καὶ μεγαλοδόξους ποιεῖ· ἐὰν δὲ συμπαρῇ Ἑρμῆς, μουσικοὺς ποιεῖ· τούτων οὕτως ἐχόντων Κρόνος διαμετρήσας αὐτοὺς ἢ καθυπερτερήσας ἐστέρησε τῶν ὑπαρχόντων. Ἑρμῆς τὴν ὥραν λαχὼν ἢ τὸν κλῆρον ὡροσκοπήσας ποιεῖ εὐτυχεῖς· ἐὰν δὲ καὶ ὁ τοῦ Διὸς συμπροσγένηται ἢ τετραγωνίσῃ, κριτηρίων καὶ πόλεων ἀρχὰς ἕξουσιν· ἐὰν δὲ καὶ ὁ τοῦ Κρόνου τοῖσδε συμπροσγένηται, διπλασίονας τάς τε ἀρχὰς καὶ τιμὰς καὶ τὰ ἀγαθὰ καὶ τὰς προκοπάς.

61 Ἥλιος κληρωσάμενος τὴν ὥραν ἢ τὴν τύχην ὡροσκοπήσας, ἐὰν συμπαρῇ καὶ ὁ τοῦ Διὸς ἢ μαρτυρήσῃ τετράγωνος, ὁ γεννώμενος εὐτυχὴς ἔσται. ἐὰν δὲ καὶ ὁ τοῦ Ἑρμοῦ συμπαρῇ αὐτῷ, διὰ λόγων προκόψει· ἐὰν δὲ καὶ ὁ τοῦ Ἄρεως συμπαρῇ ἢ τετραγωνίσῃ σὺν τῷ τοῦ Διός, μέγας ἔσται καὶ κυριεύσει ζωῆς καὶ θανάτου. εἰ δὲ τούτων οὕτως ἐχόντων Κρόνος τετραγωνίσῃ ἢ διαμετρήσῃ, ἐν συμπτώμασι καὶ ζημίαις περιπεσοῦνται. Σελήνη κληρωσαμένη τὴν ὥραν ἢ τὸν κλῆρον τῆς τύχης μεγάλους ποιεῖ, μάλιστα δὲ ἐν ἰδίῳ τριγώνῳ· ἐὰν δὲ καὶ ὁ τῆς Ἀφροδίτης συνῇ ἢ τετράγωνος τύχῃ, τιμῆς μεγάλης καταξιωθήσεται· ἐὰν δὲ καὶ ὁ τοῦ Ἄρεως σὺν τῇ Σελήνῃ τύχῃ, ζωῆς καὶ θανάτου κυριεύσει· ἐὰν δὲ ὁ τοῦ Κρόνου, πολλῶν χωρῶν ἡγήσεται· ἐὰν δὲ καὶ ὁ τοῦ Διὸς συμπαρῇ ἢ τετραγωνίσῃ, βασιλεῖς μεγάλοι ἔσονται· εἰ δὲ τούτων ἀπόντων ὁ τοῦ Ἑρμοῦ σὺν Σελήνῃ σχηματισθῇ, ἀπὸ λόγων καὶ ἐντρεχείας αἱ προκοπαὶ ἔσονται· ἐὰν δὲ καὶ ὁ τοῦ Ἄρεως συμπροσγένηται ἢ τετραγωνίσῃ, τυράννους μεγιστᾶνας ποιεῖ· ἐὰν δὲ διαμετρήσῃ ὁ Ἄρης τὴν Σελήνην ἐκτὸς τῶν ἀγαθοποιῶν, ἐκθέσιμα ποιεῖ· ἐὰν δὲ τῷ Ἄρει ἀγαθοποιὸς συμπαρῇ, ἐκτεθέντα τραφήσεται. τὸ δὲ ὅμοιον κἂν τετράγωνος φανῇ ἢ καὶ καθυπερτερῶν εὑρεθῇ, ἐν πλάναις ἢ ἀπαγωγαῖς ἢ καὶ ἀνωμαλίαις περιβάλλει· ἐὰν δὲ ὁ τῆς Ἀφροδίτης τετραγωνίσῃ κατὰ κέντρον, ἀδικοῦνται ὑπὸ γυναικῶν. ἐὰν δὲ Κρόνος συμπαρῇ ἐν ἀσελγεῖ ζῳδίῳ, καὶ πορνοβοσκήσουσιν· ἐὰν δὲ καὶ ὁ τοῦ Ἄρεως αὐτοῖς συμμαρτυρήσῃ, ἑτέροις τὰς γυναῖκας αὐτῶν μισθώσουσιν. ἐὰν δὲ ὁ τοῦ Κρόνου τὴν Σελήνην τετραγωνίσῃ ἢ διαμετρήσῃ κατ’ ἰσόγραμμον στάσιν τῷ τοῦ Κρόνου, ἀντίληψιν ἕξει τὸ γεννώμενον τῆς τροφῆς 〈καὶ〉 ἔκβλητον τῶν γονέων ἔσται. ἐὰν δὲ ὁ τοῦ Ἑρμοῦ τετράγωνος ἢ διάμετρος γένηται τῇ Σελήνῃ, ἐναντιόβουλοι καὶ ἐναντιογνώμονες γίνονται ἔν τε διαβολαῖς καὶ κατηγορίαις ἀπὸ ὑπερέχοντος γενήσονται. ἐὰν δὲ καὶ κακοποιὸς συμμαρτυρήσῃ ἢ συσχηματισθῇ, ἐν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀσχημοσύναις καὶ κατακρίσεσι ποιήσει. ὁ δὲ τοῦ Διὸς ἀντικείμενος κατὰ μέρος τῇ Σελήνῃ στέρησιν τέκνων ποιεῖ καὶ ἐναντιώσεις ὑπερεχόντων.

62 καθόλου δὲ οἱ κακοποιοὶ ἐφορῶντες τὰ φῶτα καὶ τὸν ὡροσκόπον χωρὶς ἀγαθοποιῶν ὀλιγοχρονίους ποιοῦσιν. ὁ κύριος τοῦ ὡροσκόπου ἐπιτόπως κείμενος ἢ ἰδίας αἱρέσεως μεριστὴς χρόνων ζωῆς γίνεται· εἰ δέ πως συσχηματίζηται τῷ δεσπότῃ τοῦ κλήρου, πολύγηρος γίνεται καὶ εὐτυχής· εἰ δὲ ὑπὸ δύσιν τύχῃ, ὀλιγοχρόνιος· εἰ δὲ κακοποιὸς συμπαρῇ ἢ καθυπερτερήσῃ τὴν Σελήνην, ἄχρηστα τὰ βρέφη ἔσονται. 〈ε′.〉 Κακοδαίμονος τόπος · πολλὰ σχήματ α . Ἐν τούτῳ τῷ τόπῳ ἐὰν οἱ κακοποιοὶ τύχωσι, μεγάλα σίνη καὶ πτώσεις ἀπεργάζονται, μάλιστα δὲ ἐὰν ἰδιοπροσωπῶσιν· ἐὰν δὲ ὁ κλῆρος τῆς τύχης ἐπῇ καὶ κυριεύσῃ τις αὐτοῦ, οὐδέποτε οὐδὲ ἐν ταῖς παρόδοις ὠφέλειά τις ἔσται· ἐχθροὶ γὰρ ἐγένοντο ἐξ ἀρχῆς ἐκ τῆς ἐκτροπῆς· ὁμοίως καὶ οἱ ἀγαθοποιοὶ ἐν τούτῳ τῷ τόπῳ οὐ μερίζουσι τὰ ἑαυτῶν ἀγαθά. ὅταν δὲ ἐν τούτῳ τῷ ζῳδίῳ πέσωσιν οἱ τρεῖς ἀστέρες, ὁ κύριος τοῦ ὡροσκόπου καὶ τοῦ κλήρου καὶ τοῦ δαίμονος, ἀτυχεῖς καὶ ἀσχήμονας ποιοῦσι καὶ ἐνδεεῖς τῆς ἐφημέρου τροφῆς· πολλοὶ δὲ καὶ τὰς χεῖρας ὑφέξουσιν. 〈ϛ′.〉 Ἀγαθοῦ δαίμονος τόπος · πολλὰ σχήματ α . ζητητέον καὶ περὶ ἀκουόντων καὶ βλεπόντων ζῳδίω ν . Ἐὰν ἐπὶ τοῦ ἀγαθοδαιμονοῦντος ζῳδίου ὦσιν οἱ ἀγαθοποιοὶ ἐπιτόπως κείμενοι ἢ ἐν ἰδίοις προσώποις, ἐπιφανεῖς καὶ πλουσίους ἐκ νεότητος ποιοῦσι· πλείω δὲ καὶ τὸν κλῆρον τῆς τύχης ἐπιθεωρήσαντες ἐν τριγώνῳ μέρει καὶ τὸν ὡροσκόπον καθ’ ἑξάγωνον· ἐν τῷ ἀκούοντι ἢ βλέποντι ζῳδίῳ πλεῖστα καὶ μείζονα ἀγαθὰ παρέχονται. εἰ δὲ καί τις τῶν ἀγαθοποιῶν διάμετρος τῷ ἀγαθῷ δαίμονι φανῇ παρόντος τοῦ οἰκοδεσπότου, μεγάλα καὶ μείζονα ἀγαθὰ καὶ προκοπὰς ἀποτελοῦσιν· εἰ δὲ κακοποιοὶ συμπαρῶσι τῷ ἀγαθῷ δαίμονι, οὐκ ἰσχύουσι κακόν τι δρᾶσαι.

63 ἀναγκαιότερον δέ ἐστιν, ἐὰν ὁ οἰκοδεσπότης τοῦ κλήρου καὶ τοῦ ὡροσκόπου καὶ τοῦ δαίμονος ἐπ’ ἀνατολῆς τύχωσιν ἢ πλείστων ἀστέρων αὐτοῖς ἐπιπαρόντων ἢ μαρτυρούντων ἐν χρηματιστικοῖς ζῳδίοις· ἐνδόξους γὰρ καὶ πλουσίους ὑπεράγαν ἀποτελοῦσιν. Ἐν τούτῳ τῷ τόπῳ καὶ οἱ ἀγαθοποιοὶ καὶ οἱ κακοποιοὶ χαίρουσι μάλιστα κληρωσάμενοι τὸν κλῆρον ἢ τὸν ὡροσκόπον ἢ τὸν δαίμονα· καὶ ἐὰν πέσῃ ἐν τούτῳ ἑκάτερος τῶν ἀστέρων ἀνατολικὸς ὢν ἢ καὶ τὴν συναφὴν τῆς Σελήνης ἔχων, τύραννοι ἢ βασιλεῖς γίνονται ἡγούμενοι χωρῶν καὶ εἰς πολλοὺς τόπους ὀνομασθήσονται. ὁ κύριος τοῦ τόπου τούτου καλῶς κείμενος πρακτικοὺς ποιεῖ, ἀτόπως δὲ κείμενος ἀπράκτους· εἰ δὲ ἐπὶ δύσεως τυγχάνει καὶ κακοποιὸς ἐπὶ τοῦ τόπου συμπαρῇ ἢ διαμετρῇ, κακοπράγμονας ἢ στειρώδεις ἢ ἀτέκνους ποιεῖ. 〈ζ′.〉 Θεοῦ Ἡλίου τόπος τὸ προμεσουράνημ α , θ′ ἀπὸ ὡροσκόπου · πολλὰ ἔχει σχήματ α . Ἐὰν οἱ ἀγαθοποιοὶ τύχωσιν ἐπὶ τοῦδε τοῦ τόπου καὶ κληρώσωνται τὸν ὡροσκόπον ἢ τὴν τύχην, ὁ γεννώμενος ἔσται μακάριος εὐσεβής, προφήτης μεγάλου θεοῦ καὶ ἐπακουσθήσεται ὡς θεός. ἀπόντων δὲ τούτων, μόνου δὲ Ἑρμοῦ μαρτυροῦντος, ἐν χρηματισμοῖς γίνονται καὶ τὴν αὐτῶν ἐμπειρίαν ὄχλοις ἐξηγοῦνται καὶ βασιλικοὶ γραμματεῖς γίνονται ἀπὸ μέσης ἡλικίας· τῶν δὲ κακοποιῶν παρόντων καὶ κυριευόντων τῶν προειρημένων τόπων ἢ ἐπιθεωρούντων τὸν κλῆρον ὁ γεννώμενος τοῦ τε ὡροσκόπου καὶ τῆς τύχης τύραννος ἔσται· κτίσει πόλεις, ἑτέρας δὲ διαρπάξει καὶ πολλῶν πολλὰ παραιρήσεται ἀσεβῶς. ἐὰν δὲ τύχῃ ὁ δαίμων ἢ ἡ τύχη ἐν τῷ κακοδαιμονοῦντι ζῳδίῳ, ἐν δὲ τούτῳ τῷ τόπῳ ὦσιν οἱ οἰκοδεσποτήσαντες τὸν κλῆρον ἢ τὸν ὡροσκόπον, ἐπὶ πλείστοις κακοῖς καὶ ξενιτείαις ἔσται καὶ ὅσα ἂν κτήσηται ἀποβαλεῖ· ἢ ἐγκάτοχοι ἐν ἱεροῖς γίνονται παθῶν ἢ ἡδονῶν ἕνεκα. 〈η′.

64 〉 Ὄγδοος τόπος θανάτου · παντοῖαι θεωρία ι . Οἱ ἀγαθοποιοὶ παρόντες τούτῳ τῷ τόπῳ ἄπρακτοι καὶ ἀσθενεῖς καὶ ἀμέριστοι τῶν ἰδίων ἀγαθῶν· εἰ δὲ καὶ τοῦ ὡροσκόπου καὶ τοῦ κλήρου κυριεύσωσι, πολλῷ μᾶλλον ἀπρακτότεροι ἢ καὶ ἀνώμαλοι τυγχάνουσιν· ἐὰν δὲ οἱ κακοποιοὶ συμπαρῶσιν κυριεύσαντες τὸν κλῆρον, οἱ γεννώμενοι πλάνητες καὶ εἴ τι ἂν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κτήσωνται ἀποβαλοῦσιν. ἐὰν δὲ ὁ κλῆρος ἐν τούτῳ ἐμπέσῃ παρόντων τῶν κακοποιῶν καὶ οἰκοδεσποτούντων τὸν κλῆρον, ὁ γεννώμενος ἐνδεὴς μὴ δυνάμενος ἑαυτὸν ἀμφιάσαι. εἰ δὲ καὶ τοῦ ὡροσκόπου κυριεύσωσιν, ἀσχημονήσει δι' ὅλης τῆς ζωῆς· εἰ δὲ καὶ ὑπὸ τὰς αὐγὰς τύχῃ τοῦ Ἡλίου ὁ οἰκοδεσπότης τοῦ κλήρου ἢ τῆς ὥρας, ὁ γεννώμενος τὰς χεῖρας ὑφέξει καὶ προσαιτήσει. εἰ δὲ ὁ τοῦ Ἑρμοῦ μόνος ἐπιπαρῇ τῷ ζῳδίῳ καὶ κυριεύσῃ τῆς φρονήσεως, ὃς καλεῖται δαίμων, μωροὺς καὶ ἀνοήτους καὶ τῷ λόγῳ ἐμποδιζομένους καὶ ἀγραμμάτους ποιεῖ· ἐὰν δὲ ὁ τῆς τύχης, σὺν τῷ ἀνοήτῳ καὶ ἄφρων καὶ πένης ἔσται, μάλιστα ὑπὸ τὰς αὐγὰς τοῦ Ἡλίου τυχών. εἰ δὲ τούτων οὕτως ἐχόντων οἱ κακοποιοὶ συμπαρῶσιν, ἄφωνος καὶ κωφὸς ἔσται. μόνη δὲ ἡ Σελήνη ἐν προσθέσει τοῦ φωτὸς δοκεῖ χαίρειν ἐν τούτῳ τῷ ζῳδίῳ· ἐὰν δὲ ὁ τοῦ Διὸς ἀγαθοδαιμονῇ, εὐτυχὴς καὶ εὐπόριστος καὶ πολύτεκνος ἔσται· εἰ δὲ καὶ κύριος ᾖ τοῦ κλήρου τῆς τύχης, πλούσιος καὶ εὐδαίμων· ἐὰν δὲ καὶ ὁ τοῦ Ἑρμοῦ συμπαραγένηται αὐτῷ, καὶ διοικηταὶ βασιλέων καὶ εὐφρανθήσονται ἐπὶ τέκνοις. 〈θʹ.〉 Δεύτερος τόπο ς . Οἱ ἀγαθοποιοὶ ἐπιπαρόντες καὶ οἰκοδεσποτοῦντες τὸν ὡροσκόπον ἢ τὸν κλῆρον ἀγαθὰ σημαίνουσι τοῖς γεννωμένοις, οἷον κληρονομίας καὶ ἄλλων ὑπαρχόντων αἰφνιδίους κτήσεις καὶ ἐκ θανάτου σημαίνουσι τὸ ἀγαθόν· εἰ δὲ ἐν ἀλλοτρίοις τόποις εἶεν, ἧττον εὐποροῦσιν, οὐκ ἀποροῦσι μέντοι.

65 εἰ δὲ Ἑρμῆς ἐπιπαρῇ μόνος ἰδιοπροσωπῶν, ἐν τῷ γήρει κέρδη ἕξει καὶ πιστευθήσεται πόλεις καὶ βασιλέων πράγματα· εἰ δὲ κακοποιοὶ παρῶσιν ἐν τούτῳ τῷ τόπῳ καὶ κυριεύσωσι τοῦ κλήρου ἢ τοῦ ὡροσκόπου ἰδιοπροσωποῦντες, ἀνωμαλήσει τῷ βίῳ, μάλιστα ἐπὶ τὸ γῆρας, οὐκ ἀπορήσει μέντοι· ἐξ ὀνειδισμῶν γὰρ καὶ κακῶν τὰ ποριζόμενα ἀναλώσουσιν. εἰ δὲ καὶ ἀλλοιοπροσωποῦντες καὶ παρ' αἵρεσιν ὄντες οἰκοδεσποτῶσιν τῶν κλήρων, ὁ γεννώμενος κακῶς τὸ γῆρας διάξει, ἔνιοι δὲ καὶ ἐν φυλακαῖς γίνονται χρόνον καὶ ἐν ἀρρωστίαις καὶ νόσοις. ἐὰν δὲ ὁ τοῦ Διὸς ἐπιθεωρήσῃ, ἐν ἱεροῖς ἕνεκεν ἀρρωστίας γίνονται, ἐνοχλοῦνται δὲ καὶ αἱμορροΐσι καὶ περὶ αἰδοίων ἢ δακτύλων πάθος ἰσχάνουσιν. εἰ δὲ ὁ τοῦ Ἑρμοῦ σὺν τῷ τοῦ Ἄρεως ἐπὶ τὸ δυτικὸν τύχῃ ζῴδιον, λῃστὰς καὶ φόνου συνίστορας· διὸ κακῷ θανάτῳ ἀπολοῦνται ὕστερον. οἱ κακοποιοὶ δύνοντες ἐν ἀλλοτρίῳ ζῳδίῳ βιαιοθανάτους ποιοῦσιν, οἱ δὲ ἀγαθοποιοὶ πολυπείρους καὶ ἐπὶ τὸ γῆρας εὐτυχεῖς. 〈ιʹ.〉 Ἕκτος τόπος Ἄρεω ς . Οἱ ἀγαθοποιοὶ ἐν τούτῳ τῷ τόπῳ ἐὰν τύχωσιν ἐπιπαρόντες, ὁ γεννώμενος ὅσα ἂν κτήσηται ἀπολεῖ καὶ ἡ οὐσία οὐ παραμενεῖ αὐτῷ· ζημίαις ἐλαττωθήσεται ἐπὶ τὸ γῆρας προβαίνων τῇ ἡλικίᾳ. ὁ δὲ Ἥλιος ἐπιπαρὼν τῷ τόπῳ τούτῳ καὶ κυριεύων τοῦ κλήρου τῆς τύχης ἢ τῆς ὥρας ποιεῖ τὸν γεννώμενον καταδικασθῆναι ὑπὸ μεγάλης ἐξουσίας. ἐὰν δὲ ὁ τοῦ Ἑρμοῦ, πλανήτης ἔσται καὶ προσκοπτικὸς καὶ φεύξεται τὴν ἰδίαν πατρίδα μόγις τὸ ζῆν πορίζων. ἐὰν δὲ ὁ τοῦ Διὸς κυριεύσῃ τοῦ κλήρου ἢ τοῦ ὡροσκόπου, ἐν δημοσίοις πράγμασιν ἀπολέσει τὸν βίον· ἐὰν δὲ ὁ τῆς Ἀφροδίτης, διὰ γυναῖκα κρίσεις ζημίας δώσουσι· γίνονται δὲ καὶ ἀνεπαφρόδιτοι οὐκ ἔχοντες χάριν. ἐὰν δὲ ὁ τοῦ Ἄρεως, σίνη καὶ πάθη κατὰ τὸ μέλος ἀποτελεῖ τοῦ ζῳδίου, ποιεῖ δὲ καὶ γυμνῆτας ἐπαίτας κακῶς τὸν βίον καταστρέφοντας.

66 ὁ δὲ τοῦ Ἑρμοῦ κυριεύσας τοῦ κλήρου ἢ τῆς ὥρας ποιεῖ κακοβούλους κλέπτας κακολόγους καὶ ἐν ὄχλοις κακολογουμένους· ἐὰν δὲ καὶ Σελήνη ἐπιπαρῇ, δοῦλος ἔσται καὶ ἀδύνατος, ἐάνπερ 〈μὴ〉 καὶ τὰ λοιπὰ συμπαρῇ τῇ Σελήνῃ· δύνανται γὰρ τῶν ἄλλων ἀστέρων καλῶς ἐχόντων τῆς Σελήνης κακοτυχούσης ἐλεύθεροι καὶ εὐσχήμονες γενέσθαι. 〈ιαʹ.〉 Πέμπτος τόπος · πολλαὶ θεωρία ι . Ἐὰν ἀγαθοποιοὶ τύχωσι τὸν κλῆρον ἢ τὴν ὥραν λαχόντες, ὁ γεννώμενος μέγας ἔσται καὶ ὄχλων ἡγήσεται καὶ νόμους θήσεται. Ἀφροδίτη τὰ μέγιστα χαρίζεται κυριεύουσα τοῦ ὡροσκόπου ἢ τοῦ κλήρου, μάλιστα ἰδιοπροσωποῦσα ἢ ἰδίῳ τόπῳ οὖσα εὐκτήμονας ἐντίμους ἀποτελεῖ. τὸ αὐτὸ καὶ ἐπὶ πάντων τῶν ἀστέρων· ἐὰν γὰρ κρατῶσιν τῆς ὥρας ἢ τῆς τύχης, ποιήσουσι τὰ ἀγαθὰ κατὰ τὸ ἐπιβάλλον τῇ ἰδίᾳ φύσει καὶ τὸ τῆς ἀγαθῆς τύχης ἴδιον. ἐὰν δὲ ὁ τοῦ Ἄρεως τύχῃ καθὸ πρόκειται, ἄρξουσι παντοδαπῶν τόπων· γίνονται

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γὰρ ἢ στρατηγοὶ ἢ τύραννοι [μάλιστα ἰδιοπροσωποῦσα ἢ ἰδίων τόπων] καὶ ζωῆς καὶ θανάτου κυριεύσουσιν οὐ μόνον ἐλαχίστων ἀλλὰ καὶ ἀξιολόγων ἀνθρώπων· ἐὰν δὲ ὁ τοῦ Κρόνου ἐπιπαρῇ τῷ τόπῳ, πολυκτήμονας ἐγγαίων καὶ τετραπόδων δεσπότας, κτίζοντας κώμας καὶ τόπους. εἰ δὲ ὁ Ἥλιος ἐπιπαρῇ, μεγιστάνων φίλους, ἐγγὺς βασιλέων, ἱερῶν ἄρχοντας· εἰ δὲ ὁ τοῦ Ἑρμοῦ, τὰς διὰ λόγων προκοπὰς καὶ χρημάτων πλείστων καταξιουμένους. εἰ δὲ ἡ Σελήνη καλῶς σχηματιζομένη κληρώσηται τὸν κλῆρον ἢ τὸν ὡροσκόπον ἐπὶ τοῦ ζῳδίου τυχοῦσα σὺν τῷ οἰκοδεσπότῃ αὐτῆς, πολυχρόνιοι γίνονται καὶ συγγηράσκουσιν ἐν εὐδαιμονίᾳ. οἱ οὖν ἀγαθοποιοὶ ἐπὶ παρόδων μεγάλα ὠφελοῦσιν, οἱ δὲ κακοποιοὶ οὐκ ἰσχύουσι βλάπτειν. 〈ιβʹ.

67 〉 Τέταρτον ὑπόγειο ν . Ἐὰν οἱ ἀγαθοποιοὶ κυριεύσωσι τοῦ ὡροσκόπου ἢ τῆς τύχης 〈ἢ〉 καὶ παρῶσιν, ἐν ἱεροῖς τὸν βίον ἕξουσιν· ἐὰν δὲ καὶ τὸν ἀρχέτυπον κλῆρον κληρώσωνται οἰκοδεσποτοῦντες ὄντες ἐν τῷ ὑπὸ γῆν, ὑπὸ δαιμονίων καὶ φαντασίας εἰδώλων χρηματισθήσονται. ἐὰν δὲ ὁ τοῦ Ἄρεως συμπαρῇ τούτοις κληρωσάμενος τὴν τύχην ἢ τὸν ὡροσκόπον, διὰ κακῶν ἕξει τὸν βίον ἀσχημονῶν καὶ εἰς περίστασιν περιπεσεῖται σὺν ἑτέροις κακουργήσας καὶ βιαιοθανατήσει. παρατηρητέον 〈ὅτι〉 ὁ τόπος οὗτος μετὰ θάνατον εὐφημίας ποιεῖ καὶ καταλείψεις ἰδίοις· ἐν τούτῳ κακοποιοὶ τυχόντες τῷ τόπῳ οἷς ἂν θέλωσι τὰ αὐτῶν καταλείπουσιν. 〈ιγʹ.〉 Τρίτος τόπος θεᾶς Σελήνη ς . Ἐν τούτῳ τῷ ζῳδίῳ ἐὰν τύχῃ ἡ Σελήνη κληρωσαμένη τὸν ὡροσκόπον ἢ τὸν κλῆρον ἰδιοπροσωποῦσα, ὁ γεννώμενος μέγας ἔσται καὶ πολλῶν ἀγαθῶν κυριεύσει· ἄρξει πόλεως καὶ πολλοῖς ἐπιτάξει καὶ ἐπακουσθήσεται καὶ θησαυρῶν κυριεύσει. εἰ δὲ συμπαρείη ταύτῃ ὁ Ἥλιος καὶ εἴη πεποιημένη τὴν ἀνατολήν, ἱερεὺς θεᾶς μεγίστης ἢ ἱέρεια καὶ ἕξει βίον ἀκαθυστέρητον. ἐὰν δὲ ὁ τοῦ Κρόνου συμπαρῇ τῇ Σελήνῃ, θεοχόλωτος ζημιωτικὸς πολλάκις ἐπὶ κριτὰς ἐρχόμενος καὶ πολλὰ βλασφημήσει θεοὺς ἕνεκεν τῶν συμβαινόντων αὐτῷ πραγμάτων. ἐὰν δὲ ὁ τοῦ Διὸς συμπαρῇ αὐτῇ, ἔσται προφήτης εὐτυχὴς πλούσιος ἔνδοξος, πολλῶν ἀγαθῶν κυριεύσει. ἐὰν δὲ ὁ τοῦ Ἄρεως συμπαρῇ τῇ Σελήνῃ, πρακτικὸς μὲν ἀλλὰ ἀσεβής, καὶ παραθήκας ἀποστερήσει, ὅθεν ἀπ' ἀλλοτρίων ἢ φόνων ἢ λῃστῶν τὸν βίον συνάξει, ξενιτεύσει δὲ πολλά. εἰ δὲ οἰκείως τύχῃ ἐν ἰδίοις προσώποις, ἀκολούθως τῇ διαιρέσει τῆς γενέσεως στρατηγὸς ἔσται χωρῶν καὶ πόλεων, ἄδικος ἐπίορκος ἀλλοτρίων ἐπιθυμητής, καὶ αἰφνιδίως ἀπολεῖται χόλῳ ἐξουσίας. ἐὰν δὲ Ἀφροδίτη ἐν ἰδίοις τόποις ἐπικρατήσῃ τοῦ τῆς θεᾶς τόπου καὶ τοῦ κλήρου τῆς τύχης ἐπὶ νυκτερινῆς γενέσεως μάλιστα, ἔσται ὁ γεννώμενος πλούσιος καὶ ὑπὸ γυναικὸς εὐνοηθήσεται· τινὲς δὲ βασιλικοὶ ἄρχοντες πόλεων διοικηταὶ διὰ τὸ τὴν θεὰν ἐν τῷ τῆς θεᾶς οἴκῳ συγκεκληρῶσθαι τὴν τύχην.

68 ἐὰν δὲ ὁ τοῦ Ἑρμοῦ συμπαρῇ τῇ Σελήνῃ ἐν τῷ τῆς θεᾶς ζῳδίῳ καὶ τοῦ κλήρου τῆς τύχης κυριεύσῃ ἢ τοῦ ὡροσκόπου, ὁ γεννώμενος ἐρεῖ τὰ μέλλοντα πᾶσι καὶ μυστηρίων θεῶν μεθέξει. 〈ιδʹ.〉 Δεύτερος τόπος καλεῖται Ἅιδου πύλ η . Τὸ δὲ ἐπαναφερόμενον τοῦ ὡροσκόπου, ἐν τούτῳ τῷ ζῳδίῳ οἱ ἀγαθοποιοὶ οὐδὲν ὠφελήσουσιν, οἱ δὲ κακοποιοὶ ἀποτελοῦσι νωχελεῖς ἐπισινεῖς μὴ δυναμένους διανήχεσθαι τὸν βίον μέχρι τέλους. ἐὰν δὲ ὁ κλῆρος ἐπὶ τοῦ ζῳδίου ὑπάρξῃ τῶν κακοποιῶν οἰκοδεσποτούντων τὸν κλῆρον ἢ τὸν ὡροσκόπον, νεκροφύλακες γίνονται ἔξω πύλης τὸν βίον διάγοντες. ὁ μὲν οὖν τοῦ Κρόνου κυριεύων τοῦ κλήρου τῆς τύχης τῷ τόπῳ τούτῳ ἐπιπαρὼν ποιεῖ νεκροψύχους ἀρρωστηματικοὺς καὶ δεσμῶν πεῖραν ἐπὶ χρόνον ἱκανὸν λαμβάνοντας, ἕως συμπληρώσωσι τοὺς χρόνους τοῦ ἀστέρος. ὁ δὲ τοῦ Διὸς ἐπιπαρὼν τῷ τόπῳ ἀνάλωσιν ἐκ τῶν ὑπαρχόντων μέχρι τέλους, ὥστε μηδὲν αὐτῷ καταλειφθῆναι· τέκνων μέντοι δόσιν, ἀλλ' οὐκ εὐτυχῶς· ὁ δὲ τοῦ Ἄρεως παρὼν τῷ τόπῳ ἐὰν οἰκοδεσποτήσῃ τὸν κλῆρον ἢ τὸν ὡροσκόπον, προσκοπτικοὺς ζημιωτικοὺς ἐμποδιζομένους. τινὲς δὲ καὶ αἰχμάλωτοι γίνονται καὶ πάλιν ἀποκαθίστανται. ἐὰν δὲ τὸν κλῆρον τῆς τύχης ἐν αὐτῷ τῷ ζῳδίῳ παρόντα κληρώσηται ὑπάρχων ἐν ἰδίαις μοίραις ἢ ζῳδίοις, δεσμοφύλακες γίνονται εἰς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κάρκαρον τὸν βίον πορίζοντες ἢ ἐν δεσμωτηρίοις διαζῶντες. ἐὰν δὲ ὁ Ἥλιος ἐπιπαρῇ τῷ ζῳδίῳ, ἐὰν μὲν οἰκοδεσποτῶν τὸν κλῆρον ἢ τὸν ὡροσκόπον ἰδίῳ οἴκῳ ἢ Κρόνου τόποις, ὁ γεννώμενος ἀπολεῖ τὴν ὅρασιν ἐν τοῖς τοῦ Ἄρεως χρόνοις καὶ στερηθήσεται τῶν πατρικῶν καὶ ἐπαιτήσει. ἐὰν δὲ ὁ τῆς Ἀφροδίτης ἐπιπαρῇ τῷ ζῳδίῳ καὶ οἰκοδεσποτήσῃ τὸν κλῆρον ἢ τὸν ὡροσκόπον, δημοσίας καὶ ἐπονειδίστους ἐργασίας ἀποτελέσει, ἐάνπερ ἐπ' ἀνατολῆς ἑῴας τύχῃ· εἰ δὲ ὁ τοῦ Ἑρμοῦ ἐπιπαρῇ τῷ ζῳδίῳ, ἐὰν μὲν ὑπὸ τὰς αὐγὰς τοῦ Ἡλίου τύχῃ, ἀνοήτους καὶ ἀγραμμάτους ἀποτελεῖ· ἐὰν δὲ καὶ κύριος τῆς δευτέρας τύχης γένηται, ὃ προσαγορεύεται δαίμων, κωφοὺς ἢ ἀφώνους ποιεῖ· ἐὰν δὲ ἀνατολικὸς ᾖ, περίεργοι γίνονται ἃ οὐκ ἔμαθον ἐπιχειροῦντες, ἐπιτευκτικοὶ δὲ ἐν τοῖς μαθήμασιν.

69 εἰ δὲ ἡ Σελήνη παρῇ ἐπὶ τοῦ ζῳδίου Κρόνου ὡροσκοποῦντος, τὸ ἐναλλὰξ γίνεται· ὑποχυθήσονται τὴν ὅρασιν ἢ ἀπογλαυκωθήσονται τοὺς ὀφθαλμούς. 〈ιε'.〉 Τόπων ὀνομασίαι ἐννέ α . Ὁ μὲν θεὸς σημαίνει περὶ πατρός, ἡ δὲ θεὰ περὶ μητρός, ἀγαθὸς δαίμων περὶ τέκνων, ἀγαθὴ τύχη περὶ γάμου, κακὸς δαίμων περὶ παθῶν, κακὴ τύχη περὶ σινῶν, κλῆρος τύχης καὶ ὡροσκόπος περὶ ζωῆς καὶ βίου, ὁ δαίμων περὶ φρονήσεως, μεσουράνημα περὶ πράξεως, ἔρως περὶ ἐπιθυμίας, ἀνάγκη περὶ ἐχθρῶν. 〈ις'.〉 Τριγωνικαὶ ἀστέρων διακρίσεις πρὸς εὐδαιμονίαν ἢ δυστυχίαν · τριγωνικὰ καὶ ἑξαγωνικὰ καὶ διαμετρικὰ σχήματ α . Ζεὺς Ἡλίῳ τρίγωνος μεγάλους καὶ ἐπιδόξους σημαίνει. εἰ δὲ ὡροσκοπεῖ ὁ Ἥλιος, καὶ τῷ πατρὶ καὶ τῇ γενέσει· εἰ δὲ ἐπίκεντρος ᾖ, τῷ πατρί· ἔνδοξον γὰρ σημαίνει, ἔλαττον δὲ παρὰ τὸ πρότερον· πρὸς δὲ τὴν γένεσιν οὐδὲν ἀξιόλογον, εἰ μὴ ἄλλη τις αἰτία διορθώσῃ· εἰ δὲ ὁ Κρόνος ἐκ τοῦ εὐωνύμου τρίγωνος Ἡλίῳ ὡροσκοποῦντι γίνεται, πολὺ μείζονα τὰ τῆς δόξης· πολυκτήμονες γὰρ καὶ πολυγέωργοι καὶ πλούσιοι γίνονται. ἐὰν δὲ ὁ τοῦ Ἄρεως συμπροσγένηται τῷ τοῦ Διός, καὶ τυράννους δηλοῖ τὸ σχῆμα· μάλιστα τοῦ Ἡλίου ὡροσκοποῦντος πολλῶν χωρῶν καὶ στρατοπέδων ἐπικρατοῦσιν. ἐὰν δὲ ὁ τοῦ Κρόνου, μέγας μὲν ὁ πατὴρ καὶ ὅπλων καὶ στρατοπέδων ἄρχων, ἐάνπερ καὶ τὰ λοιπὰ συνεργῇ πρὸς τὸ μεγαλεῖον, οὐ μέντοι τύραννος οὐδὲ πολεμικὸς καὶ ἐπίφοβος.

70 εἰ δὲ Ἄρης τὸν Ἥλιον διαμετρήσῃ τοῦ Διὸς καὶ τοῦ Κρόνου δεξιῶν τῷ Ἡλίῳ τριγώνων ὄντων, ὁ γεννώμενος ἐν [ταῖς] μεγαλειότησι καὶ δόξαις ὄχλων γενήσεται. εἰ δὲ ὁ τοῦ Κρόνου διαμετρήσῃ τὸν Ἥλιον καθὰ προείρηται, ὑπὸ ἰδίων καὶ φίλων ἐναντιωθήσεται, ἀλλὰ περικρατήσει καὶ ὑποτάξει. εἰ δὲ ὁ τοῦ Κρόνου καὶ ὁ τοῦ Ἄρεως τρίγωνοι γένωνται τῷ Ἡλίῳ τοῦ Διὸς διαμετροῦντος ἐν ἰδίαις μοίραις. ἢ ζῳδίοις, ἀρχοντικὸν καὶ εὐσχήμονα ποιεῖ. εἰ δὲ ἐπὶ ἑξαγώνου τύχῃ τὸ τοιοῦτον σχῆμα, ἐλάττονά ἐστιν. Ἀφροδίτη Ἡλίῳ ἑξάγωνος ἑῴα οὖσα ἐπαφρόδιτον καὶ ἐπίσημον τὸν πατέρα καὶ τὸν γεννώμενον σημαίνει· εἰ δὲ ἐπ' ἀγαθοῦ δαίμονος ἢ ἐπ' ἀγαθῆς τύχης τὸ σχῆμα γένηται, ὑπὸ γυναικὸς πορφύρας καὶ χρυσοφορίας καταξιωθήσεται. Κρόνος Ἡλίῳ τετράγωνος εὐώνυμος τὸν πατρικὸν βίον βλάπτει ἔτι ζῶντος τοῦ πατρός, μάλιστα ἐν θηλυκοῖς ζῳδίοις ἢ ἐναντίαις μοίραις. εἰ δὲ διάμετρος, πολὺ χείρων· σίνεσι καὶ πάθεσι περιβάλλει καὶ ὑπὸ οἰκείων καὶ παρασίτων προδοθήσεται. εἰ δὲ δεξιός, ἐλάττονα γίνεται· εἰ δὲ ἐν τῷ ὡροσκόπῳ ἢ τῷ μεσουρανήματι γένοιτο, τὰ ἐναντιώματα ἥττονα ἔσται. Ἄρης Ἡλίῳ τετράγωνος, κακὸν τῷ πατρὶ καὶ τῷ γεννηθέντι· σίνη γὰρ καὶ πάθη ἀποτελεῖ· ἐὰν δὲ διάμετρος ἢ ἐν κεκακωμένοις ᾖ μοίραις, καὶ περὶ τὰ ἄρθρα τὰ σίνη ἀποτελεῖ. ἐὰν δὲ ἐπὶ τοῦ δεξιοῦ τετραγώνου, ὅ ἐστι δέκατον, ὁ Ἄρης ᾖ, χεῖρον γενήσεται· πρὸς γὰρ καὶ ταῖς διανοίαις ἐκστήσονται. Ζεὺς Ἡλίῳ τετράγωνος ἐν ταῖς ἀδόξοις μοίραις ἢ ζῳδίοις ἀηδὴς καθέστηκε· καθαιρεῖται γὰρ τὸ ἀγαθὸν τοῦ ἀστέρος καὶ εἰς τὸ ἐναντίον ἐκπίπτει. ἐπὶ δὲ τῶν ἐνδόξων ζῳδίων ἢ μοιρῶν μάλιστα ἐπίκεντρος ἔνδοξος περικτητικός. διάμετρος δὲ Ἡλίῳ τυχὼν ἀηδέστερος· οὐ μόνον γὰρ σβέννυται τὰ ὑπ' αὐτοῦ ἀγαθά, ἀλλ' ἐξ ὑπερεχόντων ὀργὰς καὶ ὄχλων ἐναντιώσεις ἕξουσιν. αἱ οὖν κατ' ἰσόμοιρον στάσεις τῶν τετραγώνων καὶ διαμέτρων

χαλεπαί. Ἄρης Ἡλίῳ τρίγωνος ἐπὶ νυκτερινῆς γενέσεως μάλιστα ἐν θηλυκοῖς ζῳδίοις δεξιὸς ὢν μεγάλους ἐπιδόξους σημαίνει ζωῆς καὶ θανάτου κυριεύοντας, ἐάνπερ καὶ τὰ λοιπὰ σχήματα τῇ γενέσει ὁμογνωμονήσῃ· πρὸς ἐπὶ τούτοις δὲ καὶ Ζεὺς δεξιῷ τριγώνῳ μεγάλους δυνάστας, πόλεων προστάτας καὶ ὄχλων ἡγουμένους ἀποτελεῖ.

71 ἐὰν δὲ θηλυκὴ ᾖ ἡ γένεσις καὶ Ἀφροδίτη συμπαρῇ, βασιλεύσει καὶ πολλῶν χωρῶν ἐπικρατήσει, γίνονται δὲ εὐεργετικαὶ ἀνυπότακτοι. εἰ δὲ καὶ ὁ μὲν ἰδιοτοπεῖ καὶ ὁ ἕτερος ἐν ἰδίῳ τριγώνῳ τύχῃ, καὶ θηλυκαῖς καὶ ἀρσενικαῖς γενέσεσιν οὐδὲν ἐναντία· γίνονται γὰρ βασιλεῖς βασιλέων, ἐάνπερ ὁ μὲν οἰκοδεσποτῇ ὁ δὲ συνοικοδεσποτῇ ἢ καὶ δεσπόζῃ τῆς γενέσεως τοῦ τε κλήρου τῆς τύχης ἢ τῆς ὥρας κυριεύσωσιν. εἰ δὲ ἐν ἀρρενικοῖς ζῳδίοις εἶεν, ἐλάττονα καὶ πολὺ χείρονα τὰ ἀποτελέσματα γενήσεται· ἑξάγωνοι δὲ ἀτονώτεροι πρὸς τὸ ἀγαθὸν καὶ πρὸς τὸ ἐναντίον. Εἰ δὲ τετράγωνος Ἄρης Σελήνῃ γένοιτο ἐπὶ τὸ εὐώνυμον μέρος ἐν ἀλλοτρίαις μοίραις ἢ ζῳδίοις 〈ἐφ'〉 ἡμερινῆς γενέσεως, πολλῶν ἐναντιωμάτων αἴτιος τῇ τε μητρὶ θλίψεις καὶ ταπεινώσεις ἀποτελεῖ καὶ ἐν ξενιτείαις ὑποτάσσονται, τινὲς δὲ ἢ στρατιωτικοὶ γίνονται ἐπίμοχθοι καὶ ἐφύβριστοι. ταῦτα δὲ γίνεται, ἐάνπερ μὴ καὶ τὰ λοιπὰ ἡ γένεσις ταπεινοῖ, τοῦ τοῦ ἀστέρος δεσπότου ἢ συνεργοῦ ἢ συναιρετιστοῦ ὑπάρχοντος ἐν τοῖς ἀσυνδέτοις τοῦ ὡροσκόπου. ἐὰν δὲ τὰ λοιπὰ συντύχῃ, αἰχμάλωτοι γίνονται καὶ δημοσίᾳ τελευτῶσιν. εἰ δὲ καὶ διάμετρος γένηται ἐπὶ τοῦ αὐτοῦ καταστήματος, εὐτονώτερα τὰ χαλεπὰ καὶ δυσέκλυτα· μᾶλλον δὲ εἰ καὶ δεξιὸς τετράγωνος φανείη, αἰφνιδίως πάντα ἀπολλύουσι. πολλὴ δὲ διαφορὰ τετραγώνου καὶ διαμέτρου. ἐὰν γὰρ Ἄρης Κριῷ γένηται καὶ Σελήνη Καρκίνῳ, ἀντιστρέφεται τὰ ἀποτελέσματα καὶ γίνεται τῶν εἰς τὸ τρίγωνον τὰ ὅμοια. ὁμοίως δὲ κἂν διάμετροι ὦσιν Ἄρης Σκορπίῳ Σελήνη Ταύρῳ, οὐ μόνον πρὸς τύχην οὐκ ἐναντιοῦνται ἀλλὰ καὶ προκοπῶν καὶ δοξῶν αἴτιοι γίνονται. Ἀφροδίτη Σελήνῃ τρίγωνος ἐπὶ νυκτερινῆς γενέσεως καὶ ἐν θηλυκοῖς ζῳδίοις ἐπιχαρεῖς εὐδαίμονας· ἔνιοι δὲ καὶ ὄχλων ἡγοῦνται καὶ πορφύρας 〈καὶ〉 χρυσοφορίας καταξιοῦνται κατὰ τὸ μέγεθος τῆς γενέσεως· γίνονται γὰρ καὶ φιλόσοφοι καὶ μουσικοὶ καὶ φιλολόγοι καὶ βασιλικῆς φιλίας ἐντὸς γινόμενοι.

72 εἰ δὲ καὶ ἐξ ἀμφοτέρων βασιλικὴ δηλοῦται ἡ γένεσις τῷ εἶναι τὸν μὲν οἰκοδεσποτοῦντα τὸν δὲ δεσπόζοντα τῆς γενέσεως, τυραννικὸν γίνεται τὸ σχῆμα· γίνονται γὰρ βασιλεῖς βασιλέων ἔνδοξοι καὶ εὐφρόσυνοι. ἑξάγωνοι δὲ πρὸς ἀλλήλους μετριώτεροι τῇ δυνάμει γίνονται· ἐπὶ μέντοι τοῦ ἀγαθοῦ δαίμονος καὶ τῆς ἀγαθῆς τύχης οὐδὲν ἀπέχουσι τοῦ τριγώνου, μάλιστα εἰ μέσον τροπικὸν ζῴδιον ἢ ἰσημερινὸν τύχῃ, πολὺ δὲ μᾶλλον ἐὰν Ἰχθύσι καὶ Ταύρῳ τὸ σχῆμα θεωρηθῇ. Ἀφροδίτη τετράγωνος τῇ Σελήνῃ εὐπράκτους καὶ ἐπιχαρεῖς καὶ πλουσίους καὶ πάντα ὅσα ἐπὶ τριγώνου παρέχει, ἐὰν μάλιστα ἰδίῳ ζῳδίῳ ἢ μοίρᾳ παρῇ, ἀλλὰ μετὰ ἀνωμαλίας· εὐμετάπτωτα γὰρ γίνεται ἃ παρέχουσιν. εἰ δὲ ἐν ἀλλοτρίοις ζῳδίοις ἢ παρ' αἵρεσιν ἢ μοίραις ἐναντίαις, ὕβρεων καὶ ἀστασίας καὶ δειγματισμῶν διὰ γυναικῶν καὶ ἐπονειδίστων πράξεων αἴτιοι καθεστήκασι· καὶ χείρονες δὲ διάμετροι οὕτω σταθέντες. Σελήνῃ Ἑρμῆς τρίγωνος ἐπὶ ἡμερινῆς γενέσεως ἑῴου ὄντος ἐπινοήμονας εὐπράκτους εὐφυεῖς κεκινημένους· εἰ δὲ ἐνδοξοτέρα εἴη ἡ γένεσις, γραμματεῖς βασιλέων ποιεῖ ἢ πόλεων ἢ χωρῶν ἄρχοντας, φιλολόγους ῥήτορας γεωμέτρας· ἐὰν δὲ ἑσπέριος ᾖ μάλιστα νυκτερινῆς οὔσης τῆς γενέσεως, πολυΐστορας φιλοσόφους κα' μυστηρίων μετέχοντας· εἰ δὲ εἴη ἡ γένεσις ὑψηλὴ ἐκ τῶν λοιπῶν ἀστέρων, εὐσχήμονας καὶ ὑπὸ ὄχλων τιμωμένους καὶ μείζοσι προσώποις καὶ βασιλεῦσι γινωσκομένους· ταῦτα ποιεῖ συνοικοδεσποτήσας ἀστέρι τῷ τὸ πράσσειν παρέχοντι 〈καὶ〉 συνεργὸς τυχὼν ταῦτα ἀποτελεῖ. ἀχρημάτιστος δὲ τυχὼν οὐδὲν ἰσχύσει τῶν ἰδίων ἀποτελεσμάτων ἐνεργῆσαι. καθόλου δὲ ἐπὶ πάσης γενέσεως γινώσκεται, ὅτι ὅσα ἐπὶ τῶν τριγώνων ἐνεργεῖ ἕκαστος τῶν ἀστέρων, τοσαῦτα καὶ συνόντες ἐν τῷ αὐτῷ ζῳδίῳ ἀποτελοῦσιν. ἑξάγωνος δὲ ὑπάρχων Ἑρμῆς Σελήνῃ ἀμαυρότερος καὶ ἀσθενέστερος καθέστηκε

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῶν προειρημένων. εἰ δὲ τετράγωνος τύχῃ, δριμεῖς ἀγχίνους· τὸ δὲ δριμὺ αὐτῶν εἰς φαυλότητα περιίσταται· γίνονται γὰρ κακοήθεις διάβολοι, τὰς πράξεις ἀπὸ δόλων καὶ ἐπιθέσεων ἔχοντες καὶ οὐδὲν ὑγιὲς ἐνθυμούμενοι.

73 εἰ δὲ διάμετρος, πρὸς τοῖς εἰρημένοις ἐναντιόβουλοι, ἀχαριστούμενοι ἐν ταῖς πράξεσι· διόπερ βλάπτονται ἀπὸ τῶν συμβαινόντων αὐτοῖς. Ἑρμῆς Κρόνῳ τρίγωνος, μάλιστα 〈ἐὰν〉 ἐν ἰδίοις τύχωσι τριγώνοις, ποιεῖ βασιλέων οἰκονόμους ἢ ἐπιτρόπους ἢ ἐπὶ ναυκληριῶν ἢ οἰκονομιῶν ἢ τῶν τούτοις παραπλησίων τεταγμένους· γίνονται δὲ ἀγχίνοι συνετοὶ μονογνώμονες. τετράγωνοι δὲ πρὸς ἀλλήλους ἀπαμβλύνουσι πάντα καὶ νωθροτέρους καὶ ἐριστικοὺς καὶ μονογνώμονας ποιοῦσι, βραδεῖς ταῖς πράξεσιν, ἐξ ὀνειδισμῶν καὶ ἐνέδρας καὶ δόλου καὶ ἐπιθέσεως ἀναγομένους· γίνονται δὲ καὶ μογιλάλοι ἢ καὶ ταῖς ἀκοαῖς παραποδιζόμενοι· ἐὰν δὲ ὁ τοῦ Ἄρεως μαρτυρήσῃ τῷ Κρόνῳ ἢ Ἑρμῇ, λύει τὸ προειρημένον ἐμπόδιον τῆς φωνῆς, εἴ γε μὴ τύχῃ εἶναι αὐτοὺς ἐν τοῖς αὐτῶν οἴκοις ἢ ὁρίοις ἢ ἐνηλλαχέναι καὶ τὴν συναφὴν αὐτῆς ἔχειν ἢ πάντως οἰκοδεσποτεῖν ἢ συνοικοδεσποτεῖν· οὕτω γὰρ ἰσχύουσι αἱ ὑποδιαστολαί. εἰ δὲ διάμετροι γίνονται ἀλλήλοις, τὰς ἀδελφὰς χωρίζουσι θανάτῳ. ὡροσκοπῶν μέντοι ὁ Ἑρμῆς ἢ μεσουρανῶν τοὺς νεωτέρους πολυίστοράς τε καὶ συνετοὺς ποιεῖ καὶ πολυμαθεῖς· τοὺς δὲ ἐκ τῶν ἐπιτηδευμάτων καρποὺς οὐ λαμβάνουσι· τὰ γὰρ διαπραττόμενα δι᾽ αὐτῶν καταψυγήσονται διὰ τὴν ἐναντίωσιν τοῦ ἀστέρος· ἐὰν δὲ κατ᾽ ἰσόγραμμον στάσιν ἀλλήλους διαμετρῶσι, πολλῷ μᾶλλον ἐπιτείνει τὰ ἀποτελέσματα καὶ ταῖς ἀκοαῖς ἢ ταῖς λαλιαῖς παραποδίζει καὶ ἐν ἱεροῖς κάτοχοι γίνονται ἀποφθεγγόμενοι ἢ καὶ τῇ διανοίᾳ παραπίπτοντες. Ἑρμῆς Δία τριγωνίζων μεγάλων πράξεων δηλωτικός, μάλιστα ἀνατολικὸς ἑῷος· τῶν γὰρ βασιλέων ἢ πόλεων ἢ ὄχλων γραμματεῖς ἢ διοικηταὶ γίνονται. διόλου δὲ ἐὰν τύχῃ ἐν ταῖς πράξεσιν ὁ τοῦ Ἑρμοῦ καὶ παρέχῃ τὸ πράσσειν, δόξαν καὶ περίκτησιν βίου ποιήσονται, μάλιστα ἐν τοῖς χρηματίζουσι ζῳδίοις. εἰ δὲ ἑξάγωνοι, τὰ αὐτὰ μὲν ἀποτελοῦσιν, ἐλάττονα δέ.

74 ἐὰν δὲ τετράγωνοι ὦσι καλῶς σχηματιζόμενοι, ὅσα μὲν εἰς περίκτησιν καὶ δόξαν ἀποτελοῦσι, μετὰ φθόνου δέ· κακῶς δὲ σχηματισθέντες σὺν τῷ φθόνῳ καὶ συντριβὰς καὶ ἐξ ὑπερεχόντων ἐναντιώσεις. εἰ δὲ διάμετροι τύχωσι, μείζονας τὰς διαβολὰς ποιοῦσι καὶ ἀνώμαλοι καὶ ἐναντιόβουλοι γίνονται· εἰ δὲ ἐν τῷ κακοδαιμονήματι διάμετροι τύχωσιν, ὑπὸ μεγάλης κεφαλῆς καταδυναστευθήσονται καὶ ὄχλων ἐπαναστάσεις ἕξουσι, σπανάδελφοι δέ τι καὶ ἔχθρας πρὸς ἀδελφοὺς ἢ τέκνα ἢ συγγενεῖς ἰσχάνουσιν. Ἑρμῆς Ἄρεϊ τρίγωνος ἢ δεξιὸς ἑξάγωνος ποικίλων πράξεων δηλωτικός· ποτὲ μὲν γραμματεῖς ποτὲ δὲ ἔμποροι ἑρμηνεῖς γεωμέτραι νομικοὶ φιλόσοφοι, πάντες δὲ κακότροποι δριμεῖς συνετοὶ ψεῦσται· ποιεῖ δὲ καὶ ὁπλοδιδακτὰς ἢ καὶ ὁπλοπαίκτας. εἰ δὲ καὶ ὁ τοῦ Διὸς συσχηματισθῇ μάλιστα ἐν χρηματιστικοῖς τόποις, ποιεῖ στρατιωτικούς, πολλάκις δὲ ὀρνεοσκόπους, θύτας, προγινώσκοντας τὸ μέλλον, περισσότερον ἀνθρώπων νοοῦντας. τετράγωνος δὲ ποικιλωτέρους τῶν προειρημένων ποιήσει· ποιεῖ γὰρ μάγους πλάνους θύτας ἰατροὺς ἀστρολόγους ὀχλαγωγοὺς τραπεζίτας παραχαρακτὰς ὁμοιογράφους διά τε πανουργίας καὶ ἐπιθέσεως καὶ δόλου τὰς πράξεις διοικοῦντας· γίνονται δὲ καὶ κλῶπες καὶ ἐπίορκοι καὶ ἀσεβεῖς καὶ ἐπίβουλοι τῶν ὁμοίων, αἰσχροκερδεῖς ἀποστερηταὶ ἁπλῶς οὐδὲν ἔχοντες ἐλεύθερον, ὅθεν κακοῖς πλείστοις περικυλίονται καὶ ἐπαγωγῆς ἢ φυγαδείας ἢ συνοχῆς πεῖραν λαμβάνουσι. μάλιστα δὲ ἐν τοῖς ἀχρηματίστοις ζῳδίοις ἢ μοίραις τυχόντες χείρονα ἀποτελοῦσιν· ἐν δὲ τῷ ὑπὸ γῆν ἢ δύνοντι ἀμφότεροι ἢ ἐὰν ὃς μὲν δύνῃ, ὃς δὲ ὑπὸ γῆν τύχῃ, φόνους ἐπιτελοῦσιν ἢ συνίστορες ἔσονται ἀπὸ λῃστείας τὸν βίον διάγοντες· ἔνιοι δὲ καὶ ἀδελφοκτονοῦσι καὶ βιαία ἔσται ἡ ἐσχάτη αὐτῶν τελευτή, μάλιστα ἐὰν καὶ τὴν Σελήνην προσλάβωνται· βιαιοθάνατοι γὰρ καὶ ἄταφοι γίνονται. ἐὰν μὲν οὖν ἐν τετράποσι γένωνται, ἀπὸ θηρίων ἁλίσκονται, ἐν δὲ ἀνθρωποειδέσιν ὑπὸ λῃστῶν, ἐν δὲ τοῖς στερεοῖς ἀπὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὕψους ἢ συμπτώσεως, ἐν δὲ τοῖς διαπύροις ἀπὸ πυρός, ἐν δὲ τοῖς καθύγροις ναυαγίοις, ἐν δὲ τοῖς τροπικοῖς μονομαχοῦντες· ταῦτα δὲ καὶ ἐναλλάξαντες καὶ ὁμόσε τυχόντες ποιοῦσιν.

75 ἐὰν δὲ ὃς μὲν οἰκοδεσποτῇ, ὃς δὲ δεσπόζῃ 〈καὶ〉 Ἑρμῆς ἑξάγωνος Ἀφροδίτῃ 〈ᾖ〉 ἢ σὺν αὐτῇ, τοὺς γεννωμένους ποιοῦσι συνετοὺς ἐπιχαρεῖς φιλομούσους φιλοπαίκτας σκώπτας, ἄλλοτε ποιητὰς μελογράφους φωνασκούς, ὑποκριτὰς μίμων κωμῳδίας, ἐνίοτε δὲ καὶ ἀθλητὰς ἢ ἱερονίκας· ἔτι δὲ πράξεων ποικίλων εἰσὶ περιποιητικοί. εἰ δὲ ἡ γένεσις θηλυκὴ ᾖ, μουσικοὶ γίνονται, πολύκοιτοι, τρόπον ἑταιρῶν διάγουσαι, φιλόλογοι φωνασκοί. Ἀφροδίτη Κρόνῳ τρίγωνος αὐστηροὺς ἀγελάστους ἐπισκύνιον ἔχοντας, πρὸς δὲ τὰ ἀφροδίσια σκληροτέρους, οὐ πολυκοίτους, ἀναξίαις μέντοι γε ἢ ἀργυρωνήτοις ἢ πρεσβυτέραις ἐπιμίσγονται· οἱ δὲ καὶ ταῖς τῶν ἀδελφῶν ἢ ἐπιστατῶν ἢ ταῖς τῶν πατέρων ἢ καὶ μητρυιαῖς τὰς ἐπιμιξίας ποιοῦνται· αἱ δὲ γυναῖκες αὐτῶν λαθραιόκοιτοι καὶ ἐπιμιγνύμεναι τοῖς τῶν ἀνδρῶν δούλοις ἢ φίλοις. νοεῖν μέντοι δεῖ ὡς παρὰ τὰς τῶν ζῳδίων καὶ μοιρῶν ἐναλλαγὰς πολλή τις διαφορὰ γίνεται· τὸ γὰρ αὐτὸ σχῆμα, καὶ ἐὰν ὁμοῦ τύχωσι, ῥυπαρωτέρους μὲν ἢ καὶ ἐπικοιμωμένους καὶ ἄλλοτε μὲν πολυκοίτους, πολλάκις δὲ μηδὲ ἀφροδισιάζοντας ἀλλὰ μόνον ἡδομένους. τετράγωνοι δὲ πολλῷ χείρονες· τὰ μὲν γὰρ ἐπὶ τοῦ τριγώνου εἰρημένα λόγια ἐπὶ τὸ χεῖρον τρέπουσιν, ἀλλὰ καὶ ἀπὸ πορνείας ἄγονται γυναῖκας· γίνονται δὲ καὶ ἀνεπιχαρεῖς καὶ ἀσελγεῖς. κάκιον δὲ γίνεται, ἐὰν ἐπὶ τὸ δυτικὸν ἢ ὑπόγειον γίνηται τὸ σχῆμα· παροξύνεται γὰρ ἐπὶ τὸ χεῖρον τὰ εἰρημένα μάλιστα καὶ τοῦ Ἄρεως συνόντος ἢ τετραγωνίζοντος ἢ διαμετροῦντος· καὶ γὰρ αἰσχροποιοῦσι καὶ διαβάλλονται ὑπὸ ὄχλων, πολλάκις δὲ διὰ ταῦτα περιβοησίας ἢ ἀπαγωγῶν τυχόντες κακῷ θανάτῳ περιτρέπουσιν. ἐὰν δὲ καὶ ἐν λατρώδεσι ζῳδίοις ἢ μοίραις γένωνται, πάθεσιν ἀκαθάρτοις καὶ παρὰ φύσιν ἡδοναῖς χρήσονται.

76 ἑξάγωνοι δὲ πρὸς ἀλλήλους τὴν αὐτὴν ἀποτελεσματογραφίαν τοῖς τριγώνοις ἔχουσιν, ἀμυδρὰν δὲ καὶ ἀσθενῆ. ἑῷοι μὲν ὄντες καὶ ἐν τῷ ἀπηλιώτῃ τὰς γυναῖκας ἀρρενοῦσιν οὐ μόνον ταῖς πράξεσιν, ἀλλὰ καὶ σὺν γυναιξὶ κοιμώμεναι ἀνδρῶν ἔργα ἐπιτελοῦσιν· ἑσπέριοι δὲ θηλύνουσι τοὺς ἄνδρας· ἄλλοτε μὲν γὰρ ἀνδράσι συγκοιμώμενοι γυναικῶν ἔργα ἐπιτελοῦσι, πολλάκις δὲ καὶ τῶν γονίμων στερίσκονται. Κρόνος Διὶ τρίγωνος ἀγαθὸν δηλοῖ τὸ σχῆμα· πολυκτήμονας ἐγγαίων, κυρίους σιτικῶν καὶ ἀμπελικῶν, σιτογεωργοὺς ἀποτελεῖ καὶ κτίστας οἰκοπέδων κωμῶν τε καὶ πόλεων, βαρεῖς δὲ καὶ ἐπισκύνιον ἔχοντας. ἐὰν δὲ ὑψηλότερον τὸ σχῆμα καὶ Ἄρης ἐπιθεωρήσῃ καὶ περὶ τὸν Ἥλιον καὶ Σελήνην, ποιοῦσι στρατοπεδάρχας ναυτικῶν τε καὶ πεζικῶν ἄρχοντας, ἐνίους δὲ καὶ ἐπὶ βασιλείας ἢ τυραννίδας ἄγουσιν. εἰ δὲ ἐν τῷ τοῦ Κρόνου τριγώνῳ τὸ σχῆμα τύχῃ μάλιστα τοῦ Διὸς ἐν τῷ Ὑδροχόῳ ἀποστρόφου τοῦ Ἄρεως ὄντος, ταπεινοψύχους δεδοικότας οὐ κατὰ πᾶν διαλάμποντας οὐδὲ ἀρχῆς τινος μετέχοντας, ἀνακεχωρηκότας δὲ καὶ ἀγροῖκον βίον αἱρουμένους. παρὰ δὲ τὰς τῶν ζῳδίων καὶ τῶν τόπων διαφορὰς καὶ αἱ διαλλαγαὶ τῶν πράξεων γίνονται. τὰ αὐτὰ δὲ καὶ ὁμόσε ἀποτελοῦσιν ἐν τοῖς χρηματίζουσι ζῳδίοις. Κρόνος δὲ Διὶ τετράγωνος ἀμβλύνει τὸ ἀγαθὸν τοῦ ἀστέρος, μάλιστα εἰ καὶ δεξιώτερος καὶ ἀνατολικώτερος εἴη ὁ τοῦ Κρόνου· γίνονται γὰρ δυσπρόκοποι ζημιώδεις μετὰ κόπου καὶ πόνου περιποιούμενοι, βλάπτονται δὲ καὶ περὶ τέκνων· οἱ μὲν γὰρ ἄτεκνοι γίνονται, οἱ δὲ θάνατον τέκνων θεωροῦσι. βλαβερὸς δὲ αὐτοῖς καὶ ὁ περὶ ἀδελφῶν τόπος· τοὺς μὲν γὰρ εὐνουστέρους καὶ φιλοστοργοτέρους θανάτῳ χωρίζουσι, τοὺς δὲ λοιποὺς ἐχθροὺς καὶ ἐπισινεῖς ποιοῦσι· μάλιστα δὲ ἔξω τῶν κέντρων γενόμενοι. διάμετροι δὲ πρὸς ἀλλήλους χαλεπώτεροι μετὰ ταλαιπωρίας καὶ ἐναντιώσεως. Κρόνος Ἄρεϊ τρίγωνος ἐπισφαλεῖς μὲν τῷ βίῳ καὶ ἀφερεπόνους σημαίνει, ταῖς δὲ πράξεσι νωθροὺς καὶ βιαίους ἀποτελεῖ, ἤτοι σπανοτέκνους ἢ τὰ γεννώμενα διαφθείροντας, ἔτι δὲ αἰχμαλωτίζονται ἢ σινοῦνται.

77

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τετράγωνοι δὲ πολὺ χείρονες· ἀναιροῦνται γὰρ τὰ τέκνα αὐτῶν, ὁμοίως δὲ καὶ τὰ τῶν ἀδελφῶν, ἢ χωρίζονται ἀπ' ἀλλήλων ἔχθραις ἢ δυσεπανόρθωτοι γίνονται ἢ σινοῦνται· προσκοπτικοὶ δὲ γίνονται ἐν ταῖς πράξεσιν ἁπάσαις, ἔχθραις μεγάλων ἀνδρῶν περικυλιόμενοι καὶ ἐπιβουλευόμενοι, καὶ κινδύνοις μεγάλοις τὸ σχῆμα περιπίπτει· ἤτοι γὰρ λῃστῶν ἢ πολεμίων ἐπιδρομαῖς ἢ ναυαγίῳ περιπεσόντες βιαιοθανατοῦσιν, ἔνιοι δὲ καὶ αἰχμαλωσίαις περιτρέπονται, πολλάκις δὲ καὶ ἀπὸ πυρὸς ἢ σιδήρου κινδυνεύουσι. διάμετροι δὲ ἀλλήλων γενόμενοι ἰσχυρότερα τὰ προειρημένα ἀποτελοῦσι· πρὸς ἐπὶ τούτοις γίνονται πένητες ἐπίμοχθοι ἀτυχεῖς, ἔνιοι δὲ νωτοφοροῦσιν ὡς κτήνη τάς τε ἐργασίας ἐπιμόχθους καὶ ἐπονειδίστους ἔχουσι. πολλὴ δὲ καὶ ἐπὶ τῶν σχημάτων τούτων διαφορὰ οὐ μόνον παρὰ τὴν τῶν ζῳδίων καὶ μοιρῶν ἰδιότητα, ἀλλὰ καὶ παρὰ τὰ μεγέθη τῶν γενέσεων. εἰ μὲν γὰρ ἀθεώρητον ὑπὸ Διὸς γένηται τὸ σχῆμα καὶ τῆς Σελήνης καὶ τοῦ Ἡλίου, ἄδοξον τὴν γένεσιν ποιήσουσιν· εἰ δὲ ἐπιθεωρήσουσι καὶ τύχῃ ὁ μὲν ἕτερος αὐτῶν δεσπότης ὁ δὲ ἕτερος συνοικοδεσπότης, καὶ τηνικαῦτα τὰ προειρημένα γίνεται. χαλεπώτερα δὲ ἐπὶ τοῦ θεοῦ καὶ τῆς θεᾶς, ἀμβλύτερα δὲ καὶ σκιᾷ παραπλήσια ἐπὶ τοῦ ἀγαθοῦ δαίμονος καὶ τῆς ἀγαθῆς τύχης, χείρονα δὲ καὶ ἀδιάλυτα ἐπὶ τοῦ κακοῦ δαίμονος καὶ τῆς κακῆς τύχης ἀργοῦ τε καὶ κατασκίου. ἐνδόξου δὲ τῆς γενέσεως οὔσης καὶ τυραννικῆς *** . Ζεὺς Ἄρεϊ τρίγωνος ὁποτέρου αὐτῶν οἰκοδεσποτοῦντος τοῦ δὲ ἑτέρου δεσπόζοντος μεγάλους ἄνδρας σημαίνει καὶ ἡγεμονικοὺς καὶ τυραννικούς, μάλιστα ἐν ἰδίοις ζῳδίοις ἢ τριγώνοις ἢ μοίραις καὶ ἐπὶ τῶν χρηματιζόντων ζῳδίων ἢ ἐνηλλαχότες τὰ οἰκητήρια ἢ τὰ ὅρια, μάλιστα κυριεύοντες τοῦ κλήρου ἢ τοῦ οἰκοδεσπότου. μεγάλας γὰρ πράξεις ποιοῦσιν· ἤτοι γὰρ βασιλεῖς ἢ στρατοπέδων προήκοντας ναυτικῶν τε καὶ πεζικῶν, πόλεις ἀνορθοῦντας καὶ καταστρέφοντας· ἑξάγωνοι δὲ ἧττον σθένουσι, καθάπερ καὶ ἐπὶ τῶν προτέρων σχημάτων, ἐκτὸς εἰ μὴ ἐπίκεντροι γενόμενοι σημαίνουσι μὴ κάτοπτα τοῖς γενομένοις τὰ εἰρημένα κακὰ γίνεσθαι ἀλλὰ τοῖς ἄλλοις.

78 αὐτοσχεδιασταὶ πολέμων πεζικῶν καὶ ναυμαχιῶν· γίνονται δὲ ἀρχιλῃσταὶ καὶ ἡγεμόνες βίαιοι βασανιστικοὶ ἡδέως κολάζοντες αἱμοπόται· εἰ δὲ ἀγοραίου γένεσις ᾖ, οἷον νομικοῦ ἢ δικολόγου, γίνονται κατηγορικοί. εἰ δὲ καὶ τὸν τοῦ Ἑρμοῦ συλλάβῃ τῆς Σελήνης προτέρου Ἄρεως τὴν συναφὴν ἔχοντος, χαλεπώτερον τὸ σχῆμα γίνεται· γίνονται γὰρ οἱ τοιοῦτοι θηρίου παντὸς χείρονες. Ζεὺς Ἄρεϊ τετράγωνος, ἐὰν ὁ μὲν ὡροσκοπῇ ὁ δὲ μεσουρανῇ ἢ ἀγαθοδαιμονῇ, ἰσχυρόν· ἰσχυρότερον γὰρ τοῦ τριγώνου τὸ σχῆμα τοῦτο γενήσεται, μάλιστα εἰ μέσον τροπικὸν εἴη. ἐν δὲ τῷ αὐτῷ ζῳδίῳ παρόντες ἰσχυρότερα σθένουσι· τῷ γὰρ τριγώνῳ τὰ αὐτὰ καὶ τετράγωνοι ἀποτελοῦσιν, ἀλλὰ μετὰ κινδύνων καὶ ἐναντιώσεων. διάμετροι δὲ ἐν τοῖς ἀχρηματίστοις ζῳδίοις χαλεπώτεροι γίνονται· ἐὰν γὰρ ἐπί τινα ἡγεμονίαν τὰ λοιπὰ τῆς γενέσεως πράγματα τὸν γεννώμενον ἄγῃ, μεγάλοις περιπεσεῖται κινδύνοις καὶ ὑπὸ ἰδίων καὶ ὑπὸ ἐχθρῶν προδοθήσεται. εἰ δὲ μήτε οἰκοδεσποτῇ ἀστὴρ μήτε δεσπόζῃ τις αὐτῶν ἢ συνοικοδεσποτῇ, μέτριος ἡ τῶν τριγώνων στάσις· γίνονται γὰρ στρατιωτικοί· εἰ δὲ καὶ ἐκ τῶν ἄλλων ἀστέρων μέγεθος ἀξιώματος ὑποφαίνηται συνεργὸν αὐτοῖς ἢ παρασυνεργὸν ἐχόντων δύναμιν, προσθήσουσι τῇ δόξῃ· ποιοῦσι γὰρ ἄρχοντας πόλεων καὶ ἐπὶ δικαστηρίου καθεζομένους· εἰ δὲ καὶ τὸ διάθεμα στρατιωτικὸν ᾖ ἔκ τε Ἡλίου καὶ Σελήνης καὶ Κρόνου, δεκαδάρχας ἢ ἑκατοντάρχας τινὸς βραχέος στρατεύματος καὶ πόλεως· εἰ δὲ ταπεινὸν εἴη τὸ διάθεμα ἔκ τε Ἡλίου καὶ Σελήνης καὶ τῶν λοιπῶν ἀστέρων ἢ τρίγωνοι αὐτῶν ὅ τε τοῦ Ἄρεως καὶ ὁ τοῦ Διός, ταπεινοὺς ἀποτελεῖ τοὺς γεννωμένους, δούλους στρατευομένων ὑποτεταγμένους ἢ καὶ ἡγεμονευόντων, πολλάκις δὲ κυνηγοὺς ἢ μονομάχους ἢ ὁπλοποιούς· ταῦτα δὲ σημαίνει παρὰ τὰς τῶν ζῳδίων ἐναλλαγάς· ἐπὶ μὲν γὰρ τῶν κέντρων μεγάλους ἀπὸ νεότητος ἀποτελοῦσιν, ἐπὶ δὲ τῶν ἐπαναφορῶν ἀπὸ μέσης ἡλικίας ἀναγομένους, ἐπὶ 〈δὲ〉 τῶν ἀποκλιμάτων ἥττονας καὶ ταπεινούς.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

79 〈ιζʹ.〉 Περὶ ὡροσκόπου τοῦ τῆς τύχης κλήρο υ . Περὶ δὲ τριγωνικῆς τάξεως ἐκθέμενος μεταβήσομαι πάλιν εἰς τὸν περὶ εὐδαιμονίας καὶ τύχης κλῆρον καὶ δαίμονος. πρὸ πάντων οὖν δεῖ ἀκριβῶς στῆσαι τὸν κλῆρον τῆς τύχης καὶ σκοπεῖν, εἰς ποῖον μέρος τοῦ κόσμου ἐξέπεσε, πότερον ἐπὶ τῶν κέντρων ἢ τῶν ἐπαναφορῶν ἢ τῶν ἀποκλίσεων· ὁμοίως δὲ καὶ τὸν τούτου κύριον ζήτει. ἐὰν γὰρ ὡροσκοπῇ ἡμερινὸς ἢ καὶ ἐπί τινος ἑτέρου χρηματιστικοῦ ζῳδίου τύχῃ, ὑπὸ Ἡλίου καὶ Σελήνης καὶ τῶν ἀγαθοποιῶν μαρτυρούμενος, λαμπρὸν ἐπίσημον εὐτυχῆ τὸν γεννώμενον ποιήσει· ἐπὶ δὲ τῶν λοιπῶν κέντρων ἢ τῶν ἐπαναφορῶν μετριώτερος· ἐπὶ δὲ τῶν ἀποκλιμάτων ἐκπτώσεως ὁ τρόπος ἐννοείσθω· οὗτοι γάρ εἰσι ἑτερογνώμονες τόποι αἰτίας ἐπάγοντες καὶ καθαιρέσεις. ἄλλως τε ἐπιγνοὺς τὸν κεκληρωμένον τόπον τῆς τύχης σκόπει καὶ τὰ τούτου τετράγωνα καὶ τὰ λοιπά, ὅσα ποτὲ ἐπὶ τῶν γενεθλιακῶν κέντρων. ἐφέξει γὰρ αὐτὸς ὁ κλῆρος δύναμιν ὡροσκόπου καὶ ζωῆς, τὸ δὲ τούτου δέκατον μεσουρανήματος καὶ δόξης, τὸ δὲ ζʹ δυτικοῦ, τὸ δὲ δʹ ὑπογείου· καὶ οἱ λοιποὶ δὲ τόποι τὴν δύναμιν τῶν ιβʹ τοποθεσιῶν ἐφέξουσιν. ὑφίστανται γάρ τινες μυστικῶς τὸν μὲν καθολικὸν ὡροσκόπον καὶ τὰ τούτου τετράγωνα κοσμικὰ κέντρα, τὸν δὲ κλῆρον καὶ τὰ τούτου τετράγωνα γενεθλιαλογικὰ κέντρα. ὅθεν καὶ ἐν τοῖς συντάγμασι προδηλοῦσι λέγοντες· ἐν δὲ ἑτεροτρόποις σχήμασι τῶν κέντρων ἢ κλήρου τὴν δυναστείαν λαχόντες *** καὶ οὔτε μὴν διὰ παντὸς τὰ τροπικὰ οὔτε τὰ στερεὰ οὔτε τὰ δίσωμα τὴν αὐτὴν δύναμιν ἐφέξει · δεῖ οὖν καὶ τὰς μαρτυρίας τῶν ἀστέρων ἢ συμπαρουσίας θεωρεῖν τὰς πρὸς τὸν κλῆρο ν , ἵ ν ' εἰ μὲν ἀγαθοποιὸς ἐπὶ τούτῳ ἐπείη ἢ καὶ τῷδε μαρτυρήσ ῃ , προδηλωτικὸς ἀγαθῶν καὶ δοτὴρ ὑπαρχόντων γένηται · εἰ δὲ φθοροποιό ς , ἀποβολῆς ὑπαρχόντων καὶ φθίσεως σώματος αἴτιος γενήσετα ι .

80 〈ιηʹ.〉 Περὶ ὑψώματος Ἡλίου καὶ Σελήνης πρὸς εὐδαιμονία ν . Μυστικὸν δέ τινα τόπον εὕρομεν καὶ αὐτοὶ ἐκ πείρας, λαμβάνειν ἡμέρας μὲν ἀπὸ Ἡλίου τοῦ κατὰ γένεσιν ἐπὶ Κριόν, ὅ ἐστιν ὕψωμα αὐτοῦ, καὶ νυκτὸς ἀπὸ Σελήνης ἐπὶ Ταῦρον καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου, καὶ ὅπου δ᾽ἂν καταλήξῃ, σκοπεῖν τόν τε τόπον καὶ τὸν τούτου κύριον. ἐὰν γὰρ εὑρεθῇ ὡροσκοπῶν ἢ μεσουρανῶν μάλιστα 〈ἢ〉 καὶ κατὰ 〈τοῦ〉 τοῦ κλήρου κέντρου, βασιλικὸν τὸ σχῆμα προδηλοῖ, τῶν λοιπῶν ἀστέρων καὶ αἱρέσεων τὴν ὑπόστασιν τῆς γενέσεως μεγάλην ἀποδεικνυόντων. ἄλλως δὲ τῆς γενέσεως ἐνδόξου οὔσης καὶ τοῦ ὑψώματος ἢ τοῦ οἰκοδεσπότου καλῶς πεπτωκότος ἀπὸ ἡγεμονίας ἢ ἀρχῆς πολιτικῆς ἢ βασιλικῆς ἢ καὶ ἑτέρας τινὸς ἐνδόξου πίστεως ὁ γεννώμενος ὑψωθήσεται. ἐὰν δὲ τῆς ὑποστάσεως μετρίας οὔσης ὁ κύριος τοῦ ὑψώματος ἢ ὁ τόπος καλῶς τύχῃ, κατ᾽ ἐκεῖνο τὸ μέρος εὐημερήσει ὁ γεννώμενος, ἐν ᾧ τετύχηκε πράσσων ἤτοι τέχνην ἢ ἐπιστήμην ἢ ἐπιτήδευμα. καὶ αὐτὸς δὲ ὁ οἰκοδεσπότης καὶ τὸ ζῴδιον τὸ εἶδος τῆς εὐτυχίας προδηλώσει ἐκ τῆς ἰδίας φύσεως ἢ οὗ ἔπεστι ζῳδίου· πολλάκις γάρ τινες ἐν τοῖς πρότερον χρόνοις ἄλλα πράξαντες κακοπαθήσαντες καὶ παραπεσόντες ἐξ ὑστέρου δι᾽ ἑτέρων εὐτύχησαν πραγμάτων. 〈ιθʹ.

81 〉 Περὶ κλήρου τύχης καὶ δαίμονος πρὸς εὐδαιμονίαν καὶ ἀποτροπὴν πράξεω ν . Ὅθεν περὶ τὰς ἐπιβολὰς τῶν πράξεων καὶ μετατροπὰς ὅ τε κλῆρος τῆς τύχης καὶ ὁ δαίμων πολλὴν δύναμιν ἐφέξει· ἡ μὲν γὰρ τὰ περὶ τὸ σῶμα καὶ τὰς διὰ χειρῶν τέχνας δηλοῖ, ὁ δὲ δαίμων καὶ ὁ κύριος τὰ περὶ ψυχὴν καὶ διάνοιαν καὶ τὰς διὰ λόγων καὶ δόσεων καὶ λήψεων πράξεις. προσβλέπειν οὖν δεήσει τοὺς τόπους καὶ τοὺς τούτων οἰκοδεσπότας, ἐν ποίοις ζῳδίοις εἰσί, καὶ τὰς τούτων φύσεις συναρμόζειν εἰς τὸν περὶ πράξεως καὶ τύχης λόγον καὶ εἰς τὸ εἶδος τῆς πράξεως. λαμπραὶ μὲν οὖν καὶ ἐπίδοξοι καὶ πρακτικαὶ νοηθήσονται γενέσεις ἔκ τε Ἡλίου καὶ Σελήνης τῶν ἀγαθοποιῶν ἐπόντων ἢ προσνευόντων τοῖς τόποις ἢ τοῖς οἰκοδεσπόταις, μέτριαι δὲ καὶ ἄδοξοι καὶ καθαιρετικαὶ καὶ ἐναντίαι 〈αἱ〉 γινόμεναι ἔκ τε Κρόνου καὶ Ἄρεος. βέλτιον μὲν οὖν καὶ τὸν κύριον τοῦ δαίμονος εὑρεῖν ἐπὶ τοῦ κλήρου τῆς τύχης ἢ τοῦ τούτου δεκάτου [ἵνα μεσουρανῇ τῷ κλήρῳ· ὅτι τὸ ἰδιοτοπεῖν καὶ τὸ ἐπίκεντρον ὡς ὅμοια καὶ ἴσα ἀντιδιέστειλε νῦν,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ ἐκ τοῦ ἐναντίου τὸ μὴ ἰδιοτοπεῖν καὶ τὸ ἀποκεκλιμένον ὡς ἴσα παρέθετο καὶ τὴν τῶν κακοποιῶν δὲ μαρτυρίαν ἢ ἀποστροφὴν ὡσαύτως ὡς εἶναι καὶ σχέσεις. ἢ καὶ η′] ὅπερ ἐστὶ μεσουράνημα· καὶ οὕτως γὰρ λαμπραὶ καὶ ἐπίσημοι γενέσεις γίνονται. ἐὰν δὲ ἰδιοτοπῇ ἢ καὶ ἐπίκεντρος ἄλλως τύχῃ, πρακτικαὶ 〈καὶ〉 ἔνδοξοι κατὰ ποσὸν γενήσονται. ἐὰν δέ πως ἀπόστροφος τύχῃ ἰδίου τόπου ἢ καὶ ἄλλως ἀποκεκλικὼς ὑπὸ κακοποιῶν μαρτυρούμενος, φυγάδας σημαίνει καὶ ἐπὶ ξένης ἀσχημονοῦντας. καὶ ἐὰν μὲν ἀγαθοποιῷ συνυπάρχῃ ἢ ὑπὸ ἀγαθῶν μαρτυρηθῇ, ἐπὶ ξένης τὸν πολὺν χρόνον διανύσουσι, ποικίλως καὶ ἀνωμάλως τὸν βίον διάγοντες· ἐὰν δὲ κακοποιῷ, [καὶ] αἰτίας καὶ συνοχῆς πεῖραν λαβόντες ἐνδεεῖς καὶ κακόβιοι γενήσονται.

82 ὁμοίως καὶ ἐὰν ** ἐναντιωθῇ τῷ τόπῳ, ἐπὶ ξένης ἀναστρεφομένους καὶ ἐν ταραχαῖς γινομένους προδηλοῖ. πολλάκις δὲ οἱ τοιοῦτοι ὑπὸ μὲν ἰδίων οὐ κληρονομοῦνται, ὑπὸ δὲ ἀλλοτρίων κληρονομοῦνται. 〈κ′.〉 Περὶ 〈τοῦ ια′〉 τόπου τῆς τύχης πρὸς εὐδαιμονία ν . Εὕραμεν δὲ καὶ τὸν ια′ τόπον τῆς τύχης περιποιητικόν, ὑπαρχόντων καὶ ἀγαθῶν δοτῆρα, καὶ μάλιστα ἀγαθοποιῶν ἐπόντων ἢ μαρτυρούντων. Ἥλιος μὲν γὰρ καὶ Ζεὺς καὶ Ἀφροδίτη παρέχουσι χρυσὸν ἄργυρον καὶ κόσμον καὶ πλείστην ὕπαρξιν καὶ ἀπὸ μειζόνων τε καὶ βασιλέων δωρεὰς καὶ εὐπροαιρέτους ἐξοδιασμοὺς εἰς ὄχλους καὶ πολλῶν εὐεργέτας καθιστῶσι. Σελήνη δὲ καὶ Ἑρμῆς αὐξομείωσιν τοῦ βίου καὶ ἀνωμαλίαν καὶ ὁτὲ μὲν ἑτέροις παρεκτικοὺς καὶ εὐμεταδότους, ὁτὲ δὲ ἐνδεεῖς ἢ δανείοις περιτρεπομένους διὰ τὸ τὴν μὲν Σελήνην αὐξομείωσιν τοῦ φωτὸς ἔχειν, τὸν δὲ Ἑρμῆν ἐπίκοινον εἶναι ἀγαθῶν τε καὶ κακῶν. Ἄρης τὰ μὲν διδόμενα ἢ ἐπικτώμενα ἀφαιρεῖται ἀποτελῶν μειώσεις ἁρπαγὰς ἐμπρησμοὺς κρίσεις, εἰς δημόσια ἢ εἰς βασιλικὰ πράγματα ἀναλίσκοντας ἢ αὐτεξουσίους γινομένους καὶ καταιτιωμένους, ἐκτὸς εἰ μὴ στρατιωτικὴ ἢ ἔνδοξος ἡ γένεσις τύχῃ· οὕτω γὰρ ἐκ τῆς τοιαύτης ἀφορμῆς καὶ βιαίων ἢ ἐπικινδύνων πραγμάτων καὶ κλοπῆς ἐν περιποιήσει γενήσονται, ἐάνπερ οἰκείως 〈ὁ〉 ἀστὴρ τύχῃ· πλὴν καὶ οὕτως ἐπιφόβως ἀνύσει καὶ μείωσιν ὑποίσει. Κρόνος δὲ [ἔτι] ἐπιτόπως σχηματισθεὶς θεμελίων κτημάτων κυρίους καθίστησιν, ἀτόπως δὲ ἢ παρ᾽ αἵρεσιν ἐκπτώσεις ἀφαιρέσεις ναυάγια ἐνδείας χρεωστίας ἀποτελεῖ. Κρόνος σὺν Ἑρμῇ καὶ Ἄρεϊ διά τινας κρίσεων ἐπιφορὰς καὶ κακούργων ἢ μυστικῶν καὶ βιαίων πραγμάτων χάριν ἐπηρεαζομένους. Κρόνος Ἑρμῆς Ἄρης Ἀφροδίτη διὰ φαρμακειῶν ἢ θηλυκῶν προσώπων ἀδικουμένους καὶ ἐν αἰτίαις γινομένους. Κρόνος Ἄρης Ἑρμῆς Ἀφροδίτη Ζεὺς Σελήνη ὑπὸ νεκρικῶν ὠφελουμένους καὶ 〈ἐκ〉 ναυκληριῶν καὶ ξενιτειῶν ἢ καθύγρων πραγμάτων περικτωμένους. Καθολικῶς μὲν οὖν Κρόνος καὶ Ἄρης μεσουρανοῦντες ἢ ἐπαναφερόμενοι τῷ μεσουρανήματι τοῦ κλήρου καὶ τοῦ περιποιητικοῦ κυριεύσαντες ἐκπτώσεως δηλωτικοί.

83 Ἑκάστου οὖν ἀστέρος δεῖ τὰς φύσεις προορᾶν καὶ κατὰ τὴν ἰδίαν σύγκρισιν καὶ οἰκειότητα τὴν πρὸς ἑκάτερον ἀποφαίνεσθαι. οὐ μόνον δὲ οἱ ἀστέρες 〈οἱ〉 ἐπόντες τῷ περιποιητικῷ τόπῳ τὰ προκείμενα δηλώσουσιν, ἀλλὰ καὶ αὐτὸ τὸ ζῴδιον ἐνεργήσει πρός τε τὴν τοῦ ἀστέρος καὶ τὴν ἰδίαν φύσιν. 〈κα′.〉 Τῶν προκειμένων κεφαλαίων ὑποδείγματ α . Εἰς δὲ τὴν τῶν προκειμένων διάγνωσιν ὑποδείγμασι χρησόμεθα προτάξαντες ἐπίσημον γένεσιν. ἔστω Ἥλιον εἶναι Σκορπίῳ, Σελήνην Καρκίνῳ, Κρόνον Ὑδροχόῳ, Δία Τοξότῃ, Ἄρεα Σκορπίῳ, Ἀφροδίτην Ζυγῷ, Ἑρμῆν Σκορπίῳ, ὡροσκόπον Ζυγῷ. ἐπεὶ οὖν νυκτερινὴ ἡ γένεσις, ζητῶ Σελήνην· αὕτη δὲ τυγχάνει Καρκίνῳ τρίγωνος Ἄρεϊ. τὸν δὲ τοῦ Ἄρεος εὕρομεν ἐπαναφερόμενον ἰδίῳ οἴκῳ καὶ τριγώνῳ καὶ αἱρέσει ἰδίᾳ· εἶτα τὴν ἐπίκοινον τούτῳ Ἀφροδίτην ὡροσκοποῦσαν ἰδίῳ οἴκῳ, τρίτην Σελήνην μεσουρανοῦσαν ἰδίῳ οἴκῳ. πρόδηλον οὖν, ὅτι ἔνδοξος ἡ γένεσις, ἐπιτόπως ἐσχηματισμένων τῶν οἰκοδεσποτῶν. ζητήσας δὲ καὶ τὸν κλῆρον εὗρον Ὑδροχόῳ· τούτῳ ἔπεστι Κρόνος ὁ κύριος ἀγαθοτυχῶν ἰδίῳ οἴκῳ καὶ τριγώνῳ. ὁμοίως καὶ τὸ ια′ τοῦ κλήρου τῆς τύχης τουτέστι τὸ περιποιητικὸν ζῴδιον Ζεὺς 〈ἔχει〉 . ἔλαβον δὲ καὶ τὸ ὕψωμα τῆς γενέσεως, ὃ ἀπὸ

Σελήνης ἐπὶ Ταῦρον γίνεται ια′ καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου Ζυγοῦ· κατέληξεν Λέοντι ἐν τῷ ἀγαθῷ δαίμονι· τούτου κύριος ὁ Ἥλιος, 〈ὃσ〉 εὑρέθη μεσουρανῶν τῷ κλήρῳ τῆς τύχης, ἐποίησε λαμπροτέραν καὶ ἐνδοξοτέραν τὴν γένεσιν. Ἄλλη. Ἥλιος Ἑρμῆς Ταύρῳ, Σελήνη Κριῷ, Κρόνος Ἄρης Ἀφροδίτη ὡροσκόπος Καρκίνῳ, Ζεὺς Παρθένῳ, κλῆρος τύχης καὶ ὕψωμα γενέσεως Διδύμοις. ἀπὸ μετριότητος ἀναβεβίβασται καὶ γέγονεν ἡγεμονικὴ καὶ στρατηγική. ἡμερινῆς γὰρ οὔσης τῆς γενέσεως εὗρον τὸν Ἥλιον τριγώνῳ τῆς Σελήνης, τὴν δὲ Σελήνην καὶ τοὺς αὐτῆς ἐπικοίνους Ἀφροδίτην καὶ Ἄρεα ἐπικέντρους, τὸν δὲ κλῆρον τῆς τύχης καὶ τὸ ὕψωμα Διδύμοις ἐν ἀποκλίσει (ἔνθεν ἦν καὶ τὰ πρῶτα μέτρια), τὸν δὲ κύριον ἀγαθοδαιμονοῦντα.

84 Ἄλλη. Ἥλιος Ἄρης Ἀφροδίτη Ἑρμῆς Ὑδροχόῳ, Σελήνη Ζεὺς Σκορπίῳ, Κρόνος Κριῷ, ὡροσκόπος Λέοντι. καὶ αὕτη ἡ γένεσις ἐκ ταπεινῆς καὶ μετρίας τύχης εἰς ἡγεμονικὴν καὶ ἐξουσιαστικὴν τύχην κατήντησεν. ἡμερινῆς γὰρ οὔσης τῆς γενέσεως εὕρομεν τὸν Ἥλιον τριγώνῳ τοῦ Κρόνου, τὸν δὲ Κρόνον ἐν τῷ ἀποκλίματι, ὅθεν τὰ μὲν πρῶτα μέτρια, τὸν δὲ τούτου ἐπίκοινον Ἑρμῆν ἐπίκεντρον. εὕρομεν δὲ καὶ τὸν κλῆρον τῆς τύχης Ταύρῳ καὶ τὸ ὕψωμα Ζυγῷ καὶ τὴν κυρίαν μεσουρανοῦσαν μὲν τῷ κλήρῳ, ἐπίκεντρον δ’ ἄλλως. Ἄλλη. Ἥλιος Ἑρμῆς Ταύρῳ, Σελήνη Ὑδροχόῳ, Κρόνος Ἀφροδίτη Κριῷ, Ζεὺς Παρθένῳ, Ἄρης Ἰχθύσιν, ὡροσκόπος Λέοντι. τὸν μὲν οὖν Ἥλιον εὕρομεν τριγώνῳ Ἀφροδίτης καὶ Σελήνης, τὴν δὲ Ἀφροδίτην ἐν ἀποκλίματι. γέγονεν μὲν οὖν τὰ πρῶτα ἐπίμοχθος καὶ ταπεινή, τῆς δὲ Σελήνης ἐπικέντρου εὑρεθείσης ὕστερον γέγονεν ἐν στρατιωτικαῖς καὶ προκοπτικαῖς τάξεσιν. ὁμοίως δὲ καὶ ὁ κλῆρος τῆς τύχης εὑρέθη Ταύρῳ, τὸ δὲ ὕψωμα Καρκίνῳ· τούτου κυρία Σελήνη εὑρέθη μεσουρανοῦσα τῷ κλήρῳ, ὅθεν καὶ εἰς μεγίστην τύχην καὶ ἡγεμονικὴν κατῆλθεν. ἐν δὲ τῷ περιποιητικῷ τόπῳ εὑρέθη Ἄρης ** ὕπαρξιν ἐξ ἁρπαγῆς καὶ νοσφισμῶν καὶ βίας, ἃ μετὰ θάνατον αὐτοῦ κακῶς διηρπάχθη. Ἄλλη. Ἥλιος Ἑρμῆς Κρόνος Ζεὺς Τοξότῃ, Σελήνη Καρκίνῳ, Ἄρης Παρθένῳ, Ἀφροδίτη ὡροσκόπος Ζυγῷ. νυκτερινῆς οὔσης τῆς γενέσεως εὕρομεν τὴν Σελήνην τριγώνῳ Ἄρεος, αὐτὸν δὲ τὸν Ἄρεα ἀποκεκλικότα καὶ τὸν κλῆρον καὶ τὸν κύριον, ὅθεν τὰ μὲν πρῶτα ταπεινῶς καὶ ἐνδεῶς διήγαγεν αἰχμαλωσίας τε καὶ ὑπηρεσίας πεῖραν ἔλαβεν καὶ πολλοῖς κινδύνοις περιετράπη. τῶν δὲ συναιρετιστῶν ἐν χρηματιστικοῖς τόποις τετευχότων ἐν φιλίαις καὶ συστάσεσι γενόμενος βασιλικὰς πίστεις ἀνεδέξατο. εἶθ’ οὕτως τοῦ ὑψώματος ἐν Λέοντι εὑρεθέντος καὶ τοῦ κυρίου Ἡλίου μεσουρανήσαντος τῷ κλήρῳ ἡγεμονίας καὶ τάξεως ἐξουσιαστικῆς κατηξιώθη. Ἄλλη.

85 Ἥλιος Ἀφροδίτη Αἰγόκερῳ, Σελήνη Ἑρμῆς Τοξότῃ, Κρόνος Σκορπίῳ, Ζεὺς Ζυγῷ, Ἄρης Ὑδροχόῳ, τύχη Κριῷ, ὡροσκόπος Ταύρῳ. καὶ αὕτη ἡ γένεσις κατ’ ἀρχὰς ἀνώμαλος καὶ μέτριος διῆξεν, ἐξ ὑστέρου δὲ ἀνεβιβάσθη καὶ στεμμάτων καὶ ἀρχιερωσύνης μετέσχεν. ἐπὶ τῆς ἀναφορᾶς γὰρ εὑρέθησαν οἱ κύριοι τοῦ τριγώνου, ὁ δὲ τρίτος κύριος τοῦ τριγώνου καὶ ὁ κύριος τοῦ κλήρου μεσουρανῶν· ὁμοίως δὲ καὶ ὁ κύριος τοῦ ὑψώματος κατὰ τὸν κλῆρον μεσουρανῶν καὶ ὁ κύριος τοῦ δαίμονος *** Ἄλλη. Ἥλιος Ἑρμῆς Καρκίνῳ, Σελήνη Ταύρῳ, Κρόνος Ἰχθύσι, Ζεὺς Ἄρης Λέοντι, Ἀφροδίτη Παρθένῳ, ὡροσκόπος Ζυγῷ. καὶ αὕτη ἡ γένεσις λαμπρὰ καὶ ἐπίσημος γέγονεν· ἐπιστεύθη βασιλείας [γὰρ] καὶ ἀρχιερωσύνης κατηξιώθη. εὑρέθη γὰρ ὁ κύριος τοῦ τριγώνου σὺν τῷ κυρίῳ τοῦ δαίμονος ἀγαθοδαιμονῶν καὶ μετὰ τοῦ κλήρου τῆς τύχης καὶ Ἥλιος 〈ὁ〉 κληρωσάμενος τὴν τύχην μεσουρανῶν, ἡ δὲ τοῦ ὑψώματος κυρία Σελήνη κατὰ τὸν κλῆρον μεσουρανοῦσα, ἡ δὲ περιποίησις ἀνώμαλος καὶ ἄστατος, ὁτὲ μὲν ὑπερπλεονάσασα ὁτὲ δὲ ἐνδεής· ἐμαρτύρει γὰρ τῷ τόπῳ Κρόνος καὶ Ἀφροδίτη. Ἄλλη. Ἥλιος Ζεὺς Ἄρης Ἀφροδίτη Σκορπίῳ, Κρόνος Ζυγῷ, Σελήνη Κριῷ, Ἑρμῆς Τοξότῃ, ὡροσκόπος Λέοντι. ὁ κύριος τοῦ ὑψώματος Ἑρμῆς Τοξότῃ εὑρέθη μεσουρανῶν τῷ κλήρῳ καὶ ὕψωσε τὴν γένεσιν περὶ τὸν βίον. ὁμοίως δὲ καὶ οἱ κύριοι τοῦ τριγώνου καὶ τοῦ κλήρου ὑπόγειοι εὑρεθέντες

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐποίησαν θησαυροφύλακα, ἀφιλόδοξον δὲ καὶ ἀπάροχον. Ἄλλη. Ἥλιος Ἑρμῆς Σκορπίῳ, Σελήνη Ὑδροχόῳ, Κρόνος Λέοντι, Ἄρης Ἀφροδίτη Καρκίνῳ, Ζεὺς Παρθένῳ, ὡροσκόπος Τοξότῃ. νυκτερινῆς οὔσης τῆς γενέσεως οἱ κύριοι τοῦ τριγώνου Κρόνος καὶ Ἑρμῆς ἀποκεκλίκασιν, ὅθεν ἀνωμάλισε πολλὰ ἐπὶ τῶν πρώτων χρόνων καὶ ὑπόχρεως διήγαγε, καίτοι γε ὑποστάσεως καλῆς περὶ τοὺς γονεῖς οὔσης. εἶθ' οὕτως ἐξ ὑστέρου κληρονομίας τυχὼν καὶ ἐξ ἀπροσκόπων ἀφορμῶν ἐπαυξηθεὶς τῷ βίῳ φιλόδοξος καὶ ἀρχικὸς καὶ δωρηματικὸς ἐγένετο καὶ ὄχλῳ ἀρεστὸς καὶ βασιλέων καὶ ἡγεμόνων φίλος καὶ ναοὺς καὶ ἔργα κατεσκεύασεν καὶ αἰωνίου μνήμης ἔτυχεν.

86 εὑρέθη γὰρ ὁ κλῆρος τῆς τύχης καὶ τοῦ ὑψώματος Ἰχθύσι καὶ ὁ τούτου κύριος Ζεὺς μεσουρανῶν. Ἄλλη. Ἥλιος Ἑρμῆς Σκορπίῳ, Σελήνη Κριῷ, Κρόνος Παρθένῳ, Ζεὺς Ἰχθύσιν, Ἄρης Λέοντι, Ἀφροδίτη ὡροσκόπος Τοξότῃ. ἔτι νηπία οὖσα ἡ γένεσις ἐκληρονόμησε πλείστην ὕπαρξιν· εὑρέθη γὰρ ὁ περιποιητικὸς τόπος Ἰχθύσι Διὸς ἰδιοτοποῦντος, ἡ δὲ τοῦ τριγώνου ἐπίκοινος Ἀφροδίτη καὶ τοῦ κλήρου καὶ τοῦ ὑψώματος κυρία μοιρικὸς ὡροσκόπος. Ἄλλη. Ἥλιος Ἑρμῆς Αἰγόκερῳ, Σελήνη Κρόνος Τοξότῃ, Ζεὺς Καρκίνῳ, Ἄρης Παρθένῳ, Ἀφροδίτη Ὑδροχόῳ, ὡροσκόπος Ζυγῷ. οἱ κύριοι τοῦ τριγώνου ἐπίκεντροι μὲν εὑρέθησαν, ἀλλὰ ἐναντιούμενοι· ὅθεν ἐν ἀρχαῖς καλῶς ἀχθεῖσα ἡ γένεσις καὶ εὐπορήσασα ἐξ ὑστέρου ἔκπτωτος καὶ ἐνδεὴς εὑρέθη προφάσει ἐμπρησμοῦ καὶ ἁρπαγῆς· καὶ γὰρ ὁ κύριος τοῦ κλήρου Ἄρης ἐν τῷ περιποιητικῷ εὑρέθη ἀποκεκλικὼς καὶ ὑπὸ Κρόνου μαρτυρούμενος. Ἄλλη. Ἥλιος Ἀφροδίτη ὡροσκόπος Ταύρῳ, Σελήνη Ὑδροχόῳ, Κρόνος Καρκίνῳ, Ζεὺς Ζυγῷ, Ἄρης Ἑρμῆς Διδύμοις. ἐν τοῖς πρώτοις χρόνοις φαντασίας μεγάλας καὶ πράξεις καὶ πίστεις πολιτικὰς ἔσχεν· ἔτυχον γὰρ οἱ κύριοι τοῦ τριγώνου ἐπίκεντροι. ἐξ ὑστέρου δὲ καθαιρεθεὶς τῷ βίῳ ἀλήτης γέγονεν· ἠναντιώθη γὰρ τῇ περιποιήσει Ἄρης καὶ Ἑρμῆς, καὶ οἱ κύριοι τοῦ κλήρου καὶ τοῦ περιποιητικοῦ ἀποκεκλίκασι. Ἄλλη. Ἥλιος Ἑρμῆς Διδύμοις, Σελήνη Αἰγόκερῳ, Κρόνος Ἄρης Ὑδροχόῳ, Ἀφροδίτη ὡροσκόπος Καρκίνῳ, Ζεὺς Σκορπίῳ. ὁ τοιοῦτος δοῦλος γεννηθεὶς καὶ εἰς γένος εἰσελθὼν πολιτικὰς ἀρχὰς ἀνεδέξατο καὶ ἐφιλοδόξησεν· εὑρέθησαν γὰρ οἱ κύριοι τοῦ Ἡλίου τοῦ τριγώνου καὶ τοῦ κλήρου καὶ τοῦ ὑψώματος οἰκείως κείμενοι καὶ ὑπὸ Διὸς μαρτυρούμενοι, Ἄρης δὲ καὶ Κρόνος καὶ Ἑρμῆς παρέπεσον· διὸ καὶ ἐμείωσαν τὸν βίον καὶ ὑπόχρεων ἐποίησαν. Ἄλλη. Ἥλιος Ὑδροχόῳ, Σελήνη Ζεὺς Σκορπίῳ, Κρόνος Καρκίνῳ, Ἄρης Ἀφροδίτη Ἑρμῆς Αἰγόκερῳ, ὡροσκόπος Ἰχθύσιν. ὁ τοιοῦτος γέγονεν εὐνοῦχος ἱερεὺς θεᾶς ἐπίσημος· τοῦ γὰρ κλήρου ὁ κύριος εἰς τὸν [περὶ] θεοῦ τόπον ἔτυχε Σκορπίον, οἱ δὲ τῆς αἱρέσεως κύριοι Κρόνος καὶ Ἑρμῆς ἀγαθοδαιμονοῦντες εὑρέθησαν, ἐναντιούμενοι δέ· ὅθεν καὶ ταραχαῖς πλείσταις περιέπεσεν καὶ μειώσεσι καὶ ἀπολογίαις ἡγεμονικαῖς καὶ βασιλικαῖς.

87 〈κβʹ.〉 Περὶ ἐνδόξων καὶ ἐπισήμων γενέσεων · τὸ δὲ αὐτὸ καὶ περὶ ἀδόξων καὶ ἐκπιπτόντω ν . Καὶ τούτους δὲ τοὺς τόπους δυναστικοὺς ὄντας εἰς τὸν περὶ ἐνδόξων καὶ ἐπισήμων γενέσεων ἀναγκαίως ὑπέταξα. ἐὰν ὁ Ἥλιος καὶ ἡ Σελήνη ἐν χρηματιστικοῖς ζῳδίοις ὄντες δορυφορηθῶσιν ὑπὸ τῶν πλείστων ἀνατολικῶν μηδενὸς τῶν κακοποιῶν ἐναντιουμένου, εὐτυχεῖς καὶ ἐνδόξους, ἡγεμονικὰς καὶ βασιλικὰς τὰς γενέσεις ποιοῦσιν· ὁμοίως δὲ καὶ ἐὰν οἱ κύριοι τούτων ὡροσκοποῦντες 〈ἢ〉 ἐπίκεντροι τύχωσιν. ἐὰν τὸ συνοδικὸν ἢ πανσεληνιακὸν ζῴδιον ἢ οἱ τούτων κύριοι τύχωσιν ὡροσκοποῦντες ἢ μεσουρανοῦντες, ἔσονται εὐτυχεῖς οἱ γεννώμενοι. ἐὰν δὲ ἐν τῷ ὑπὸ γῆν εὑρεθῇ ὁ Ἥλιος ἢ ἡ Σελήνη ἢ οἱ πλεῖστοι τῶν ἀστέρων, γίνονται μὲν ἐπίσημοι καὶ πλούσιοι, κακῶς δὲ τὸν βίον καταστρέφουσιν ἢ φθόνοις καὶ αἰτίαις καὶ περιβοησίαις περιτρέπονται. Σαφέστερον δὲ βουλόμενοι τὸν περὶ εὐδαιμονίας τόπον διακρῖναι διὰ πολλῶν καὶ δεδοκιμασμένων αἱρέσεων ἐπιδιασαφήσομεν. ἕκαστον γὰρ εἶδος σχηματογραφίας ἰδίως ἐστὶ δυναστικόν, συγκρινόμενον δὲ ἕτερον πρὸς ἕτερον ἢ ὠφεληθὲν ὕψωσε τὴν δόξαν ἢ κακωθὲν προσεπικατέστρεψεν. ὅθεν οὐχ ὡς ἀναλύοντες τὰς προτέρας

δυνάμεις, ἐπιβεβαιοῦντες δὲ ὑποτάξομεν. καθάπερ οὖν ἐπὶ τοῦ κλήρου προείπομεν, πραγματεύεσθαι δεήσει καὶ τὸν κλῆρον τοῦ δαίμονος, ὃς εὑρίσκεται ἡμέρας μὲν ἀπὸ Σελήνης ἐπὶ Ἥλιον, νυκτὸς δὲ ἀπὸ Ἡλίου ἐπὶ Σελήνην καὶ τὰ ἴσα 〈ἀφ'〉 ὡροσκόπου, καὶ τὸν τούτου κύριον καὶ τόπον συνορᾶν ὅπως ἔτυχεν· ὁμοίως δὲ καὶ τὸν κλῆρον τῆς βάσεως, ὃς εὑρίσκεται ἀπὸ τύχης ἐπὶ δαίμονα καὶ ἀπὸ δαίμονος ἐπὶ τύχην καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου· τὸν μέντοι ἑβδομαδικὸν ἀριθμὸν οὐχ ὑπερθήσει ἐπί τε τῶν νυκτῶν καὶ ἡμερῶν, ἀλλὰ ἀπὸ τοῦ ἐγγίονος κλήρου ἐπὶ τὸν ἕτερον κλῆρον δεῖ λαμβάνειν καὶ συγκρίνειν τόν τε τόπον καὶ τὸν οἰκοδεσπότην.

88 Ἐὰν οὖν οἱ οἰκοδεσπόται ἐναλλάξωσι τοὺς τόπους, οἷον ὁ τοῦ κλήρου τῆς τύχης γένηται ἐν τῷ τῆς βάσεως τόπῳ, ὁ δὲ τῆς βάσεως ἐν τῷ τοῦ δαίμονος, ὁ δὲ τοῦ δαίμονος ἐν τῷ τῆς τύχης τόπῳ, ὁ τοιοῦτος εὐτυχὴς βασιλικὸς ἐπίσημος. ἐὰν δὲ τῷ τοῦ δαίμονος τόπῳ ὁ τῆς βάσεως κύριος γένηται συμπαρόντος καὶ τοῦ κυρίου τοῦ δαίμονος, εὐτυχὴς μεγαλόφρων. ἐὰν δὲ οἱ κύριοι τοῦ τε δαίμονος καὶ τῆς τύχης καὶ τῆς βάσεως ἰδιοτοπῶσι, καὶ οὕτως εὐτυχὴς ὁ γεννώμενος. ἐὰν δὲ ὁ δαίμων εὑρεθῇ μεθ' Ἡλίου καὶ ὁ τούτου κύριος ἀνατολικός, ὁ τοιοῦτος ἔσται εὐτυχής· ὁμοίως κἂν Ἀφροδίτη κυριεύσῃ τύχης ἢ δαίμονος ἢ βάσεως καὶ εὑρεθῇ ἀνατολὴν ἔχουσα καὶ ἰδιοτοποῦσα, ὁ τοιοῦτος εὐτυχής. ἐὰν ὁ κύριος ἐν τῇ βάσει ἐπῇ καὶ τούτῳ συμπαρῇ Σελήνη, ὁ τοιοῦτος εὐτυχὴς ἔσται καὶ ἐπίσημος. ἐὰν δὲ ὁ κύριος τῷ δαίμονι ἐπῇ καὶ τούτῳ συμπαρῇ Ἥλιος, εὐτυχὴς ἐπίσημος τυραννικός. Ἐὰν δὲ Ἄρης δαίμονι γενόμενος εὑρεθῇ ἐν τόποις Σελήνης καὶ αὐτῆς συμπαρούσης, ἀρχικὴ ἡγεμονικὴ ἔνδοξος ἡ γένεσις· ἐὰν δὲ ὁ τοῦ Ἑρμοῦ δαίμονι γενόμενος ἀνατολικὸς εὑρεθῇ ὑπὸ ἀγαθοποιῶν μαρτυρούμενος ἐν τόποις τῆς Σελήνης, ὁ τοιοῦτος εὐτυχήσει ἀπὸ γραμμάτων καὶ παιδείας πολύφιλος πολύγνωστος ὑπάρχων τιμῶν τε καὶ δωρεῶν καὶ δόξης καταξιωθήσεται καὶ ὑπὸ πολλῶν μακαρισθήσεται. ἐὰν δὲ Ζεὺς τοῦ δαίμονος κυριεύσῃ καθυπερτερηθεὶς ὑπὸ Ἄρεος, ὁ τοιοῦτος οὐκ ἔσται μὲν ἀτυχής, πρακτικὸς δὲ καὶ ἔνδοξος· ἐναντιώμασι δὲ περιτραπεὶς καθαιρεθήσεται ἢ ἀπαγωγῆς ἢ φυγαδείας πεῖραν λήψεται. ἐὰν δὲ ὁ κύριος τῷ δαίμονι συμπαρῇ ἀνατολικὸς σὺν τῇ Σελήνῃ, εὐτυχὴς ὁ τοιοῦτος καὶ πλούσιος καὶ μεταδοτικός. ἐὰν ὁ Ἥλιος ἐπῇ τῷ δαίμονι τῆς οἰκείας αἱρέσεως ὑπάρχων τοῦ οἰκοδεσπότου ἰδιοτοποῦντος, ἔνδοξος εὐσχήμων πολύφιλος· ἐὰν δὲ ἀλλοτρίας, ἐξ ὑστέρου εὐτυχήσει μετὰ τοὺς τοῦ ἀντιδίκου χρόνους. Ἐὰν οἱ κύριοι τοῦ τε δαίμονος καὶ τῆς τύχης εὑρεθῶσιν ἐν τῷ τῆς βάσεως τόπῳ συμπαρόντος καὶ τοῦ οἰκοδεσπότου, λαμπρὰ καὶ ἐπίδοξος ἡ γένεσις ἔσται.

89 ὁμοίως δὲ καὶ ἐὰν ὁ τῆς βάσεως κύριος καὶ τῆς τύχης ἐν τῷ δαίμονι εὑρεθῶσι [παρ' ἓν ὦσι] συμπαρόντος καὶ τοῦ οἰκοδεσπότου, μεγάλη ἡ γένεσις καὶ εὐτυχής. ὅσοι δὲ ἔχουσι τὸν κύριον τῆς τε τύχης καὶ τοῦ δαίμονος ἀνατολικοὺς καὶ ἰδιοτοποῦντας καὶ ὑπὸ Ἡλίου καὶ Σελήνης μαρτυρουμένους, ἔνδοξοι καὶ ἐπίσημοι γενήσονται καὶ ἐγγὺς βασιλέων ἢ ἱερῶν ἀναστρεφόμενοι καὶ δωρεῶν καὶ δόξης καταξιούμενοι. ἐὰν δὲ Ἀφροδίτη κυριεύσασα τοῦ κλήρου ἢ τοῦ δαίμονος σὺν τῷ Ἡλίῳ καὶ Σελήνῃ εὑρεθῇ καὶ τούτων κυριεύσας τις τῶν λοιπῶν ἀστέρων μὴ ἰδιοτοπῇ ἀλλὰ παραπέσῃ, σκληροτυχὴς ὁ τοιοῦτος καὶ δυσεπίτευκτος 〈ἐν〉 τοῖς ἐγχειρουμένοις. ἐὰν δέ τινες αὐτῶν ἰδιοτοπήσωσι, μετὰ μεγάλων ἀνδρῶν ἀναστρέφουσιν ἢ ἐν βασιλικαῖς αὐλαῖς πίστεις ἀναδέξονται, εἰς δὲ τὸν περὶ γυναικὸς τόπον ἐπίλυποι καθίστανται ἢ ἄτεκνοι. ἐὰν ὁ κύριος τῆς τύχης ἢ τῆς περιποιήσεως μὴ τύχωσιν ἐν ἰδίοις οἴκοις ἢ ὑψώμασι 〈ἢ〉 τριγώνοις ἢ μοίραις ὄντες ἐπίκεντροι ἢ προσθετικοί, καθαιροῦσι τὰς γενέσεις· μάλιστα μὲν οὖν τυχόντες κακοποιοὶ μαρτυροῦντες τοῖς τόποις ἢ ἐναντιούμενοι· ἐὰν δὲ ἀγαθοποιοὶ τύχωσιν ἐπίκεντροι ἀνατολικοὶ καὶ προσθετικοί, λαμπροὺς καὶ ἐπιδόξους ποιοῦσι τοὺς γεννωμένους· ἐὰν δὲ ἐπὶ τῶν ἐπαναφορῶν, ἀφ' ἑαυτῶν ἀνάγονται. Ἐὰν τοῦ κλήρου τῆς τύχης καλῶς πεσόντος καὶ τοῦ δαίμονος καὶ τῆς βάσεως ἡ περιποίησις κακωθῇ, ἐν προβάσει τῆς

ἡλικίας μειοῦσι τὰς ὑπάρξεις. ἐὰν δὲ ἡ τύχη παραπέσῃ καὶ κεκακωμένη ᾖ, ἡ δὲ περιποίησις καλῶς πέσῃ, ἀπὸ νέας ἡλικίας κρείττονες γίνονται. ἐὰν ὁ τῆς τύχης κύριος ἢ ὁ τῆς περιποιήσεως ἐπὶ τῶν κάτω κέντρων ἢ ἐπαναφορῶν τύχῃ, ἐν προβάσει τῆς ἡλικίας τὰς εὐπορίας καὶ τὰς δόξας περιτίθησιν. οἱ κακοποιοὶ ἐπὶ τῆς περιποιήσεως ἐφεστῶτες ἢ ἐναντιούμενοι τοῦ τόπου ἀκέντρου ὄντος ἀλλότριοι τῆς γενέσεως καὶ ζῳδίων καὶ μοίρας ἀλλοτρίας, φθορὰς τῶν ὑπαρχόντων ποιοῦσι, καὶ ἐὰν ὁ κλῆρος τῆς τύχης καλῶς πέσῃ καὶ ὁ κύριος αὐτοῦ. Ὅταν ὁ κύριος τῆς τύχης καὶ ὁ τῆς περιποιήσεως ἐναντίοι πέσωσιν, ἐὰν μὲν ἀγαθοποιοὶ ὦσι, τὰς ὑπάρξεις πεφαντασιωμένας ποιοῦσι καὶ ἐπισάθρους καὶ ἐπικινδύνους· ἐὰν δὲ κακοποιοὶ ὦσιν, ἐκπτώσεις ποιοῦσιν.

90 ἐὰν ἡ περιποίησις ἐναντία τῷ δαίμονι γένηται, ἐκπτώσεις τῶν πράξεων καὶ μειώσεις καὶ βλάβας παρέχουσιν, ἐὰν μὴ ἔχωσιν ἀγαθοποιοὺς ἐπικειμένους. ὁ τῆς περιποιήσεως κύριος ἐναντιούμενος τῷ περιποιήματι κενοῖ τὰς ὑπάρξεις· ἐὰν οὖν κακοποιὸς τύχῃ, ἔτι χεῖρον. οἱ δὲ ἀγαθοποιοὶ ἀφαιροῦντες τὰ αὐτὰ ἀπεργάζονται, ἐπὶ τούτοις δὲ καὶ ἐκπτώσεις ποιοῦσιν. ἐὰν τῶν οἰκοδεσποτῶν ἡ περιποίησις ἐναντία πέσῃ μάλιστα ὄντων κακοποιῶν καὶ μηδὲ τῆς αἱρέσεως ὄντων, ἐγγὺς ἐκπτώσεως ἔρχονται. ἐὰν τῇ περιποιήσει Ἄρης ᾖ ἐφεστὼς ἢ διάμετρος, εἰς ἡδονὰς καὶ μέθας ἀναλίσκουσι τὰ περικτηθέντα. ὁμοίως καὶ ἐὰν ὁ κύριος τῆς περιποιήσεως ἐναντίος αὐτῷ γένηται, τῷ βίῳ πολυδαπάνους· ὁμοίως καὶ ἐὰν ᾖ αὐτὸς ὁ κύριος τῆς περιποιήσεως ἀφαιρῶν τῷ ἀριθμῷ ἢ ἄκεντρος ὢν ἢ μοίρας ἀλλοτρίας ἢ οἶκον ἔχων. 〈κγʹ.〉 Περὶ κλήρου δάνου ς . Ἐὰν ὁ περὶ δάνους κλῆρος πέσῃ *** ἢ ὁ κύριος αὐτοῦ εἰς τὰ τετράγωνα ἢ διάμετρα αὐτοῦ κακοποιῶν ἐφορώντων ἢ ἐναντίων ὄντων ἢ καθυπερτερούντων, καταχρέους ποιεῖ τὰς γενέσεις. ἀριθμεῖται δὲ ὁ κλῆρος ὁ περὶ δάνους ἀπὸ Ἑρμοῦ ἐπὶ Κρόνον καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου. ἐκ τῶν οὖν ἐμπεπτωκότων κλήρων ἢ τῶν ἐφεστώτων ἀστέρων τῇ περιποιήσει ἢ διαμετρούντων ἢ τετραγώνων πρὸς τὸν κλῆρον αὐτὸν ὁ τρόπος τῆς ὑπάρξεως τοῦ γεννωμένου πρόδηλος· ὁμοίως καὶ ἀπὸ τῶν ἐν τῇ τύχῃ ἢ δαίμονι ἐφεστώτων ἀστέρων ἢ τῶν κλήρων τῶν συνεμπιπτόντων αὐτοῖς [καὶ τῶν κλήρων] καὶ τῶν κυρίων αὐτῶν. μάλιστα δὲ ὁρώντων τὸν περὶ ἐνέδρας κλῆρον καὶ τὸν περὶ κλοπῆς, εἰ πρὸς τὴν περιποίησιν ἢ τύχην ἢ τὸν δαίμονα ἢ τὸν βίον λόγον τινὰ ἔχουσιν ἢ πρὸς τοὺς κυρίους τούτων τῶν κλήρων· δυνατὸν δὲ μὴ ἔχειν *** οὐκ ἐξ ὑγιοῦς τὰς κτήσεις ποιοῦσιν. ἐὰν γὰρ μὴ ἔχωσι λόγον οἱ προκείμενοι τόποι πρὸς τὴν περιποίησιν ἢ τύχην ἢ τὸν βίον ἢ τὸν δαίμονα, καθαιρεῖ τὰ τοῦ βίου τοῦ γεννωμένου ἢ τὰ τῆς ὑπάρξεως.

91 εἰ δὲ λόγον τινὰ ἔχουσι πρὸς αὐτούς, ἀπὸ πανουργίας καὶ ἐνέδρας καὶ ἐπιβουλῆς τινος καὶ βίας καὶ κλοπῆς καὶ ἐπιθέσεως εὑρήσεις τὰ τῆς ὑπάρξεως ὄντα. 〈κδʹ.〉 Κλῆρος κλοπῆ ς . Ἀριθμεῖται δὲ ὁ περὶ κλοπῆς ἐπὶ μὲν ἡμερινῆς γενέσεως ἀπὸ Ἑρμοῦ ἐπὶ Ἄρεα καὶ τὰ ἴσα ἀπὸ Κρόνου, ἐπὶ δὲ νυκτερινῆς γενέσεως ἀπὸ Ἄρεως ἐπὶ Ἑρμῆν καὶ τὰ ἴσα ἀπὸ Κρόνου. 〈κεʹ.〉 Κλῆρος ἐνέδρα ς . Τὸ δὲ περὶ ἐνέδρας ἡμέρας μὲν ἀπὸ Ἡλίου ἐπὶ Ἄρεα καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου, νυκτὸς δὲ τὸ ἐναλλάξ. καὶ ἐὰν ὁ τοῦ κλήρου τῆς τύχης ἢ τῆς περιποιήσεως ἢ τοῦ δαίμονος ὁ κύριος εἰς τὸ περὶ ἐνέδρας ἢ κλοπῆς τύχῃ, ἀπὸ βίας καὶ πανουργίας ἤ τινος ὠφελείας ἕξουσι τοὺς βίους. καὶ ἐὰν οἱ κύριοι πάντων τῶν προκειμένων ὁμοῦ πέσωσι, ταὐτὰ ποιοῦσι. καὶ ἐὰν ὁ κύριος τῆς ἐνέδρας ἢ τῆς κλοπῆς ἐπὼν ἢ τῷ κλήρῳ τῆς τύχης ἢ δαίμονος ἢ περιποιήσεως, εὑρίσκεται ἐκ τούτων τὰ τοῦ βίου. ἐὰν δὲ ἀγαθοποιοὶ τοῖς τόποις μαρτυρῶσι καὶ μάλιστα ἰδιοτοποῦντες ἢ τῆς αἱρέσεως ὄντες, εὐπροαίρετοι καθίστανται· ἐὰν δὲ κακοποιοὶ διάμετροι ἢ τετράγωνοι μαρτυρῶσι, συννοητέος ὁ τρόπος. Ὅσαι δὲ μετὰ τὴν εὐτυχίαν καθαιροῦνται ἢ ἐκπίπτουσιν, ὑποδείξομεν. ἐὰν ὁ περὶ ἀξίας καὶ ὑψώματος τόπος ἐναντίους ἔχῃ κακοποιοὺς μὴ προσήκοντας τῇ γενέσει ἢ ὁ κύριος αὐτοῦ μὴ μαρτυρῆται ὑπὸ Διός, μάλιστα τῶν φώτων ἀποκεκλικότων ἢ τῆς Σελήνης κεκακωμένης, ἐν καθαιρέσει τὰ τῆς δόξης καὶ τὰ τῆς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπιφανείας γενήσεται. ὁ κύριος τοῦ κλήρου τῆς τύχης ἐναντιούμενος τῷ ὑψώματι ἢ τῷ κυρίῳ τοῦ ὑψώματος ἐπισφαλεῖς τὰς δόξας καὶ τὰς ἐπιφανείας ποιεῖ. ὁμοίως καὶ ὁ τοῦ δαίμονος καὶ οἱ κλῆροι πρὸς ἑαυτοὺς ἀηδεῖς καὶ καθαιρετικοὶ δόξης τυγχάνουσι. καὶ ἐὰν τοῦ κλήρου τοῦ ὑψώματος ὁ τόπος καὶ ὁ περὶ ἐπιτιμίας ἐναντίοι πέσωσι καὶ ὑπὸ κακοποιῶν ὁρῶνται ἢ οἱ κύριοι αὐτῶν ἢ οἱ κλῆροι, ἑαυτοὺς κακοῦσι καὶ ἐν ἀτιμίαις καὶ καθαιρέσεσιν ἢ ὕβρεσί τισι γενήσονται οἱ γεννώμενοι.

92 καὶ ἐὰν ὁ κύριος τοῦ κλήρου τῆς τύχης ἢ τοῦ δαίμονος ἢ τοῦ ὑψώματος τῷ περὶ ἐπιτιμίας ἐναντίος πέσῃ ἢ τῷ κλήρῳ ἢ τῷ κυρίῳ αὐτοῦ ἢ καθυπερτερούμενος ὑπὸ κακοποιῶν ἢ μαρτυρούμενος, ἐν καθαιρέσει καὶ ὕβρει γίνονται οἱ γεννώμενοι. ὁμοίως καὶ ἐπὰν τῷ κλήρῳ μάλιστα τῷ περὶ ἐπιτιμίας κακοποιὸς μαρτυρήσῃ, καθαιρέσεις βίων καὶ ἀξιῶν ἐποίσει τῷ γεννωμένῳ, καὶ μάλιστα ἐπίκεντρος ὤν· ἔκδηλα γὰρ οὕτως καὶ ἐκφανῆ τὰ κακὰ γίνεται τοῖς γεννωμένοις. Κακὰ τὰ φῶτα ἐναντιούμενα τοῖς ὑψώμασιν ἢ τῷ κυρίῳ τοῦ ὑψώματος, μάλιστα κεκακωμένα καὶ μὴ ὄντα τῆς αἱρέσεως ἢ καὶ τὸ ἕτερον αὐτῶν· ἀτιμίας γὰρ καὶ καθαιρέσεις παρέχουσι ταῖς γενέσεσιν. ἐὰν τὸ ὕψωμα τύχῃ ἐν τῷ μεσουρανήματι καὶ ᾖ κακοποιὸς ἐν τῷ ὑπὸ γῆν ἡμισφαιρίῳ, ἐπὶ τῆς πρώτης ἡλικίας προκόψαντες καὶ τιμηθέντες ὑπὸ πολλῶν, μάλιστα ἀγαθοποιοῦ ἐπιθεωροῦντος, ὕστερον καθαιρεθήσονται. ἐὰν δὲ ἐναλλὰξ γένηται, ἐν τῇ πρώτῃ ἡλικίᾳ δυστυχήσαντες ὕστερον ἐπιφανεῖς ἔσονται. ἐὰν δὲ ὁλοτελῶς κακωθῶσιν οἱ τόποι, ἀπὸ νεότητος δυστυχίαν σημαίνουσι τῷ γεννωμένῳ, ὥσπερ καὶ ἀγαθοποιῶν μαρτυρούντων τοῖς τόποις ἀγαθῶν πρόδηλα γενήσεται κατὰ τὰς τῶν ζῳδίων καὶ ἀστέρων τοποθεσίας. ἐὰν πάλιν τύχῃ ὁ δαίμων τῷ ὑψώματι ἐναντιούμενος, ἐν καθαιρέσει τὰς γενέσεις ποιεῖ. ὅταν ἐπὶ γενέσεως οἱ πλεῖστοι τόποι κακωθῶσιν ἢ οἱ κύριοι αὐτῶν αἵ τε σύνοδοι ἢ πανσέληνοι ἢ ὁ περὶ ἐπιτιμίας κλῆρος [ἢ] τὸν περὶ δίκης ἢ ἔχθρας ἢ ἀνάγκης κλῆρον ἔχωσι συνεμπίπτοντα ἢ διάμετρον ἢ τετράγωνον, ἐν μεγάλαις στάσεσι γίνονται καὶ εἰς ἐπιτιμίαν βλάπτονται. ἐὰν ὀλίγοι ὦσιν οἱ κακοποιοὶ ἢ ὁ περὶ ὑψώματος τόπος ἢ ὁ κύριος αὐτοῦ, ἀπρόκοποι καὶ ἀλαμπεῖς καὶ ἐν καταγνώσει οἱ γεννώμενοι διατελοῦσι. τῷ περὶ ἀξιώματος τόπῳ κακοποιοὶ ἐναντιούμενοι ἢ καθυπερτεροῦντες καθαιρέσεις ἐπιφέρουσι ταῖς γενέσεσιν.

93 ἐὰν ὁ κύριος τοῦ ὑψώματος καὶ ὁ κύριος τοῦ ἀξιώματος ἐναντίοι πέσωσιν ἑαυτοῖς οἵ τε κλῆροι ἢ οἱ δεσπόται αὐτῶν, ἐν καταγνώσει γίνονται οἱ γεννώμενοι. ἐὰν Ζεὺς τῷ ὑψώματι εἴη ἐπικείμενος ἐπίκεντρος ἢ κύριος γένηται κέντρου, ἐπιφανεῖς ἄνδρας ποιεῖ. ἐὰν δὲ ἐν Ἄρεως τύχῃ ζῳδίῳ ἢ μοίρᾳ ἢ συνὼν ἰδίοις ζῳδίοις, ζωῆς καὶ θανάτου κυριεύσουσιν οἱ γεννώμενοι. ὅθεν οἱ προκείμενοι τόποι καὶ ἀστέρες ἐν χρηματιστικοῖς ζῳδίοις εὑρισκόμενοι λαμπρὰς ἡγεμονικὰς βασιλικὰς γενέσεις ποιοῦσιν, ἐπὶ δὲ τῶν μέσων ζῳδίων εὐσχήμονας ἐπιδόξους ἀρχικούς, ἐπὶ δὲ τῶν ἀποκλιμάτων εὐπόρους πρακτικοὺς ὑπὸ ἑτέρων ἐξουσίας τεταγμένους, πίστεων καὶ τάξεων καταξιουμένους. 〈κϛʹ.〉 Τῶν προκειμένων τόπων ὑποδείγματ α . Ἔστω δὲ ἐπὶ ὑποδείγματος Ἥλιος Σελήνη Ζεὺς Ἑρμῆς Λέοντι, Κρόνος ὡροσκόπος Ζυγῷ, Ἄρης Ὑδροχόῳ, Ἀφροδίτη Καρκίνῳ. ὁ τοιοῦτος εὐτυχὴς ἡγεμονικὸς τυραννικὸς βασιλικὴν τύχην κεκτημένος καὶ ἐν περιουσίᾳ μεγάλῃ κατασταθείς. ἐν τῷ αὐτῷ γὰρ ἐξέπεσεν ὅ τε κλῆρος τῆς τύχης καὶ ὁ δαίμων καὶ ἡ βάσις· ἡ δὲ τούτων κυρία Ἀφροδίτη μεσουρανοῦσα Καρκίνῳ, ὁ δὲ τοῦ τριγώνου κύριος καὶ τοῦ ὑψώματος εὑρέθησαν ἀγαθοδαιμονοῦντες ἐν τῇ περιποιήσει. Ἄλλη. Ἥλιος Ἑρμῆς Ἀφροδίτη ὡροσκόπος Λέοντι, Κρόνος Ταύρῳ, Ζεὺς Τοξότῃ, Ἄρης Ζυγῷ, Σελήνη Παρθένῳ. ὁ τοιοῦτος ἡγεμονικὸς ζωῆς καὶ θανάτου κύριος· οἰκείως γὰρ οἱ ἀστέρες εὑρέθησαν. Ἄλλη. Ἥλιος Σελήνη Ζεὺς ὡροσκόπος Κριῷ, Κρόνος Ἀφροδίτη Ὑδροχόῳ, Ἄρης Διδύμοις, Ἑρμῆς Ἰχθύσιν. ὁ τοιοῦτος ἡγεμονικὸς τυραννικός· ἐπίκεντροι γὰρ καὶ ὡροσκοποῦντες οἱ κύριοι τοῦ τριγώνου εὑρέθησαν καὶ εἰς τὸ αὐτὸ καὶ ὁ κλῆρος καὶ ὁ δαίμων καὶ ἡ βάσις καὶ τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὕψωμα ἐξέπεσεν. ὁ δὲ τούτων κύριος Ἄρης ἐκπαραπεσὼν καὶ ἀμαρτύρητος τῷ ⟨γʹ⟩ τόπῳ ἐναντία καὶ φυγαδείαν καὶ βιαιοθανασίαν ἐποίησεν· ἦν γὰρ καὶ τῆς συνόδου κύριος.

94 Ἄλλη. Ἥλιος Ζεὺς Ἀφροδίτη Ἰχθύσι, Σελήνη Ζυγῷ, Ἄρης Καρκίνῳ, Ἑρμῆς Ὑδροχόῳ, Κρόνος Σκορπίῳ, ὡροσκόπος Λέοντι. ὁ τοιοῦτος ἔνδοξος ἐξουσιαστικός· ἐδορυφορήθη γὰρ ὁ Ἥλιος ὑπὸ τῶν ἀγαθοποιῶν καὶ εὑρέθη ἐπικείμενος τῷ κλήρῳ τῆς τύχης σὺν τῷ οἰκοδεσπότῃ. ἐπεὶ δὲ οἱ συναιρετισταὶ τοῦ τριγώνου παρέπεσον καὶ ὁ κύριος τοῦ δαίμονος ἀπόστροφος, ἔκπτωτος ἐγένετο καὶ ἑκὼν μετέστη. ἠναντιώθη δὲ καὶ τῇ περιποιήσει Ἄρης καὶ ὁ τοῦ ὑψώματος κύριος οὐκ ἔσχε τόπον ἐπιτήδειον, ἀλλ’ ὑπὸ Κρόνου καθυπερτερηθεὶς ἐκακώθη. ὅθεν, καθὼς προεῖπον, ἐὰν τὰ πλείονα σχήματα ἢ οἱ τούτων κύριοι ἐπιτόπως εὑρεθῶσι, καὶ ἐν δόξῃ καὶ βίου φαντασίᾳ γενήσονται· ἐὰν δὲ οἱ μὲν παραπέσωσιν οἱ δὲ οἰκείως εὑρεθῶσιν, ἀνεπίμονα τὰ τῆς δόξης καὶ τῆς τύχης γενήσεται. ⟨κζʹ.⟩ Περὶ χρόνων ἐμπράκτων καὶ ἀπράκτων καὶ ζωῆς τοῦ ἐκ τῶν κέντρων καὶ ἐπαναφορῶ ν . Οἱ δὲ χρόνοι καταληπτέοι ἔσονται τῆς εὐτυχίας ἢ δυστυχίας ἀνωμαλίας τε καὶ εὐπραξίας ἐκ τῆς ἑκάστου ζῳδίου ἀναφορᾶς ἢ τῆς τοῦ ἀστέρος κυκλικῆς περιόδου. περὶ μὲν γὰρ χρόνων ζωῆς ζητοῦντας δεῖ προσέχειν τῷ ὡροσκόπῳ καὶ Σελήνῃ ἢ τῷ ζῳδίῳ, ἐφ’ ᾧ οἱ κύριοι πάρεισι, πρὸς δὲ πρᾶξιν καὶ δόξαν τῷ κλήρῳ τῆς τύχης καὶ δαίμονι καὶ Ἡλίῳ ἢ συνόδῳ ἢ πανσελήνῳ τῷ τε ὑψώματι καὶ τῷ τούτου κυρίῳ. ἄρξουσι δὲ τοῦ πρώτου χρόνου κυριεύειν οἱ ἐπόντες πρώτῳ λόγῳ τῷ ὡροσκόπῳ, ἔπειτα οἱ ἐν τῷ μεσουρανήματι ἢ ἐν τῷ δύνοντι ἢ ἐν τῷ ὑπογείῳ. ἐὰν δὲ οἱ τόποι οὗτοι τύχωσι κενοί, οἱ ἐπὶ τῶν ἐπαναφορῶν· τούτων δὲ κενῶν τυχόντων οἱ ἐν τοῖς ἀποκλίμασι, καὶ εἰ μὴ τοσοῦτον σθένουσι, πλὴν τὰ πράγματα διοικονομήσουσι. πρότερον δὲ οἱ τοῦ ὡροσκόπου ἢ τοῦ μεσουρανήματος ἀπονενευκότες μεριοῦσιν, εἶθ’ οὕτως οἱ ἐν τοῖς λοιποῖς ἀποκλίμασιν· οὐ μέντοι τελέας τὰς ἀναφορὰς ἢ τὰς περιόδους, ἀλλ’ ὅσον μέρος τοῦ ζῳδίου διακατέχειν δύνανται, πρὸς ἀναλογίαν τοσοῦτον καὶ τῆς περιόδου καὶ τῆς ἀναφορᾶς.

95 οἱ γὰρ ἐπὶ τῶν κέντρων ἢ τῶν ἐπαναφορῶν οἰκείως σχηματισθέντες τε καὶ ἀνατολικοὶ εὑρεθέντες, μάλιστα δὲ λόγον ἔχοντες πρὸς τὰ τῆς γενέσεως πράγματα ἅτινά ἐστιν, ἐπὰν τῶν προκειμένων τόπων δεσπόζωσι, καὶ τὴν τοῦ ζῳδίου ἀναφορὰν καὶ τὴν ἰδίαν περίοδον μεριοῦσιν ἢ τὴν ἐφ’ ὧν πάρεισι ζῳδίων οἱ κύριοι ἀναφορὰν καὶ περίοδον. Ὁμοίως δὲ καὶ τοὺς λοιποὺς τόπους καὶ τοὺς δεσπότας ζητοῦντας δεῖ συγκρίνειν τοὺς χρόνους, οἷον περὶ βίου ἀδελφῶν γονέων τέκνων καὶ τὰ ἑξῆς, τοὺς καταβλάπτοντας ἀστέρας ἢ ὠφελοῦντας καὶ περὶ τίνων ἕκαστος δύναται ἀποτελεῖν, ἵνα μὴ περὶ τῶν αὐτῶν πλειστάκις γράφωμεν· πρόκεινται γὰρ αὐτῶν αἱ φύσεις, ὑπομιμνήσκομεν δὲ καὶ πάλιν ἐν τοῖς μετὰ ταῦτα. πρότερον μὲν οὖν χρὴ τοῦ κυρίου τὴν ἐλαχίστην περίοδον μερίζειν καὶ τὴν τοῦ ἐπικειμένου, εἶθ’ οὕτως τὴν ἀναφορὰν τοῦ ζῳδίου ἢ τὴν ἐφ’ ᾧ ὁ κύριος ἔπεστιν· ἄλλως τε καθὼς προείπαμεν σκοπεῖν τοὺς οἰκοδεσποτοῦντας τοῦ τριγώνου. ἐὰν μὲν γὰρ ἀμφότεροι καλῶς πέσωσιν, ἐπίδοξα καὶ ἐπωφελῆ τὰ τῶν χρόνων γενήσεται· ἐὰν δὲ ἀπὸ μέρους, ὁμοίως· ἐὰν δὲ παραπέσωσιν, ἐξ ἀρχῆς μέχρι τέλους ἀνώμαλος ἡ γένεσις ἔσται ἢ λύπαις καὶ κινδύνοις περιτραπήσεται, ἐκτὸς εἰ μὴ ὁ κλῆρος τῆς τύχης ἢ ὁ τούτου κύριος οἰκείως σχηματισθεὶς ἐν εὐπορίᾳ καὶ δόξῃ κατὰ τὴν ἰδίαν ὑπόστασιν καταστήσει τὴν γένεσιν. ἐὰν δὲ δύο ἢ πλείους ἀστέρες ἐν ἑνὶ ζῳδίῳ τύχωσιν, ἑκάστου μὲν ⟨ἡ⟩ περίοδος κατὰ μόνας συμπληρουμένη ἐνεργήσει, τὸ δὲ ἀποτέλεσμα ἡ δύο ἢ τριῶν ἀστέρων σύγκρασις δηλώσει· ὁμοίως δὲ καὶ ἡ ἀναφορὰ τοῦ ζῳδίου συμπληρωθεῖσα κατὰ μόνας καὶ πάλιν σὺν τῇ περιόδῳ τοῦ ἐπικειμένου ἀστέρος ἢ τοῦ κυρίου ἐνεργήσει. ἐὰν δέ πως ἐκ τῶν ἀναφορῶν καὶ τῶν περιόδων οἱ τοιοῦτοι χρόνοι συντρέχωσιν ἢ ἀγαθοποιῶν ἢ κακοποιῶν ἀστέρων ἢ ζῳδίων, ἀμφότερα γενήσεται [οὐ] κατ’ ἐκεῖνον τὸν χρόνον τά τε φαῦλα καὶ τὰ ἀγαθά. ⟨κηʹ.

96

Eulogikon public reading copy · View original HTML at eulogikon.org

〉 Περὶ ἀποδημίας ἐκ τῶν Ἑρμίππο υ . Τὸν περὶ ἀποδημίας τόπον δύσληπτον ὄντα οὔτε Πετόσιρις οὔτε ὁ γνώριμος βασιλεὺς ἐν τοῖς ὑπομνήμασιν ἑαυτῶν ἐξεῖπον, ἢ μόνον εἰς τὸν τόπον τοῦτον τοῦτο εἰρήκασιν· εἰς τοὺς χρόνους εἴ τις τῶν κακοποιῶν ἔχει φάσι ν , ἐν ἀποδημίαις καὶ σκυλμοῖς ποιήσει τὴν γένεσι ν. ὅ ἐστιν ἀληθές· περαιτέρω δὲ τούτων οὐδὲν ἄλλο εἰς τὸν περὶ ξένης τόπον ἔχουσιν. ὁ δὲ θαυμασιώτατος Ἄβραμος ἐν τοῖς βιβλίοις αὐτοῦ τούτου τοῦ τόπου δέδειχεν ἡμῖν ἀλληλόσοά τε καὶ αὐτὸς ἰδίᾳ ἄλλα ἐξευρών τε καὶ δοκιμάσας ἐπὶ τῶν ἀποδηματικῶν μάλιστα γενέσεων· αἵτινες ἔχουσι θεωρήματα τάδε. τὰ φῶτα δύνοντα Ἄρης ἢ τὸν κλῆρον τῆς τύχης ὁρῶν εἰς τὸ ἀπόκλιμα τοῦ μεσουρανήματος ἢ τὴν Σελήνην ἢ τοὺς πλείστους τῶν ἀστέρων εἰς τὸ ὑπόγειον ἡμισφαίριον ἢ 〈εἰ〉 ὁ τῆς τύχης κύριος εἰς τὸν περὶ ξένης κλῆρον ἢ τὸν τόπον εὑρίσκοιτο ἢ καὶ διάμετρος πρὸς αὐτοὺς ἢ καὶ αὐτὴ ἡ τύχη πέσῃ, ὅπου ὁ κλῆρος ὁ περὶ ἀποδημίας, καὶ τῷ κλήρῳ δὲ Ἄρης ᾖ ἐπικείμενος ἢ τὸν τόπον ὁρῶν, ἀποδηματικὰς ποιεῖ γενέσεις· ὁμοίως καὶ τὴν τύχην ἢ δαίμονα. 〈κθʹ.〉 Περὶ ἀποδημία ς . Ἀριθμεῖται δὲ ὁ περὶ ξένης κλῆρος ἀπὸ Κρόνου ἐπὶ Ἄρεα καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου. καὶ ταῦτα μὲν τὰ θεωρήματα εὐκινήτους γενέσεις ποιεῖ· τίσι δὲ καὶ καιροῖς καὶ χρόνοις ἔσονται 〈αἱ〉 ἀποδημίαι ταῖς τοιαύταις γενέσεσι, τὰ σχήματα δηλώσει τὰ ὑπὸ Ἀβράμου λεγόμενα. προσυποτάξομεν δὲ καὶ τὰ ἐμοὶ αὐτῷ τηρηθέντα· μηδεὶς δὲ ἡμᾶς τῶν ἐντυγχανόντων μεμφέσθω, εἰ τοὺς ἑτέρων πόνους καὶ τηρήσεις μὴ ἰδιοποιοῦμεν ὥς τινες, μαρτυροῦμεν δὲ τοῖς ἀνδράσιν. ἔλθωμεν δὲ εἰς τὸ προκείμενον. Ἐπὶ γὰρ τῆς διαιρέσεως τῶν χρόνων τῶν πρακτικῶν κατὰ Ἄβραμον τῶν ἀπὸ τοῦ δαίμονος μεριζομένων (μερίζει γὰρ οὗτος), ὅπου δἂν ὁ κλῆρος ὁ περὶ δαίμονος πίπτῃ ἐπὶ γενέσεως, τοῦ ζῳδίου ὅπου εὑρίσκεται ὁ κλῆρος τὸν κύριον ὅρα, πόσων ἐτῶν τυγχάνει αὐτοῦ ὁ μικρὸς κύκλος, καὶ ταῦτα μέριζε εἰς τὰ ιβʹ ζῴδια ἀπʼ αὐτοῦ τοῦ δαίμονος ἀρχὴν ποιούμενος τοῦ μερισμοῦ κατὰ τὰ ἑξῆς ζῴδια· εἶτα ὅταν πληρωθῇ αὐτοῦ ὁ κύκλος, τὸν τοῦ ἑξῆς ζῳδίου τοῦ δαίμονος κύριον· πάλιν ὅρα, πόσων ἐτῶν αὐτοῦ ὁ κύκλος τυγχάνει, καὶ τούτου ὁμοίως μέριζε· καὶ τὸν ἑξῆς πάλιν, εἰ ἔχει ζωῆς ἔτη ἡ γένεσις ὑποκείμενα.

97 εἰ τὸ ζῴδιον οὖν, ὅπου οἱ χρόνοι αὐτοῦ τυγχάνουσιν, ἔχει τόπον ἀποδημίας δηλωτικὸν ἢ τὸν περὶ ἀποδημίας κλῆρον ἢ τὸ διάμετρον αὐτοῦ ἢ τετράγωνον ἢ εἰς τὰ ζῴδια τὰ λαμβάνοντα ἀπʼ αὐτοῦ τὸν ἐπιμερισμὸν πίπτωσιν οἱ ἀστέρες ὕστεροι τῆς καταβολῆς μάλιστα κακοποιοὶ ἔκκεντροι, ξενιτείας παρέχουσιν. ὁ τοῦ ἐπιμερισμοῦ κύριος τοῦ ζῳδίου ἐὰν ἔκκεντρος ᾖ ἢ ἀπόστροφος τοῦ ζῳδίου κακοποιὸς ὤν, ξενιτείαν ἐπιποιεῖ· καὶ ἐὰν ἐπίκεντρος ᾖ, ποιήσει. καὶ εἰ κακοποιοὶ πάλιν ἔχουσι τοὺς ἐπιμερισμοὺς ἄστροις ἐμπίπτοντες ἢ τετράγωνοι, ξενιτείας παρέχουσι. ἐὰν δὲ ἀγαθοποιὸς αὐτὸν τὸν ἐπιμερισμὸν λάβῃ, εὑρεθῇ δὲ ἐπὶ τῆς γενέσεως τοῦ διαμέτρου, ἀποδημίας καὶ κινήσεις ἐμποιεῖ τῷ γεννωμένῳ. Ἐπὰν οἱ κύριοι πάλιν τῶν ζῳδίων τοὺς χρόνους ἔχοντες ἢ τὴν ἐπιδιαίρεσιν ἀπόστροφοι τύχωσι τῶν ζῳδίων ἢ ἐναντίοι ἢ καθυπερτερούμενοι ἢ ἔκκεντροι, ξενιτείας παρέχουσι τὰ ζῴδια. ἐναντίων κακοποιῶν μάλιστα τὰ φῶτα θεωρούντων ἐν τοῖς σεληνιακοῖς ἢ ἡλιακοῖς τὰς ἀποδημίας ποιεῖ. ἐὰν τοῦ ζῳδίου ὅπου οἱ χρόνοι εἰσὶν ὁ κύριος ἔκκεντρος ἢ ἐναντίος αὐτοῦ ᾖ, ἢ κινήσεις ἢ ἀποδημίας ποιεῖ, εἰ ὁ κλῆρος ὁ περὶ ἀποδημίας εἰς αὐτὸ πέσῃ ἢ εἰς τὸ διάμετρον αὐτοῦ ἢ τετράγωνον. ἐὰν δὲ ἰδιοτοπῇ ἢ ἐν τοῖς τετραγώνοις εὑρίσκηται, οὐ δίδωσιν ἀποδημίας. Ἑρμῆς μὲν οὖν καὶ Ἀφροδίτη οὐ δίδωσι μακρὰς ἀποδημίας, ἀλλὰ καὶ ταχείας τὰς ἐπανόδους. ἐὰν πίπτωσιν ἐν ἑνὶ ζῳδίῳ οἱ δύο κλῆροι, ὅ τε τῆς τύχης καὶ ὁ δαίμων, ἐναντίος δὲ ᾖ τῷ ζῳδίῳ ὁ περὶ ἀποδημίας κλῆρος ἢ τετράγωνος, ἐπῇ δὲ τῷ τόπῳ κακοποιός τις, ἐν ἀποδημίαις γίνονται οἱ γεννώμενοι. ὁμοίως καὶ τῷ ἀστέρι τῷ τοὺς χρόνους ἔχοντι ἢ ἐπὶ τοῦ κλήρου τῆς τύχης ἐφεστῶτι 〈ἐναντίοσ〉 ὁ τοῦ περὶ ἀποδημίας, κἂν οἱ δύο τόποι ὅ τε τῆς τύχης καὶ ὁ τοῦ δαίμονος ἐναντίοι πέσωσιν, ἢ κινήσεως αἴτιον τυγχάνει ἢ ἐν ἀποδημίαις ποιεῖ τὴν γένεσιν, μάλιστα [ἐὰν] ἐν τοῖς ἐκκέντροις ζῳδίοις. κἂν ᾖ δὲ ἐπίκεντρα ἢ πάλιν τὰ ζῴδια, ὅπου οἱ ἐπιμερισμοί

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἰσιν, ἐὰν ἔχῃ τοὺς περὶ ξένης τόπους καὶ τὸν κλῆρον ἐναντίον ἢ τετράγωνον, ἐν ἀποδημίαις ποιοῦσι τὴν γένεσιν.

98 ὁμοίως καὶ ἐὰν ᾖ εἰς τὸ ὑπόγειον ἡμισφαίριον, φιλαποδήμους ποιεῖ. ἐὰν ὁ κλῆρος πάλιν ὁ περὶ ἀποδημίας εἰς τὸν ὡροσκόπον ἢ εἰς τὸ μεσουράνημα ἢ εἰς τὴν ἐπαναφορὰν τοῦ μεσουρανήματος πέσῃ μὴ ἀποδημητικῆς φύσει οὔσης τῆς γενέσεως ἢ τὰ προειρημένα σχήματα ἐχούσης, οὐ πολυαποδήμους ποιεῖ γενέσεις, σπανίως δὲ ἀποδημοῦσιν οἱ γεννώμενοι, μάλιστα μὴ ἔχοντες ἐναντίους κακοποιούς. καὶ ἐὰν τὰ ζῴδια τὰ ὑπέργεια τοὺς χρόνους ἔχῃ ἢ τῶν χρόνων τὴν ὑποδιαίρεσιν χωρὶς τοῦ δωδεκάτου ἢ ἐννάτου ζῳδίου, οὐ διδόασιν ἀποδημίας, τοῦ κλήρου μὴ εἰς τὸ αὐτὸ πίπτοντος μηδὲ ἐναντιουμένου κακοποιοῦ ἢ τῷ ζῳδίῳ ἐφεστῶτος χωρὶς ἀγαθοποιῶν. Τὰ ὑπόγεια ἔχοντα τοὺς χρόνους δίδωσι, μάλιστα καὶ τοῦ περὶ ἀποδημίας κλήρου εἰς τὰ ὑπόγεια πίπτοντος. κἂν οἱ κλῆροι πάλιν ὅ τε τῆς τύχης καὶ ὁ περὶ ἀποδημίας κακοποιοὺς ἔχωσιν ἐφεστῶτας ἢ ἐναντίους, ἀποδημίας πυκνὰς παρέχουσιν. ἐὰν τῷ ζῳδίῳ τῷ τοὺς χρόνους ἔχοντι ἐναντίος τύχῃ ὁ τοῦ περὶ ξένης ὢν κύριος, ἐν ἀποδημίᾳ ποιήσει τὴν γένεσιν. ἐὰν δὲ τῷ κλήρῳ τῆς τύχης καὶ ὁ τοῦ περὶ ἀποδημίας ὁμοῦ πέσῃ εἰς τὸ ὑπόγειον κέντρον, πολυαποδήμους ποιεῖ, μάλιστα ὑπὸ κακοποιῶν θεωρούμενος ἢ κατεχόμενος ἢ ὑπὸ φωτός. ἐὰν εἴς τι τῶν ζῳδίων τῶν κληρωθέντων ἔχειν ἐπιμερισμοὺς τῶν χρόνων ἡ τριμηνιαία πίπτει, κινήσεις παρέχει, μάλιστα ἐὰν ἔχῃ ἐναντίον ἀστέρα κακοποιὸν ἢ τὰ φῶτα ἑστῶτα ὁμοίως καὶ τοῖς ὑπεργείοις τόποις τοῖς ἀποκεκλικόσιν ᾖ. εἰ ἐλάττων ἐπιμερισμὸς ἢ ἐναντίος τύχῃ, παροδικὴν ἀποδημίαν ἕξει ἡ γένεσις. καθυπέρτεροι δὲ ἀστέρες μάλιστα τοῖς ὑπογείοις οὖσι καθύγροις τοῖς ἔχουσιν ἐπιμερισμοὺς ἀποδημίας ποιοῦσι, μάλιστα ἐὰν ᾖ ἔχοντα τὰ φῶτα ἐπικείμενα τὰ ζῴδια ἢ κακοποιούς. Ἐξαιρέτως δὲ τὰ ὑποκείμενα σχήματα εὐεργέστερα ἔσται, εἰ ὁ καταγόμενος ἐνιαυτὸς τοῦ τόπου τῷ γεννωμένῳ κίνημα ἔχει ἀποδημίας εἴτε ἐκ καταβολῆς ἄνωθεν εἶεν ἔχοντες γενέσεις ἀποδημητικὰς μάλιστα. ὅπου δ’ ἂν ὁ ἐπιμερισμὸς τῶν χρόνων πέσῃ τῶν καθολικῶν ἢ 〈ἡ〉 ὑποδιαίρεσις αὐτῶν, ἐκείνου [τε] τοῦ ζῳδίου ὁ κύριος εἴτε ἔκκεντρος ὢν εἴτε ἐπίκεντρος, ἐὰν μή τινα τῶν κακοποιῶν ἔχῃ ἐναντίον ** τῶν ζῳδίων ἢ τῶν φώτων ἐὰν ἐπικείμενος εἴη, γίνονται ἔξοδοι.

99 ἐπὰν δὲ ἔχωσιν ἤτοι ἐπικέντρους ἤτοι ἀποκεκλικότας, διδόασιν ἀποδημητικὰς ἐξόδους· καὶ οἱ ἐφεστῶτες κακοποιοὶ τοῖς ζῳδίοις τοῖς ἀποκεκλικόσιν ἢ τοῖς ἔχουσι τοὺς χρόνους ἢ τὰς ὑποδιαιρέσεις ἀποδημίας διδόασι, τοῦ ἐνιαυτοῦ μάλιστα κίνημα ἔχοντος. ὅταν ὁ τοὺς χρόνους ἔχων εἰς τὸν περὶ ξένης τόπον ἢ κλῆρον ἐφεστὼς εὑρίσκηται ἢ τοῦ περὶ ξένης τόπου ὁ κύριος, ἀποδημίας παρέχει, μάλιστα εἰ κακοποιὸς ᾖ τῷ ἀφωτίστῳ τετράγωνος ἢ διάμετρος. ὁμοίως κἂν τὸ ζῴδιον τὸ ἔχον ἐπιμερισμὸν τῶν χρόνων ἐναντίον ᾖ τῷ κλήρῳ τῷ περὶ ἀποδημίας, ἐξόδους διδόασι, μάλιστα ἐν τοῖς ἀποκλίμασιν. ἐὰν οἱ ἐπιμερισμοὶ πάλιν τῶν χρόνων εἰς τὰ ἀποκλίματα πίπτωσι μὴ ἐχόντων ζῴδιον ἐναντίον ἢ καθυπερτεροῦν, οὐ παρέχουσιν ἀποδημίας, μελλησμὸν δὲ ἀποδημίας ὑπομενεῖ τις καὶ πρόθεσιν ἀσυντέλεστον. ὅταν τοῖς κακοποιοῖς τοὺς χρόνους ἢ τὸν ἐπιμερισμὸν ἔχουσιν ἀγαθοποιὸς ἐναντίος πίπτῃ ἢ καθυπερτερῇ ἢ συμπαρῶσιν ἐν τοῖς ὑπογείοις καὶ ἀποδημητικὸς ἐνιαυτὸς ἐμπέσῃ, μελλησμοὺς ἐμποιοῦσιν ἢ ἐγκοπὰς τῶν ἐξόδων. ἐὰν ἡ τύχη εἰς τὸν περὶ ξένης τόπον ἐμπέσῃ ἢ πρὸς ἀλλήλους οἱ κλῆροι ἐναντίοι πίπτωσι κακοποιοῦ ἐφεστῶτος ἢ ἐναντίου, ἀποδημητικοὺς ποιεῖ μὴ συναναπλεκομένου αὐτοῖς ἀγαθοποιοῦ ἢ ἐφεστῶτός τινος αὐτῶν. καὶ ἐὰν ὁ τῆς ξένης κύριος ἐναντίος [αὐτῷ ᾖ] αὐτῆς τύχῃ χωρὶς ἀγαθοποιῶν Ἄρεως πάλιν ἐναντίου τῷ κλήρῳ τῆς τύχης ἢ τῷ περὶ ξένης πίπτοντος ἐφ’ ἑνὸς ἑστῶτος, ἐν ἀποδημίαις ποιεῖ ἱκαναῖς τὸν γεννώμενον. ἐὰν πάλιν Ἄρης ἀμφοτέρων τῶν κλήρων κύριος ὢν ἀπόστροφος πέσῃ τῶν ζῳδίων τῶν τὰς ἀποδημίας παρεχόντων ἢ εἰς κάθυγρα, ἀποδημητικὰς ποιεῖ τὰς γενέσεις. Ἄρης ἀπόστροφος τοῦ κλήρου ἢ τοῦ περὶ ξένης πεσὼν μηδενὸς αὐτῶν κύριος ὢν ἀποδημίας οὐ παρέχει, ἀλλὰ τὰ πλεῖστα ἐν πατρίδι διάγοντας

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἢ μελλησμοὺς ἀποδημίας πάσχοντας. ὁμοίως καὶ ἐὰν οἱ κλῆροι ἀγαθοποιοὺς ἔχωσιν ἐφεστῶτας, οὐ ποιοῦσι φιλαποδήμους ἀλλὰ σπανίους. Σχήματα δὲ ἔστιν ἐπὶ γενέσεως εὑρεῖν τὰ μὴ ῥᾳδίως ἀποδημίαν παρέχοντα διὰ τὸ τὰς πλείστας τῶν γενέσεων ἀποδημητικὰς γίνεσθαι, καὶ τὰς μὲν συνεχέσι καὶ ποικίλαις τὰς δὲ σπανίως καὶ ὀλιγάκις, διὰ τὸ πλεονάζειν ἔν τισι τὰ σχήματα τὰ ἀποδημίας ἐμποιοῦντα ἔν τισι δὲ μή· ὅθεν οἱ μὲν πολυαπόδημοι γίνονται, οἱ δὲ μετρίως καὶ οὐ συνεχέσι ταῖς ἀποδημίαις χρῶνται.

100 ὅσοι ἐν γενέσει ὀλίγα σχήματα περὶ ἀποδημίας ἔχουσιν, ἐὰν καὶ οἱ κλῆροι ἐπὶ τῆς γενέσεως ἢ τῆς ἀντιγενέσεως οἱ περὶ ἀποδημίας καὶ τῆς τύχης πρὸς ἀγαθοὺς πέσωσιν, οὐ διδόασιν ἐξόδους, μάλιστα τοῦ ἐνιαυτοῦ μὴ ἔχοντος κίνημα ἀποδημίας· ἐὰν δὲ ἔχῃ καθὼς προεῖπον σχήματα, ποιοῦσιν ἀποδημίας. ἀσύνδετος πάλιν ὁ περὶ ἀποδημίας 〈τῷ〉 τῆς τύχης μάλιστα ἔχοντος τοῦ ἑνὸς κλήρου ἀγαθοποιὸν οὐ ποιήσει φιλαποδήμους, ἀλλʼ ἐν πατρίδι τὰ πλεῖστα διάγοντας. ἀπόστροφος Ἄρης τοῦ περὶ ξένης κλήρου μικρὰς κινήσεις ποιεῖ. τοῦ τῆς τύχης ἔχοντος ἀγαθοποιοὺς ἐπικειμένους ἀστέρας οὐ διδόασιν ἀποδημίας, μάλιστα ὑπὲρ γῆν πίπτοντες. ὁ κλῆρος τῆς τύχης ἐπὶ τοῦ μεσουρανήματος πίπτων ἀπόστροφος ὢν τοῦ περὶ ἀποδημίας μὴ ἔχων ἐναντίον κακοποιὸν ἢ φῶς οὐκ ἀποδημητικὰς ποιεῖ γενέσεις, ἀλλʼ ἐν πατρίδι διάγοντας. ἐὰν οἱ δύο κλῆροι συμπέσωσι χωρὶς τοῦ 〈Ἄρεωσ〉 εἰς τὸ ἀπόκλιμα τοῦ μεσουρανήματος εἰς ἕτερον ζῴδιον μηδένα κακοποιὸν ἔχοντες ἐναντίον 〈ἢ〉 ἐφεστῶτα, οὐ ῥᾳδίως ἐν ἀποδημίᾳ γίνονται. οἱ δὲ κλῆροι οἱ δύο κακοποιοὺς ἔχοντες ἐπικειμένους ἢ ἐναντίους πολυαποδήμους ποιοῦσι, μάλιστα τῶν ζῳδίων ὄντων καθύγρων, ὅπου οἱ κλῆροι. ὁ περὶ τύχης κλῆρος καλῶς πίπτων μηδένα ἔχων κακοποιὸν ἢ καθυπερτεροῦντα ἢ τὰ φῶτα ἢ τὸν περὶ ἀποδημίας κλῆρον μάλιστα τῶν δύο **** κλήρων Ἄρης ἀπόστροφος ὢν οὐ διδόασιν ἀποδημίας, ἀλλὰ βουλόμενος ἀποδημῆσαι οὐκ ἐξῆλθεν. Ζεὺς γὰρ ἐὰν παροδικῶς ἐπὶ τούτων τῶν ζῳδίων γένηται, κωλύει τὴν ἔξοδον. ἐξαιρέτως δὲ ἀποδημεῖ, ἐὰν τύχῃ τὸ ἔτος εἰς ἀπόκλιμα ἐκπεσὸν ἀπὸ τοῦ ὡροσκόπου ἐν καθύγροις ζῳδίοις, μάλιστα ἀγαθοποιοῦ μὴ ἐφεστῶτος παροδικοῦ ἢ κατὰ γένεσιν. καὶ ὁ κύριος τῶν χρόνων τῷ κυρίῳ τοῦ περὶ ἀποδημίας κλήρου τὸ ἔτος παραδιδοὺς κακοποιοῦ μάλιστα ὁρῶντος ἢ τὸ ἀνάπαλιν ὁ κύριος τοῦ κλήρου τῷ τοὺς χρόνους ἔχοντι. 〈λʹ.

101 〉 Περὶ προτελευτῆς γονέων με θ ʼ ὑποδείγματο ς . Περὶ προτελευτῆς γονέων ἄλλοι μὲν ἄλλως διεσάφησαν καὶ αὐτοὶ δὲ δοκιμάσαντες εὕρομεν οὕτως. ἐπειδὴ Ἥλιος σημαίνει πατέρα, δευτέρῳ δὲ τόπῳ Κρόνος, ἀκριβέστερον ἐπὶ τῶν νυκτὸς καὶ ἡμέρας ὁ συνοικειούμενος τῇ Σελήνῃ, τουτέστιν ὁ ἐπιθεωρούμενος ὑπʼ αὐτῆς καὶ συμπαρὼν ἢ ἐν οἴκῳ ἢ τριγώνῳ ὑπάρχων, ἐκεῖνος ἀναλαμβάνει τὸν πατρικὸν τόπον· ὁμοίως δὲ καὶ ἡ Ἀφροδίτη τὸν μητρικὸν τόπον καὶ ἡ Σελήνη. σκοπεῖν οὖν δεήσει καθʼ ἑκάστην γένεσιν, τίς μᾶλλον ὑπὸ τῶν κακοποιῶν θεωρεῖται ἢ καὶ παραπέπτωκε, πότερον Ἥλιος ἢ Σελήνη ἢ Ἀφροδίτη ἢ Κρόνος, καίπερ αὐτὸς ἀναιρέτης ὑπάρχων τοῦ πατρός. ἐὰν γὰρ Ἥλιος τὸν πατρικὸν τόπον ἀναλαβὼν κατοπτευθῇ ὑπὸ Ἄρεως ἢ Κρόνου τῶν ἀγαθοποιῶν ἀπόντων, περὶ τὸν πατέρα ἡ προτελευτὴ γενήσεται· ἐὰν δὲ Σελήνη ἢ Ἀφροδίτη, περὶ τὴν μητέρα· ἐὰν δὲ ἀμφότερα τὰ φῶτα ὑπὸ κακοποιῶν κατοπτευθῇ ἢ καὶ Ἀφροδίτη, ὁ παραπεπτωκὼς ἢ παρʼ αἵρεσιν τετευχὼς τὴν προτελευτὴν σημαίνει. Ἄλλω ς. Ἐὰν ὁ πατρικὸς κλῆρος ἐν ἀρσενικῷ ζῳδίῳ πέσῃ ἢ ὁ κύριος αὐτοῦ ὑπὸ κακοποιοῦ μαρτυρούμενος, πατρὸς προτελευτὴν σημαίνει. ὁμοίως καὶ ἐπὶ τοῦ μητρικοῦ κλήρου τὸ αὐτὸ συμβήσεται, ἐὰν μάλιστα ἀσφαλέστατά τις γνῷ εἰ πατήρ ἐστιν. Ἄλλω ς. Ἀπὸ κυνὸς ἐπιτολῆς ἕως τῆς γενεσιακῆς ἡμέρας λαμβάνειν καὶ ἐκ τοῦ συναχθέντος ἀριθμοῦ ἀφαιρεῖν δωδεκάδας καὶ τὸν περιλειφθέντα ἐντὸς τῶν ιβʹ ἀπολύειν ἀπὸ Σελήνης ἀνὰ μίαν· ἐὰν μὲν οὖν εἰς ἀρσενικὸν ζῴδιον καταλήξῃ, πατὴρ προτελευτήσει· ἐὰν δὲ εἰς θηλυκόν, μήτηρ. οἷον ἐπὶ τῆς προκειμένης γενέσεως Μεχὶρ ιγʹ ἀπὸ Επιφὶ κʹ ἕως τῆς ιγʹ γίνονται σγʹ· ἀφεῖλον δωδεκάδας ιςʹ, λοιπὰ ιαʹ, ταῦτα ἀπὸ Σελήνης τῆς 〈ἐν〉 Σκορπίῳ κατέληξεν Παρθένῳ ζῳδίῳ θηλυκῷ· ἐπῆν δὲ καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἄρης· ἐγίνετο περὶ τὴν μητέρα ἡ προτελευτή. Ἄλλω ς. Ἔστω γένεσις ἀποδείγματος χάριν Ἥλιος Ἑρμῆς Ὑδροχόῳ, Σελήνη Σκορπίῳ, Κρόνος Καρκίνῳ, Ζεὺς Ζυγῷ, Ἀφροδίτη Αἰγόκερῳ, Ἄρης ὡροσκόπος Παρθένῳ. ὁ μὲν οὖν Κρόνος προσοικειωθεὶς τῇ Σελήνῃ Καρκίνῳ εὑρέθη νυκτὸς καὶ τοῦ Ἡλίου οἰκοδεσποτήσας ἀνέλαβε τὸν πατρικὸν κλῆρον καὶ ὑπὸ Διὸς ὑπεθεωρήθη καὶ Ἀφροδίτης ἀγαθοδαιμονῶν.

102 ἡ δὲ Σελήνη καὶ Ἀφροδίτη ὑπὸ τῶν δύο κακοποιῶν κατοπτευθεῖσα μητρὸς προτελευτὴν ἐσήμανεν. Ἄλλω ς. Ἐπὰν Ἥλιος καθυπερτερῇ Σελήνην, μήτηρ προτελευτᾷ· ἐὰν δὲ Σελήνη Ἥλιον, πατήρ· ἐὰν δὲ μηδέτερος τὸν ἕτερον καθυπερτερήσῃ καὶ ἀσχημάτιστοι γένωνται, λαμβάνω Κρόνον καὶ Ἀφροδίτην· ἐὰν δὲ μηδὲ οὗτοι, Κρόνον καὶ Σελήνην. ἐὰν δὲ Ἥλιος καθυπερτερῇ καὶ μέση γένηται Ἀφροδίτη, μεσεμβολήσει τὴν καθυπερτέρησιν. ἰδὲ οὖν Κρόνον, μήποτε καθυπερτερῆται ὑπὸ ταύτης, καὶ ἔσται μὲν ἢ περὶ τὸν πατέρα ἡ προμεταλλαγὴ ἢ τὸ ἀνάπαλιν ἀπὸ Κρόνου καὶ Ἀφροδίτης. εἰ δὲ μὴ γένηται ὁ μεσεμβολῶν τοὺς καθυπερτεροῦντας ἀλλήλους δύναμιν ἔχων καθυπερτερητικήν, εὐτονήσουσιν οἱ μεσέμβολοι ἀνῦσαι τὸ ἴδιον ἀποτέλεσμα. γίνονται δὲ αἱ καθυπερτερήσεις ἐν τῷ αὐτῷ ζῳδίῳ καὶ διαμέτρῳ, καὶ καθόλου ὁ ἐπερχόμενος ἀστὴρ ἑτέρῳ καθυπερτερεῖ τοῦτον ἢ ὁ τὴν μετ' ἀλλήλων δύναμιν ἔχων καθυπερτερητικήν. 〈λα'.〉 Ἄλλως · περὶ γονέων ἐκ τοῦ Τιμαίο υ . Τὰ μὲν οὖν περὶ πατρὸς λαμβάνεται 〈οὕτωσ〉 . ἡμέρας μὲν οὖν Ἥλιος χρηματίσει καὶ τὸ ζῴδιον, ἐφ' οὗ ὁ Ἥλιος ἕστηκε, καὶ ὁ κύριος τοῦ ζῳδίου, ἐφ' οὗ ὁ Ζεύς, καὶ τὸ ζῴδιον τὸ ὑποδεξάμενον τὸν Δία. τὰ δὲ περὶ μητρὸς λαμβάνεται οὕτως. ἀπὸ τοῦ σεληνιακοῦ ζῳδίου, ἐφ' οὗ ἕστηκεν ἡ Σελήνη, καὶ τοῦ οἰκοδοχέως τῆς Σελήνης, ἡμέρας δὲ ἀπὸ Ἀφροδίτης καὶ τοῦ ζῳδίου, ἐφ' οὗ ἕστηκεν ἡ Ἀφροδίτη. ὅταν τοίνυν οἱ χρηματίζοντες κατὰ τὴν ἰδίαν αἵρεσιν εὑρεθῶσιν ἐν ἰδίῳ οἴκῳ ἢ ἰδίοις ὑψώμασιν ἐπιδεκατευόμενοι ὑπό τινος ἀγαθοποιοῦ ἢ μαρτυρούμενοι ὁπωσοῦν ἄλλως καὶ μὴ ἀποκεκλικότες μηδὲ ἐν ᾧ χαίρουσι τόπῳ μὴ κακωθέντες ὑπό τινος τῶν κακοποιῶν, ἔνδοξα καὶ ἐπίσημα καὶ λαμπρὰ τὰ περὶ τοὺς γονεῖς δηλοῦσιν. ἐὰν δὲ ὑπό τινος τῶν φθοροποιῶν μαρτυρηθῇ ὁ σημᾶναι ὀφείλων τὰ περὶ τοὺς γονεῖς κατὰ τὴν παροῦσαν ἀκτινοβολίαν ἢ ἐπιδεκατείαν ἢ εἰς ὃν οὐ χαίρει τόπον εὑρεθῇ, ἀσήμους δηλώσει καὶ ἀδόξους τοὺς γονεῖς. συνδηλώσουσι δὲ καὶ 〈οἱ〉 ὑποδοχεῖς τῷ δηλοῦντι τὰ περὶ τοὺς γονέας κατὰ τὴν θέσιν καὶ τὴν ἐπιμαρτύρησιν τῶν ἄλλων ἀστέρων τὸ εὖ ἢ κακῶς.

103 ἐὰν δὲ ὁ δηλωτικὸς ἀστὴρ τῶν περὶ τοῦ γονέως παραπέσῃ τοπικῶς ἢ κακωθῇ ὑπό τινος τῶν φθοροποιῶν καὶ ὁ ὑποδοχεὺς αὐτοῦ ἤτοι ὑπὸ τὰς αὐγὰς τοῦ Ἡλίου δεδυκὼς εὑρεθῇ ἢ καὶ κακοδαιμονῶν ἢ καὶ μήτε οὗτος μήτε ὁ δηλωτικὸς καταπονούμενος χρηματίζει τῷ τόπῳ τῷ περὶ γονέως ἀλλ' εἴη ἀπόστροφος, ταπεινοὺς καὶ ἀσήμους καὶ ἀγεννεῖς δηλώσει τοὺς γονεῖς. εἰ δὲ πρὸς τῷ μὴ χρηματίζειν καὶ κακωθεῖεν ὑπὸ φθοροποιῶν ἐπιθεωρηθέντες ἢ κατὰ συμπαρουσίαν, δούλους δηλοῦσι τοὺς γονεῖς καὶ ὑποτεταγμένους. εἰ μέντοι τοῦ δηλοῦντος τὰ περὶ γονέων καὶ ἀποκλίναντος ἢ καὶ ἄλλως κεκακωμένου ὁ ὑποδοχεὺς καλῶς κείμενος χρηματίζει [ἐν] τῷ τόπῳ τῷ περὶ γονέως ἀστέρα δηλωτικὸν ἔχων τὸν χρηματίζοντα τόπῳ μὴ κεκακωμένῳ ὑπό τινος τῶν φθοροποιῶν, βλάβην ἢ ζημίαν ἢ ὄλεθρον ἢ ἔκπτωσιν δηλοῦσι τῶν γονέων. Κρόνος μεσουρανῶν, Ζεὺς ὑπὸ γῆν τὸν πατέρα δοῦλον καὶ ὑποτεταγμένον σημαίνει ἢ ἔκπτωτον, μάλιστα δὲ καὶ Ἡλίου κακωθέντος. Ὁ δὲ κλῆρος τοῦ πατρὸς λαμβάνεται οὕτως. ἐπὶ ἡμερινῆς μὲν γενέσεως ἀπὸ Ἡλίου ἐπὶ Κρόνον καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου, τινὲς ἀπὸ Ἡλίου ἐπὶ Δία καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου· νυκτὸς δὲ ἀπὸ Ἀφροδίτης ἐπὶ Σελήνην καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου. ὁ μὲν οὖν κλῆρος τῶν γονέων οὕτως εὑρίσκεται· περὶ δὲ [τοῦ] πατρὸς εἰσποιητοῦ ἀπὸ τοῦ διαμέτρου τοῦ κλήρου κατὰ κάθετον ληπτέον. ἐὰν ἐπὶ τοῦ διαμέτρου τύχῃ ὁ τοῦ πατρικοῦ κλήρου κύριος ἢ τοῦ διαμέτρου ὁ κύριος ἐπὶ τοῦ κλήρου, εἰσποιητὸν δηλοῖ τὸν πατέρα· ὁμοίως καὶ ἐὰν ὁ τοῦ μητρικοῦ κλῆρος ἐν τῷ διαμέτρῳ εὑρεθῇ καὶ ὁ τοῦ διαμέτρου τοῦ

κλήρου τῆς μητρὸς κύριος εὑρεθῇ τῷ τῆς μητρὸς κλήρῳ, τὸ ὅμοιον δηλώσει. 〈λβʹ.〉 Περὶ ὀρφανίας πατέρω ν . Ἄρης μετὰ Ἡλίου τετράγωνος Κρόνῳ ὀρφανίαν ποιοῦσι. Κρόνος καὶ Ἄρης Ἑρμῇ συσχηματισθέντες ὡσαύτως Διὸς μὴ ἐπιθεωροῦντος ὀρφανοὶ γονέων γίνονται. Κρόνος μετὰ Διὸς δύνων ὀρφανοὺς ποιεῖ. Σελήνη ἐν διφυεῖ ζῳδίῳ οὖσα καὶ ὑπὸ Διὸς μαρτυρηθεῖσα ποιεῖ ἀπάτορας. ἐὰν δὲ Ἀφροδίτη ὡροσκοπῇ, Σελήνη δὲ ὑπόγειος ἢ ἐν Ἄρεως οἴκῳ καὶ ὁ Ζεὺς ἐξ ἰδίου οἴκου καταμαρτυρῇ, ἀπάτορας ποιήσει.

104 Τὰ δὲ ἤθη τῶν γονέων ἐκ τῶν συσχηματιζομένων ἀστέρων ληπτέον. Κρόνος μὲν γὰρ δείξει στυγνοὺς φθονεροὺς βαθυπονήρους καχυπόπτους ῥυπαροὺς κρυπτοὺς πάθεσι περικυλιομένους, ἀπρεπεῖς ἁλισκομένους περὶ [τε] τὰ θεῖα, μεγιστάνων φίλους. Ζεὺς δὲ φιλαγάθους λαμπροὺς δωρηματικοὺς ἀνειμένους εὐφραντικούς. Ἄρης θρασεῖς ὀργίλους προπετεῖς ἐπηρεάστας παραβόλους πολυκινήτους πολυκινδύνους παροίνους μοχθώδεις· ἐπὶ δὲ τῆς μητρὸς κατισχύσας τῆς Σελήνης Ἄρης ἢ τῆς Ἀφροδίτης οἰκοδεσποτῶν τραχεῖαν καὶ μοιχάδα δηλοῖ τὴν μητέρα καὶ ὑφ' αἵματος ἢ φθορᾶς ὀξεῖ πάθει ἐνοχλουμένην, ἐὰν μή τις ἀγαθοποιὸς ἐφορῶν κουφίσῃ. Ἀφροδίτη δὲ τοῖς φωσὶ μαρτυροῦσα ἱλαροὺς φιλομούσους φιλευφροσύνους φιλοστόργους θρησκώδεις τοὺς γονεῖς δείκνυσιν. Ἑρμῆς δὲ κοινωνικούς τε καὶ οἰκονομικοὺς λόγου τινὸς ἢ ἐπιστήμης μετέχοντας, ψευδολογουμένους δὲ τὰ πολλὰ ἢ εἰς ὑποδεέστερα πρόσωπα ἁμαρτάνοντας. συνεπιβλέπειν δὲ χρὴ καὶ τοὺς τόπους. Ἥλιος μὲν γὰρ ἐν ἀρσενικῷ ζῳδίῳ κείμενος καὶ ὑπὸ ἀρσενικοῦ ἀστέρος μαρτυρούμενος γενναῖον δηλοῖ τὸν πατέρα, ἐν δὲ θηλυκῷ καὶ ὑπὸ Σελήνης μαρτυρούμενος ἀνειμένον καὶ θηλύφρονα δείκνυσιν. Ἥλιος ἐν θηλυκῷ ὑπὸ Κρόνου καὶ Ἀφροδίτης μαρτυρούμενος οὐκ ἀσινῆ οὐδὲ ἀφήμιστον δηλοῖ τὸν πατέρα. Σελήνη ἐν θηλυκῷ ζῳδίῳ καὶ ὑπὸ ἀρσενικῶν ἀστέρων μαρτυρουμένη ὀργίλην καὶ ἀκαταμάχητον 〈τὴν〉 μητέρα δείκνυσιν· ἐν θηλυκοῖς ζῳδίοις καὶ ὑπὸ Διὸς μαρτυρουμένη πρᾶον καὶ φιλάνθρωπον δηλοῖ τὴν μητέρα. 〈λγʹ.〉 Περὶ χωρισμοῦ γονέω ν . Ἄρης καὶ Κρόνος μεσεμβολήσαντες τὰ φῶτα ἢ μέσοι πεσόντες [ἢ] τῶν ὑποδεξαμένων αὐτοὺς ἢ ταῖς ἀκτῖσιν αὐτῶν χωρίζουσι τοὺς γονεῖς. ὅταν τῶν φωστήρων ὁ μὲν καθ' αἵρεσιν παραπέσῃ ὁ δὲ παρ' αἵρεσιν 〈καὶ〉 φθοροποιὸς τῷ ἑτέρῳ συμπαρῇ, χωρίζει τοὺς γονεῖς. Κρόνος μεθ' Ἡλίου κείμενος καὶ Σελήνης ἀλλοτριουμένης χωρίζει τοὺς γονεῖς. ἐὰν ὁ τοῦ ὡροσκόπου κύριος χρηματίζῃ καὶ ὡροσκόπος ᾖ κεκακωμένος καὶ ὁ συνοικοδεσπότης αὐτοῦ παραπεπτωκώς, οἱ τούτων γονεῖς χωρισθήσονται καὶ αὐτὸς πολλὰ ἀκαταστατήσει καὶ δυστυχήσει καὶ τὰ τῶν γονέων ἐλαττωθήσεται.

105 συμφωνοῦσι δὲ οἱ γονεῖς, ὅταν τὰ φῶτα καὶ οἱ οἰκοδεσπόται αὐτῶν συμφώνως πρὸς ἀλλήλους ἔχωσιν. ὅταν ὁ τοῦ Ἡλίου ὑποδοχεὺς συμφώνως ἔχῃ πρὸς τὴν Σελήνην, ὁ δὲ τῆς Σελήνης καὶ τοῦ Ἡλίου, συμφωνοῦσιν οἱ γονεῖς. Ὁπότερος τῶν φωστήρων παρ' αἵρεσιν κείμενος ἢ καὶ 〈ὑπὸ〉 φθοροποιοῦ ἀθετηθεὶς ἢ δεκατευόμενος καὶ συνάπτων αὐτῷ ἢ διαμετρούμενος, [ἢ] ὃς ἂν πρῶτος ἐπὶ τὴν δύσιν φέρηται ἢ οὗ ἂν ὁ τόπος χεῖρον διάκειται, προτελευτήσει. ἐὰν αὐξομένη 〈ᾖ〉 ἡ Σελήνη καὶ συνοδικὴ ἡ γένεσις καί τις φθοροποιῶν ἐπίδῃ τὴν πρώτην πανσέληνον, ἐν μὲν θηλυκῷ ζῳδίῳ γενομένη δηλώσει μητρὶ προτελευτήν, ἐν δὲ ἀρρενικῷ πατρός. ἐὰν δὲ πανσεληνιακὴ ᾖ γένεσις, τὴν μέλλουσαν σύνοδον σκεπτέον· ἐν οὖν θηλυκῷ ζῳδίῳ κακοποιοῦ ἐπιδόντος αὐτὴν προτελευτήσει ἡ μήτηρ· ἐὰν δὲ Ἥλιος, ὁ πατήρ. ἐὰν δὲ ὁ Ἥλιος ἐν τῷ ὑπὸ γῆν ἡμισφαιρίῳ τύχῃ, ἐπὶ τὸ πλεῖστον ὁ πατὴρ ἐπὶ ξένης τελευτήσει. Κρόνου ἀπὸ κέντρου ἀπορρέοντος, ἐὰν Ἄρης ἐπιφέρηται καὶ ἐπιμαρτυρῇ τις αὐτῶν τῷ Διὶ ἢ τῷ Ἡλίῳ, ἐπὶ ξένης ὁ πατὴρ τελευτήσει. ἐὰν ἡμερινῆς οὔσης τῆς γενέσεως Σελήνη ὑπὲρ γῆν κακωθῇ ἢ ἀποκλινούσης Σελήνης φθοροποιὸς ἐπιφέρηται ἢ περὶ τὴν Ἀφροδίτην αἱ αὐταὶ κακώσεις γένωνται, ἡ μήτηρ προτελευτήσει. ἐὰν ὁ τοῦ Ἡλίου οἰκοδεσπότης καὶ ὁ Ἥλιος μὴ βλέπῃ τὸν ὡροσκόπον, ὁ πατὴρ ἐπὶ ξένης τελευτήσει. Ἡλίου κακωθέντος ὑπὸ φθοροποιοῦ καὶ Διὸς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καθυπερτερουμένου ὁ πατὴρ βιαιοθανατήσει. Κρόνου μὲν οὖν μόνου κακώσαντος τοὺς προειρημένους ἀστέρας πνιγμοὶ ἢ ὑδρωπίαι ἢ ῥεύματα ἢ ψύξεις ἢ φαρμακοποσίαι ἢ ναυάγια ἢ παλαιὰ πράγματα αἴτια τῆς τελευτῆς γίνεται, Ἄρεως δὲ μόνου κακώσαντος τομὴ σιδήρου ἢ δηγμὸς ἢ πολυαιμία ἢ φθορὰ ἢ ὠμοτοκία ἢ ἐμπρησμὸς ἢ πτῶσις, ἀμφοτέρων δὲ χείρων ἡ βία κατὰ τὴν ἐπιβάλλουσαν τῆς κλίσεως συμπλοκήν. 〈λδʹ.〉 Περὶ ἐλευθερικῶν καὶ δουλικῶν γενέσεω ν . Ἐνδιάφοροι δὲ περὶ τὸ γένος καὶ ὑποτακτικαὶ ἢ καὶ εὐγενεῖς γενέσεις καταλαμβάνονται ἀπὸ τῶν τῆς γενέσεως φάσεων. ἐὰν γὰρ τὸ ζῴδιον τῆς φάσεως ἢ ὁ κύριος τοῦ ζῳδίου παραπέσῃ ἢ ὑπὸ κακοποιῶν κατοπτευθῇ, ἀγεννέστεροι γενήσονται ἢ καὶ ἐν δόξῃ γενόμενοι καὶ πίστει καθαιρεθήσονται· ἐὰν δὲ ἐπίκεντρος ἡ φάσις εὑρεθῇ καὶ ὁ κύριος ὑπὸ ἀγαθοποιῶν μαρτυρούμενος, εὐγενεῖς καὶ ἔνδοξοι γενήσονται.

106 ἐὰν δὲ ὁ μὲν τόπος ἐν χρηματιστικοῖς ζῳδίοις τύχῃ, ὁ δὲ κύριος παραπέσῃ ἢ ὑπὸ κακοποιῶν κατοπτευθῇ, ἐλεύθεροι γεννηθέντες ἢ καλῶς ἀχθέντες ἐναντιώμασι καὶ ὑποταγαῖς καὶ ἐνδείαις περιτραπήσονται. ἐὰν δὲ ὁ μὲν κύριος ἐν χρηματιστικοῖς ζῳδίοις εὑρεθῇ, ὁ δὲ τόπος παραπέσῃ, ἐν τοῖς πρώτοις χρόνοις κακοπαθήσαντες περὶ τὰς ὑποταγὰς καὶ ** ἐνεχθέντες ἐξ ὑστέρου ἐλευθερίας καὶ προκοπῆς καὶ γένους ἐντὸς γενόμενοι εὐπορήσουσι καὶ δοξασθήσονται, μάλιστα δὲ κἂν ἀγαθοποιοὶ προσνεύσωσιν. ἐὰν δὲ καὶ ὁ τόπος καὶ ὁ κύριος παραπέσῃ καὶ ἀμφότεροι ὑπὸ κακοποιῶν κατοπτευθῶσιν, ἔκθετοι ἢ αἰχμάλωτοι γενόμενοι ὑποταγῆς πεῖραν λήψονται· ἐὰν δὲ τούτων ὄντων ἀγαθοποιοὶ συμπροσγένωνται ἢ συνεπιμαρτυρήσωσι, μετὰ τοὺς τῶν κακοποιῶν χρόνους τῆς ὑποταγῆς ἀπολυθέντες ἐν περιουσίᾳ γενήσονται. ἐὰν δὲ ὁ μὲν τόπος ὑπὸ κακοποιῶν φρουρηθῇ, ὁ δὲ κύριος ὑπὸ ἀγαθοποιῶν, ὑποτακτικοὶ γεννηθέντες ἐλεύθεροι τραφήσονται ἢ εἰς ὑποβολὴν καὶ τεκνοποιίαν χωρήσουσι· τοὐναντίον δὲ τοῦ μὲν τόπου ὑπὸ ἀγαθοποιῶν φρουρουμένου, τοῦ δὲ οἰκοδεσπότου ὑπὸ κακοποιῶν, ἐλεύθεροι γεννηθέντες εἰς δουλείαν ἀνατραφήσονται ἢ εἰς τὸ τέλειον τῆς ἀκμῆς καταντήσαντες ἑαυτοὺς ἐκδότους ὑποταγαῖς παραδώσουσιν ἢ διὰ τροφῆς ἔνδειαν ἢ πίστεως καὶ πράξεως ἀφορμήν. 〈λεʹ.〉 Σχήματα Σελήνης ιαʹ πρὸς ἀποτελεσμάτων δυνάμει ς . Ἔστι δὲ τῆς Σελήνης τὰ σχήματα κατὰ μὲν τὸν φυσικὸν λόγον ζʹ, καθὼς δὲ καὶ ἐν ἑτέροις εὕρομεν ιαʹ· πρῶτον μὲν σύνοδος, δεύτερον ἀνατολή, εἶτα ἀποστᾶσα τοῦ Ἡλίου μοίρας μεʹ ποιεῖται φάσιν μηνοειδῆ, εἶτα ἕως ϟʹ μοιρῶν διχότομος, εἶτα ἕως ρλεʹ μοιρῶν ἀμφίκυρτος, εἶτα ἕως ρπʹ μοιρῶν πανσέληνος, εἶτα ἀποστᾶσα τῆς πανσελήνου μοίρας μεʹ τουτέστιν ἕως 〈σ〉 κεʹ ποιεῖται τὴν δευτέραν ἀμφίκυρτον, εἶτα ἕως σοʹ μοιρῶν τὴν δευτέραν διχότομον, εἶτα ἕως τξʹ τὴν δύσιν. ἔστι δὲ αὐτῆς καὶ ἄλλο σχῆμα, ὅτε ἄρξηται πρῶτον μειοῦσθαι. Τί σημαίνει ἑκάστη φάσις καὶ ποῖον ἔχει ἀποτέλεσμ α .

107 Ὑποτάξομεν δὲ καθὼς καὶ εἰς ἀποτελεσματογραφίαν λαμβάνεται τὰ προκείμενα σχήματα καὶ τίνι θεῷ προσῆκεν. ἡ μὲν οὖν σύνοδος δηλοῖ περὶ δόξης καὶ δυνάμεως καὶ βασιλικῶν καὶ τυραννικῶν διαθεμάτων καὶ πάντων τῶν ταῖς πόλεσιν ἀνηκόντων δημοσίων πράξεων καὶ περὶ γονέων καὶ γάμων καὶ μυστηρίων καὶ τῶν καθολικῶν καὶ κοσμικῶν πάντων· ὁμοίως καὶ ὁ κύριος τῆς συνόδου καὶ 〈τοῦ〉 πλάτους καὶ τοῦ δρομήματος· ἡ δὲ ἀνατολὴ τῆς Σελήνης, ὅπερ καὶ φῶς λέγεται, καὶ ὁ ταύτης κύριος εἰς τὸν περὶ ζωῆς 〈καὶ〉 περὶ πράξεως καὶ περὶ ὑποστάσεως μελλούσης καὶ βεβαιοῖ τὰς τῆς συνόδου πράξεις. καὶ καθάπερ ἀπὸ τῆς πρώτης ὄψεως τὰ μηνιαῖα θεωρεῖται καὶ κοσμικὰ κινήματα, οὕτως ὁ κύριος τοῦ φωτὸς τὰ καθολικὰ ἀποτελέσματα δείκνυσι· συνεπισχύει δὲ καὶ Ἑρμῆς ἕως δʹ Σελήνης. ἡ δὲ μηνοειδὴς σύστασις τὴν ἀνατροφὴν καὶ τὰ ἐλπιζόμενα ἐν βίῳ σημαίνει καὶ περὶ γυναικῶν καὶ μητρός· ἐπισχύει δὲ Ἑρμῆς ἕως ηʹ. ἡ δὲ διχότομος σύστασις περὶ σίνους καὶ πάθους καὶ τῶν βιαίων συμβαινόντων, ἔτι δὲ περὶ τέκνων καὶ ἀξίας καὶ τῶν μελλόντων ἀγαθῶν· συσχηματίζεται δὲ Ἀφροδίτη, ἕως γένηται ιβʹ. ἡ δὲ ἀμφίκυρτος φάσις περὶ εὐδαιμονίας καὶ μελλούσης προκοπῆς καὶ ἀποδημίας

καὶ συμπαθείας συγγενῶν. συνομοιοῦται δὲ Ἥλιος, ἕως γένηται ιδʹ. ἡ δὲ πανσέληνος περὶ δόξης καὶ ἀδοξίας καὶ ἀποδημίας καὶ περὶ τῶν βιαίως γινομένων καὶ περὶ τῶν ἐξ ὑπεροχῆς ἐκπιπτόντων καὶ ἐξ ἐλαχίστου αὐξομένων καὶ περὶ συμπαθειῶν καὶ παθῶν καὶ ἀντιπολιτειῶν καὶ γονέων συμπαθείας· ἔχει δὲ καὶ τοῦ δυτικοῦ ζῳδίου χρῶμα· ὁ δὲ πρῶτος κύριος τῆς μειώσεως τοῦ φωτὸς περὶ ἐλαττώσεως τῶν ὑπαρχόντων καὶ ψύξεως πρακτικῆς καὶ τῶν εἰς ταπείνωσιν ἐρχομένων καὶ περὶ αἰφνιδίων πτωμάτων. ἰσοδυναμεῖ δὲ τῇ ἐπικαταδύσει· Ἄρης κύριος ἕως καʹ Σελήνης. ἡ δὲ ἀμφίκυρτος δευτέρα σημαίνει περὶ ξενιτειῶν καὶ πράξεως μείζονος καὶ περὶ εὐδαιμονίας· ἰσοδυναμεῖ δὲ τῷ θεῷ· Ζεὺς κύριος, ἕως γένηται κεʹ ἡ Σελήνη. ἡ δὲ δευτέρα διχότομος περὶ παλαιῶν πραγμάτων καὶ πολυχρονίων παθῶν καὶ περὶ τέκνων· ἰσοδυναμεῖ γὰρ Κρόνος, ἕως γένηται λʹ.

108 ὁ δὲ τῆς μηνοειδοῦς κύριος σημαίνει περὶ θανάτου γυναικὸς καὶ περὶ ἀπραξίας ἢ διαρπαγῆς· τουτέστιν ἡ δύσις περὶ δεσμῶν καὶ συνοχῶν καὶ ἀποκρύφων πραγμάτων καὶ κατακρίσεως καὶ ἀτιμίας· καὶ ἡ μὲν τῆς Σελήνης τῶν σχημάτων τάξις οὕτως, τὰ μέντοι συγκρινόμενα τοῖς εʹ θεοῖς καὶ Ἡλίῳ ἐν ἀδέτοις κέντροις. Συντομωτέρας μὲν οὖν τὰς ἀποδείξεις τῶν αἱρέσεων βουλόμενος ἐκθέσθαι τὰς πολυλογίας παραιτησάμενος καὶ τὰς μυθώδεις γοητείας αὐτὰ τὰ κεφάλαια προέταξα τοῖς μάλιστα περὶ τὰ τοιαῦτα ἐσπουδακόσι καὶ πολλαῖς ἀγωγαῖς ἐγκεχρονικόσι, δυναμένοις δὲ διὰ τῆς ἰδίας ἐπινοίας ἴσα εἰσφέρειν. οἶμαι γὰρ αὐτοὺς πείσειν διὰ τῶν προγεγραμμένων καὶ τῶν μελλόντων λέγεσθαι ἀποτίθεσθαι μὲν τὸ δύσπιστον καὶ εὐδιάβολον τῆς ἐπιστήμης, ἄγνοιαν δὲ καὶ λῆρον κατὰ τῶν ἀντιπρασσόντων ψηφισαμένους κινδυνεύουσαν πρόγνωσιν ἀθάνατον ἀποδεῖξαι. ὅθεν οἱ φιλομαθεῖς ταῖς μὲν ἀριθμητικαῖς καὶ διδασκαλικαῖς ἀγωγαῖς δι' ἑτέρων ἐγγυμνασθέντες τὸ νῖκος τῆς δόξης διὰ τῆσδε τῆς συντάξεως ἀποίσονται, καίπερ καὶ αὐτοὶ οὐκ ἀμύητοι ὄντες περὶ τὰς τῶν κανόνων καὶ εἰσόδων πήξεις· ἃς οὐκ ἠβουλήθην προτάξαι καὶ δισσολογεῖν. εἰ δὲ καὶ δοκοῦμεν τὰ τῶν ἀρχαίων δόγματα συγγράφειν καὶ ἑρμηνεύειν, κατὰ τοῦτο ἀρετῆς ἔπαινον ἀποισόμεθα παρὰ τῶν ἐντυγχανόντων διὰ τὸ ἀσφαλὲς καὶ ἄφθονον καὶ διδασκαλικὸν τῶν αἱρέσεων. ἕτεροι γὰρ πολυλογίαις καὶ ποικίλαις μεθόδοις χρησάμενοι καὶ δόξαντες ἑρμηνεύειν προσεπικατέστρεψαν καὶ τὴν προϋπάρχουσαν τῆς προγνώσεως δόξαν, καὶ ῥῆσιν ἑλληνικὴν διὰ τῶν λόγων ἀσκήσαντες βάρβαρον γνώμην ἐνεδείξαντο. τούτους δὲ ὑπολάβοι ἄν τις Σειρήνων τρόπον ἐπιδεῖξαι, ⟨αἳ⟩ τοὺς παραπλέοντας ἀπατηλῇ καὶ κεκλασμένῃ φωνῇ διὰ τῆς μουσικῆς τῶν ὀργάνων καὶ ὀλεθρίας ᾠδῆς προσκαλούμεναι παρὰ ταῖς ἐναλίαις πέτραις διώλλυον. τὸ ὅμοιον δὲ πάσχουσί τινες καὶ ἔπαθον οἱ ἐντυγχάνοντες ταῖς ἐκείνων αἱρέσεσιν· οἳ κατ' ἀρχὰς μὲν τῇ τῶν λόγων φαντασίᾳ καὶ ἀγωγῇ θελχθέντες εἴς τε ἄπειρον ὕλην ἐμπεσόντες καὶ μὴ εὑρόντες τὴν ἔξοδον οὐ μόνον ἐν βυθῷ ἀλλὰ καὶ ἐν λαβυρίνθῳ διώλοντο· οἱ δὲ καὶ δόξαντες διεκπεφευγέναι τὸν κίνδυνον τρυχηρᾷ καὶ πολυμερίμνῳ βασάνῳ περιπεσόντες ἀνιαρὸν τὸ τέλος ἔσχον.

109 ἐὰν οὖν τις Ὀδυσσέως φρόνημα λαβὼν παραπλεύσῃ τούτους, καταλείπει σεμνὴν ἐν τῷ βίῳ τὴν ἐπιστήμην, ᾗ σύνοικος καὶ συνόμιλος γενόμενος ἀεὶ μεθ' ἡδονῆς διανύει τὸν χρόνον ἐκκόψας τὰς κακοτρόπους τῶν ἀντιπρασσόντων γνώμας μυστηρίων δίκην. ὅθεν τούτους μὲν ἐάσαντας εἰς τὴν τῶν προκειμένων καταντήσομεν δόξαν. ⟨λςʹ.⟩ Περὶ σίνους καὶ πάθους με θ ' ὑποδειγμάτων κα θ ' ἓν ἕκαστον ζῴδιο ν , οἷον ὁ Κριὸς τί ποιεῖ σίνος ἢ πάθος καὶ τὰ ἑξῆς αὐτο ῦ . Ἐπειδὴ σκοτεινῶς οἱ παλαιοὶ τὸν περὶ σίνους τόπον ἔγραψαν, προφανέστερον ἐπιδιασαφήσομεν. τινὲς μὲν οὖν τοῖς ὑποκειμένοις τόποις σωματικοῖς τε καὶ ψυχικοῖς προσέχοντες κατὰ τὴν ἑκάστου γένεσιν τὴν ἀρχὴν ποιούμενοι τῶν μελῶν ἀπὸ κλήρου τύχης καὶ δαίμονος τὸν περὶ σίνους καὶ πάθους τόπον πρὸς τὴν τῶν κακοποιῶν παρουσίαν ἀποφαίνονται. οἷον ὁ κλῆρος τῆς τύχης στῆθος, τὸ βʹ πλευρόν, τὸ γʹ κοιλία, τὸ δʹ ἰσχία, τὸ εʹ μόριον, [καὶ] τὸ ςʹ μηροί, τὸ ζʹ γόνατα, τὸ ηʹ κνῆμαι, τὸ θʹ πόδες, τὸ ιʹ κεφαλή, τὸ ιαʹ πρόσωπον

τράχηλος, τὸ ιβʹ πήχεις ὦμοι. τὰ δὲ πάθη ἀπὸ τοῦ δαίμονος. αὐτὸς γὰρ οὗτος ὁ δαίμων ἐστὶ καρδία, τὸ βʹ ζῴδιον, ἡ ἐντὸς κοιλία τὸ γʹ, δι᾽ οὗ τὸ σπέρμα φέρεται καὶ νεφρῶν τόπος, τὸ δʹ κόλος, τὸ εʹ ἧπαρ, τὸ ϛʹ δευτέρα κοιλία, τὸ ζʹ κύστις, τὸ ηʹ ἔντερα, τὸ θʹ μηνίγγων τόπος καὶ ὀδόντων καὶ ἀκοῆς, τὸ ιʹ ἡ κατάποσις, τὸ ιαʹ γλῶσσα, τὸ ιβʹ στόμαχος. ταῦτα δὲ κατὰ τὸν Λέοντα καὶ Καρκίνον ἀκολούθως δεδήλωται, ἐπεὶ ἡ μὲν Σελήνη τύχη τοῦ κόσμου ἐστίν, ὁ δὲ Ἥλιος νοῦς καὶ δαίμων. Καὶ ταῦτα μὲν οἱ πρὸ ἡμῶν· ἡμῖν δ᾽ ἀκριβέστερον ἐκ πείρας ἔδοξεν οὕτως. ἔστω γὰρ τὸν Κριὸν καθολικῶς σημαίνειν τὰ περὶ τὴν κεφαλὴν καὶ τὰ αἰσθητήρια καὶ ὄψιν· ποιεῖ οὖν ὁ τόπος κατὰ τὴν μέλουσαν ἡμῖν ἐπίλυσιν κεφαλαλγίας ἐπισκιασμοὺς ἀποπληξίας δυσηκοΐας ἀμαυρώσεις λέπρας λιχῆνας μαδαρώσεις ἀλωπεκίας φαλακρώσεις ἀναισθησίας σηπεδόνας πνευστικῶν ἐπιφορὰς κονδυλώματα ὑπερσαρκώματα καὶ ὅσα περὶ τὰ αἰσθητήρια εἴωθε συμβαίνειν περί τε τὰς ἀκοὰς καὶ τοὺς ὀδόντας. ὁ Ταῦρος δὲ σημαίνει τράχηλον πρόσωπον κατάποσιν ὄσφρησιν ῥῖνα, κύρτωσιν δὲ διὰ τὸ γυρὸν καὶ χώλωσιν διὰ τὴν καμπὴν τοῦ ποδός, ὀφθαλμῶν ἀλγηδόνας καὶ αἰτίας ἐπικινδύνους ἢ πηρώσεις διὰ τὴν Πληϊάδα· ἔστι δὲ καὶ λατρευτικὸν τὸ ζῴδιον καὶ αἰσχροποιόν· ποιεῖ δὲ καὶ σπασμοὺς καὶ σταφυλοτομίας ἀνθρακώσεις χοιράδας πνιγμοὺς ἢ περὶ μυκτῆρας σίνη πάθη λύπας, πτώσεις ἀπὸ ὕψους ἢ τετραπόδων, κατάγματα μελῶν βρογχοκήλας ἐκκοπὴν ἰσχιάδα ἀπόστημα.

110 οἱ δὲ Δίδυμοι εἰσὶν ὦμοι πήχεις χεῖρες δάκτυλοι ἄρθρα νεῦρα ἰσχὺς ἀνδρεία μεταβολὴ θηλυγονία λόγος στόμα ἀρτηρία φωνή. κακωθέντες μὲν οὖν περὶ ταῦτα σίνη ἀποτελοῦσιν, ἐπάγουσι δὲ καὶ λῃστηρίων ἢ πολεμίων ἐφόδους καὶ τραύμασι καὶ τομαῖς καὶ ἐκκοπαῖς μελῶν περιτρέπουσιν ἢ ἰκτερικοὺς ἢ ἀπὸ ὕψους πτώσεις. Καρκίνος στῆθος στόμαχος μαζοὶ σπλὴν στόμα ἀπόκρυφοι τόποι ἀμαυρώσεις πηρώσεις διὰ τὸ νεφέλιον· γίνονται δὲ κατὰ τοῦτον τὸν τόπον λέπραι ἀλφοὶ λιχῆνες ἀποπληξίαι ὑδρωπικοὶ τῆς αἰτίας ἐκ τοῦ σπληνὸς γενομένης πλαγιοβαθεῖς ἢ ὑπόχωλοι ἢ ἀνάπηροι ἰκτερικοὶ ἑτερόχροες, ἐκφυεῖς τοῖς ὀδοῦσιν ἢ τοῖς ὀφθαλμοῖς ὑπόστραβοι, μιλφοὶ πτίλοι ἔγκυρτοι, ἀπὸ θηρίων ἐνύδρων ἀδικούμενοι καὶ περὶ τὰς ὄψεις φακοὺς καὶ ῥαντίσματα ἔχοντες, βηχικοὺς ἀναφορικοὺς ἰκτερικοὺς πλευρικοὺς πνευμονικούς. Λέων πλευραὶ ὀσφὺς καρδία ἀνδρεία ὅρασις νεῦρα· γίνονται οὖν μανιώδεις ἢ θεοφορούμενοι καὶ ἀπὸ βίας ἢ μοχθηρίας σπώμενοι ἢ δι᾽ ἀνδρείαν ἢ σώματος ἄσκησιν ἐκβολὴν μέλους κολόβωσιν ὑπομένοντες καὶ περὶ τοὺς φωστῆρας ἀδικούμενοι. ἔστι δὲ καὶ δυσωδίας αἴτιος· ὅθεν καὶ ἐπαίσχρους ποιεῖ ἢ ἀποκόπους καταγματικούς, ἀπὸ ὕψους ἢ τετραπόδων πίπτοντας καὶ ὑπὸ θηρίων δακνομένους καὶ ὑπὸ συμπτώσεως ἢ ἐμπρησμοῦ σινουμένους, ἔτι καὶ μελαγχολικοὺς φαγεδαίνας κιναιδίας. Παρθένος κοιλία ἔντερα καὶ τὰ ἐντὸς ἀπόκρυφα, ὅθεν καὶ τὰς αἰτίας τῶν παθῶν ἀποτελεῖ, καὶ περὶ τὰς συνουσίας ἀσθενεστέρους ἢ ἐγκρατεῖς καὶ αἰδοίους. ἵνα δὲ μὴ δοκῶμεν ἐπὶ πολὺ γράφειν, ἐκ τῆς τοῦ ζῳδίου καὶ τῆς τοῦ ἀστέρος φύσεως τά τε σίνη καὶ πάθη πρόδηλα γίνεται. ποιεῖ δὲ ὀρθοπνοϊκοὺς κλάσματα θεοφορουμένους φοιβήσεις, γυναικὶ δὲ ὑστερικὰς διαθέσεις καὶ περὶ κοιλίαν αἰτίαν. Ζυγὸς ἰσχία γλουτοὶ κόλον μορίων ὀπίσθια μέρους. ποιεῖ δὲ ὁ τόπος παραλυτικοὺς κλάσματα κήλας δυσεντερίας ὕδρωπας λιθιάσεις. Σκορπίος μόρια ἕδρα· ποιεῖ δὲ διὰ τὸ κέντρον καὶ ἀμαυρώσεις πηρώσεις ἐπισκιασμοὺς λιθιάσεις στραγγουρίας περιοδικὰς νόσους πολυκοιλίας συριγγώματα. Τοξότης μηροὶ βουβῶνες· γίνονται δὲ ἑτερόχροες συγγενήματα ἔχοντες φαλακροὶ ἐπισκιαζόμενοι ἢ ὀφθαλμοπόνοι ἢ πηρώσεις στόματος δυσωδίαι ποδάγραι· ποιεῖ δὲ καὶ ἀπὸ ὕψους ἢ τετραπόδων πτώσεις, μελῶν ἐκβολὰς καὶ θηρίων ἀδικίας, περισσομελεῖς.

111 Αἰγόκερως γόνατα νεῦρα τῶν τε ἐντὸς καὶ ἐκτὸς σπαστικὰ διὰ τὸ εἶναι αἰνιγματώδη· ποιεῖ δὲ ἀμαυρώσεις πηρώσεις διὰ τὴν ἄκανθαν, μανίας, δι᾽ ὑγρῶν ὀχλουμένους, ἔτι δὲ φρενίτιδας γυναικοκαυσίαι τριβάδες ἀσελγεῖς λατρευτικοὶ αἰσχροποιοί. Ὑδροχόος σκέλη κνῆμαι νεῦρα ἄρθρα, ποιεῖ δὲ ἐλεφαντιῶντας ἰκτερικοὺς μελαγχλώρους πηροὺς ὑδρωπικοὺς μανιώδεις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀποκόπους καταγματικούς, τοῖς δὲ στραγγουρίας. Ἰχθύες πόδες νεῦρα ἄκρα· γίνονται ἀρθριτικοί, λεύκας λιχῆνας λέπρας ἔχοντες, κατωφερεῖς ἐπίψογοι πολύσινοι περισσομελεῖς ψελλοὶ δύσκωφοι ψωροί, ἀπὸ ἐνύδρων θηρίων ἀδικούμενοι ἢ δι' ὑγρῶν παρῶν ὀχλούμενοι. Τούτων οὕτως ἐχόντων σκοπεῖν δεήσει ἀκριβῶς ἐπὶ πάσης γενέσεως τὸν κλῆρον τῆς τύχης, εἰς ποῖον ζῴδιον ἐξέπεσε, καὶ ἡ τοῦ ζῳδίου φύσις σημαίνει τὸ σίνος· μάλιστα δὲ ὁ τοῦ κλήρου τῆς τύχης κύριος ἐν ὁποίῳ ἂν ᾖ ζῳδίῳ. ὁμοίως δὲ καὶ τὸν δαίμονα καὶ τὸν τούτου κύριον σκοπεῖν, εἰς ποῖα ζῴδια ἐξέπεσε, καὶ οὗτοι τὰ πάθη δηλώσουσι· καὶ 〈οἱ〉 εἰς τὸν περὶ πράξεως τόπον ὡσαύτως σοι νοηθήσονται. ἐνεργέστερα μὲν οὖν τὰ σίνη καὶ τὰ πάθη γενήσεται, ἐπὰν κακοποιοὶ ἐπῶσιν ἢ μαρτυρῶσι τοῖς τόποις ἢ τοῖς οἰκοδεσπόταις· γίνονται δὲ ἀσινεῖς ἢ ἀπαθεῖς, ὅταν καλῶς οἱ τόποι καὶ οἱ κύριοι ἀκάκωτοι τύχωσιν. ἕκαστος μὲν οὖν ἀστὴρ τὸ ἴδιον ἀποτέλεσμα ποιεῖ ἐξ ἧς ἔλαχε φύσεως. ἐὰν γὰρ ὑποθέσεως χάριν ὁ κλῆρος εἰς Κριὸν ἐμπέσῃ ἢ ὁ τούτου κύριος Ἄρης ** ἐπῇ [καὶ τοῦ Κριοῦ καὶ τοῦ Σκορπίου ἐκυρίευσε], προλέγειν σίνος περὶ κεφαλὴν καὶ μόριον ἢ ἕδραν· οἷον 〈γὰρ〉 εἴωθε κατὰ τὴν ἰδίαν φύσιν ὁ ἀστὴρ ἀποτελεῖν, ἀποτελέσει. ἔσθ' ὅτε γὰρ ἀμφοτέρων τῶν τόπων κακωθέντων τὰ σίνη καὶ τὰ πάθη γίνονται, καὶ μάλιστα ὅταν κακοποιοὶ κυριεύσωσιν ἢ ἐπιμαρτυρήσωσιν. Ἔστω δὲ ἐπὶ ὑποδείγματι, ἵνα μὴ δόξωμεν ἀποκρύφως εἰρηκέναι, Ἥλιος Ζεὺς Ἄρης Αἰγόκερῳ, Σελήνη ὡροσκόπος Λέοντι, Κρόνος Ταύρῳ, Ἀφροδίτη Ἑρμῆς Ὑδροχόῳ, ὁ κλῆρος τῆς τύχης 〈Αἰγόκερῳ〉. ὁ κύριος τῆς τύχης Κρόνος Ταύρῳ· γέγονε πηρὸς διὰ τὴν Πληιάδα καὶ διὰ τὸν κακοποιὸν Κρόνον καὶ ἀρρητοποιὸς δι' ἀμφότερα τὰ ζῴδια· καὶ γὰρ Ζεὺς ὁ κύριος τοῦ δαίμονος τοῦ ἐν Ἰχθύσιν ἐν Αἰγόκερῳ εὑρέθη.

112 καὶ ἐκ τούτων δὲ ἐδηλώθη ὅτι [ὁ] ποδαγρός· ἀρκετὸν μὲν ἦν ἀπὸ τοῦ κλήρου καὶ τοῦ κυρίου τὸ πάθος καὶ τὸ σίνος εὑρηκέναι. Ἄλλ η. Ἥλιος Ἀφροδίτη Ἄρης Τοξότῃ, Σελήνη Ζυγῷ, Κρόνος Καρκίνῳ, Ζεὺς Παρθένῳ, Ἑρμῆς Σκορπίῳ, ὡροσκόπος Αἰγόκερῳ. κλῆρος Σκορπίῳ· ἐσινώθη τὸ μόριον. ὁ κύριος τοῦ Σκορπίου ἐν Τοξότῃ γέγονε· φαλακρὸς καὶ πηρὸς διὰ τὴν ἀκίδα. Ζεὺς δὲ ὁ κύριος [Ἄρεως καὶ] τοῦ δαίμονος ἐν τῷ περὶ θεοῦ τόπῳ εὑρεθεὶς ἐποίησεν ἀναβλέψαι διὰ θεοῦ· γέγονε δὲ καὶ χρησμοδότης. Ὅθεν καὶ οἱ ἀγαθοποιοὶ σίνεσι καὶ πάθεσι περιτρέπουσι κακῶς πεσόντες καὶ οἱ κακοποιοὶ καλῶς ἀσινεῖς, αἰτίας μόνον καὶ χρονικὰ ἐμποιοῦντες. ἐὰν δέ πως οἱ κυριεύσαντες κλήρου ἢ δαίμονος ἐν τῷ θεῷ ἢ τῇ θεᾷ τύχωσιν ὑπὸ κακοποιῶν ἐναπειλημμένοι ἢ μαρτυρούμενοι, ἀποφθεγγομένους ἢ μανιώδεις ἢ προγνωστικοὺς ἀποτελοῦσιν. εἰκότως μὲν ὁ συγγραφεὺς ἔφη· ἐὰν ὁ τὸ σίνος ἀποδεικνύων ἐπὶ κραταιοῦ τόπου τυχὼν ὑπὸ κακοποιοῦ κατοπτευθ ῇ , δυσεξάλειπτα καὶ οὐκ ἰάσιμα τὰ συμβαματικὰ πάθη γενήσεται · εἰ δὲ τῷ λυπουμένῳ τόπῳ ἀγαθοποιὸς ἐπῇ ἢ προσεπιμαρτυρήσ ῃ , ἤτοι ἰατρείαις ἢ θεοῦ βοηθείᾳ ἀπαλλαγήσοντα ι. κραταιοὺς οὖν τόπους λέγει τὰ κέντρα καὶ τῶν κλήρων τὰς δύο ἐπαναφοράς, καὶ μάλιστα ὅταν οἱ κακοποιοὶ ** λαχόντες ἐπῶσι τούτοις. χρὴ μὲν οὖν ἀκριβῶς καὶ μοιρικῶς τοὺς κλήρους ἐξετάζειν· πολλάκις γὰρ κατὰ μὲν τὴν πλατικὴν θεωρίαν εἴς τι ζῴδιον συνεκπίπτει ὁ κλῆρος, κατὰ δὲ τὴν μοιρικὴν εἰς ἄλλο. συμβαίνει δὲ τοῦτο παρὰ τὰς τῶν φώτων καὶ ὡροσκόπου μοίρας, 〈εἰ〉 ἤτοι ἐπὶ τέλει ἢ ἐν ἀρχαῖς τῶν ζῳδίων εὑρίσκεται. καθολικῶς μὲν οὖν Ἥλιος Σελήνη Κρόνος Ἑρμῆς διάμετροι ἢ ἐπαναφερόμενοι σίνη περὶ ὅρασιν καὶ αἰτίας ἑτέρων παθῶν ἢ μανίας ἢ ἀποπληξίας ἐπιφέρουσι. Ἀρεϊ Ἥλιος ἐπαναφερόμενος ἢ ἐν τῷ αὐτῷ ζῳδίῳ ὑπάρχων ἀναφορικοὺς αἱμοπτυϊκοὺς καρδιακοὺς ἀποτελεῖ καὶ περὶ τὸ ὁρατικὸν σίνη. Κρόνος δὲ καὶ Ἄρης ἐν τῷ ὑπογείῳ ἤτοι ὁμόσε ἢ κατὰ μόνας ἐπισκιασμοὺς ἢ καταπτωτικοὺς ἢ θεῶν ἢ νεκρῶν εἰδωλοποιητὰς καὶ ἀποκρύφων ἢ ἀπορρήτων μύστας· τὸ δ' ὅμοιον, κἂν τὴν σύνοδον ἢ πανσέληνον καθυπερτερήσωσιν. ἢ διαμετρήσωσιν ἢ καὶ κατὰ μόνας τὴν Σελήνην [ἢ] τῆς Σελήνης φάσιν τινὰ λυούσης κατοπτεύσωσι, μανιώδεις ἐκστατικοὺς πτωματικοὺς ἀποφθεγγομένους ἀπεργάζονται.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

113 Ἔστω δὲ ἐπὶ ὑποδείγματος Ἥλιος Κρόνος Αἰγόκερῳ, Σελήνη Σκορπίῳ, Ζεὺς Λέοντι, Ἄρης Ἰχθύσιν, Ἀφροδίτη Ἑρμῆς Ὑδροχόῳ, ὡροσκόπος Παρθένῳ· ὁ μὲν κλῆρος τῆς τύχης Σκορπίῳ, ὁ δαίμων Καρκίνῳ. ἠναντιώθη οὖν τῷ δαίμονι τὸ διανοητικὸν ἀποτελοῦντι καὶ ψυχικὸν Κρόνος καὶ τὴν πανσέληνον καὶ τὴν προγενομένην φάσιν κατώπτευσεν, ὁ δὲ κύριος τοῦ κλήρου ἠναντιώθη τῷ ὡροσκόπῳ. ἔσχε μὲν οὖν καὶ περὶ τοὺς ἀναγκαίους τόπους σίνος καὶ ποδῶν αἴσθησιν, ἐξαιρέτως δὲ ἐσεληνιάσθη. Ἄλλ η. Ἥλιος Τοξότῃ, Σελήνη Καρκίνῳ, Κρόνος Ταύρῳ, Ζεὺς Ἑρμῆς Σκορπίῳ, Ἄρης Λέοντι, Ἀφροδίτη Αἰγόκερῳ, ὡροσκόπος Ὑδροχόῳ, κλῆρος τύχης Λέοντι. τούτῳ Ἄρης ἐπίκειται Κρόνου καθυπερτεροῦντος· ὁ δὲ Ἥλιος ἐν Διὸς τόποις εὑρεθεὶς σημαίνων τὰ περὶ βουβῶνα καὶ μηροὺς καὶ πόδας ἐποίησε περὶ ταῦτα σίνος καὶ ποδάγραν· καὶ γὰρ αὐτὸς νεύρων κυριεύει. τοῦ δὲ Κρόνου ἐν τῷ ὑπογείῳ εὑρεθέντος θεῶν καὶ νεκρῶν εἴδωλα ἐφαντάσθη. Ἄλλ η. Ἥλιος Ὑδροχόῳ, Σελήνη Παρθένῳ, Κρόνος Ταύρῳ, Ζεὺς ὡροσκόπος Διδύμοις, Ἄρης Καρκίνῳ, Ἀφροδίτη Ἰχθύσιν, Ἑρμῆς Αἰγόκερῳ. ὁ κλῆρος τῆς τύχης Αἰγόκερῳ, ὁ δαίμων Σκορπίῳ· τούτοις ἠναντιώθησαν οἱ κακοποιοί· ἐγένετο μαλακὸς ἀρρητοποιός. καὶ γὰρ ὁ Αἰγόκερως ἀσελγὴς καὶ ὁ τούτου κύριος Ταύρῳ παθητικῷ ζῳδίῳ· καὶ Σκορπίος τὸν τρόπον τῆς ἀσελγείας δηλοῖ. Ἄλλ η. Ἥλιος Ἀφροδίτη Τοξότῃ, Σελήνη Καρκίνῳ, Κρόνος Διδύμοις, Ζεὺς Ἄρης Λέοντι, Ἑρμῆς Σκορπίῳ, ὡροσκόπος Αἰγόκερῳ. ὁ κλῆρος τῆς τύχης Λέοντι, ὁ δαίμων Διδύμοις· τούτῳ ἐπικείμενος Κρόνος ἀπόκοπον ἐποίησεν· ἦν γὰρ καὶ ὁ κύριος Σκορπίῳ [Ἑρμῆς] σημαίνοντι τὸ μόριον καὶ Ἥλιος Τοξότῃ τοὺς περὶ βουβῶνα τόπους. ὅθεν ἐν τῷ δαίμονι ἐπεισερχόμενοι οἱ κακοποιοὶ 〈ἢ〉 ἐναντιούμενοι μανιώδεις ἢ ἐκστατικοὺς ποιοῦσιν. Ἄλλ η. Ἥλιος Σελήνη Ἑρμῆς ὡροσκόπος Σκορπίῳ, Κρόνος Λέοντι, Ζεὺς Καρκίνῳ, Ἄρης Αἰγόκερῳ, Ἀφροδίτη Ζυγῷ. οἱ κλῆροι Σκορπίῳ· γέγονε πηρὸς διὰ τὸ κέντρον· ἄλλως 〈τε〉 καὶ Κρόνος καθυπερτέρησε τὴν σύνοδον καὶ τὰ φῶτα καὶ ὁ κύριος Ἄρης παρέπεσεν. Ἄλλ η.

114 Ἥλιος Ἑρμῆς Ταύρῳ, Σελήνη Ὑδροχόῳ, Κρόνος Ἀφροδίτη Κριῷ, Ζεὺς Παρθένῳ, Ἄρης Ἰχθύσιν, ὡροσκόπος Λέοντι, ὁ κλῆρος τῆς τύχης Ταύρῳ· ἡ κυρία Ἀφροδίτη Κριῷ σὺν Κρόνῳ· ὁ τοιοῦτος ἔσχε περὶ τὴν κεφαλὴν ἀλωπεκίαν καὶ περὶ τὸ σῶμα ἀλφοὺς καὶ λιχῆνας· ἦν γὰρ ὁ κύριος τοῦ δαίμονος Ἰχθύσιν. Ἄλλ η. Ἥλιος Ταύρῳ, Ἄρης Ταύρῳ, Σελήνη Παρθένῳ, Κρόνος Τοξότῃ, Ζεὺς Διδύμοις, Ἑρμῆς Ἀφροδίτη ὡροσκόπος Κριῷ. ὁ κλῆρος τῆς τύχης Τοξότῃ· ὁ κύριος Διδύμοις· ὁμοίως καὶ δαίμων Λέοντι, ὁ κύριος Ταύρῳ· γέγονεν ὁ τοιοῦτος γαλιάγκων. Ἄλλ η. Ἥλιος Ἑρμῆς Κριῷ, Σελήνη Ἰχθύσι, Κρόνος ὡροσκόπος Ὑδροχόῳ, Ἄρης Ἀφροδίτη Ταύρῳ, Ζεὺς Ζυγῷ, κλῆρος τύχης Ἰχθύσι, κλῆρος δαίμονος Αἰγόκερῳ. ὁ τοιοῦτος θεόληπτος μανιώδης. ὁ κύριος τοῦ κλήρου Ζεὺς εἰς τὸν περὶ θεοῦ Ζυγόν, ὁ τοῦ δαίμονος κύριος Κρόνος ὡροσκόπῳ· εὑρέθη δὲ καὶ Ἀφροδίτη ἐν τῷ ὑπογείῳ. Ἄλλ η. Ἥλιος Ἑρμῆς Λέοντι, Σελήνη Σκορπίῳ, Κρόνος ὡροσκόπος Κριῷ, Ζεὺς Ἰχθύσιν, Ἄρης Ἀφροδίτη Παρθένῳ, κλῆρος τύχης Αἰγόκερῳ, δαίμων Καρκίνῳ. ὁ τοιοῦτος κυρτός. 〈λζʹ.〉 Περὶ γάμου καὶ συναρμογῆς καὶ εὐπαθείας παντοῖαι θεωρίαι καὶ σχήματα παντοῖ α . Ὅσαι μὲν οὖν μοι ἀγωγαὶ διὰ πείρας ἔδοξαν ἀληθεύειν, ταύτας μετ᾽ ἐπιλύσεως προέταξα· νυνὶ δὲ καὶ τὸν περὶ γάμου τόπον ποικίλον μὲν ὑπάρχοντα, εὐκατάληπτον δὲ τοῖς γε νοῦν ἔχουσι διασαφήσω. ὁ περὶ γάμου τόπος καταλαμβάνεται μὲν φυσικῶς ἀπὸ τοῦ ζʹ ζῳδίου τοῦ ὡροσκόπου· προσβλέπειν δὲ δεῖ τὴν Ἀφροδίτην ὡς κεῖται μετὰ τίνων καὶ ὑπὸ τίνος ἢ τίνων μαρτυρεῖται ἢ δεσπόζεται. ἐν τροπικοῖς γὰρ ζῳδίοις οὖσα ἢ δισώμοις χρηματίζουσα μάλιστα ἐπὶ νυκτὸς πολυγάμους ποιεῖ καὶ πολυκοίνους, καὶ μάλιστα ἐὰν ὁ Ἑρμῆς αὐτῇ ὁμόσε τύχῃ, ἢ πολὺ μᾶλλον ἐὰν καὶ ὁ Ἄρης αὐτῇ ἐπιμαρτυρήσῃ· καὶ γὰρ εἰς παίδων ἀρρένων ἐπιπλοκὰς ἔρχονται. εἰ δὲ καὶ τὸ ζῴδιον ᾖ βλοσυρώτερον, πρὸς τὰς συνουσίας ἐπιτακτικώτεροι γίνονται. ἐὰν ἡ Ἀφροδίτη χρηματίζῃ, ὁ δὲ κύριος αὐτῆς δεδυκὼς ἢ κακοδαιμονῶν ἢ φθοροποιὸς αὐτὴν κακώσῃ ἢ φαύλως ᾖ κείμενος, ἀτυχεῖς περὶ τοὺς γάμους καὶ συναλλαγὰς ποιεῖ.

115 ἐὰν δὲ αὐτὴν τὴν Ἀφροδίτην φθοροποιὸς ἀθετήσῃ μαρτυρήσας ἢ καὶ τὸν οἰκοδεσπότην μάλιστα, θανάτους γυναικῶν ποιήσει ἢ σίνη ἢ περιστάσεις. ἐὰν μὲν καλῶς ἔχωσι πρὸς τὴν γένεσιν, κληρονομίας ἐξ αὐτῶν· κακῶς δὲ κείμενοι πάθη καὶ λύπας. Δυτικὴν Ἀφροδίτην Κρόνος ἐπιβλέπων κατὰ τὸ πλεῖστον ἀγάμους καὶ δυσσυναλλάκτους ποιεῖ. ἐὰν Ἀφροδίτη ἐν Κρόνου ζῳδίῳ τύχῃ ἢ καὶ ὁρίοις ἢ καὶ κατ᾽ ἰσοσκελῆ γραμμὴν ὑπὸ αὐτοῦ διαμετρηθῇ καὶ μήτε Ἄρης μήτε Ζεὺς αὐτῇ ἐπιμαρτυρήσῃ μήτε Ἑρμῆς 〈μήτε〉 συμπαρῶσιν αὐτῇ, παντελῶς ἔσονται χῆραι καὶ παρθένοι. πάντοτε δὲ διαμετρῶν Κρόνος Ἀφροδίτην σεσινωμένην γυναῖκα δίδωσιν ἢ στεῖραν· ὁμοίως καὶ γυναικὶ ἄνδρα. ἐὰν δὲ Κρόνος μεσουρανήσῃ, διαμετρῇ δὲ τὴν Ἀφροδίτην, δούλην δίδωσι γυναῖκα. ἐὰν Ἀφροδίτη Κρόνου οἴκῳ οὖσα ὑπὸ Διὸς μαρτυρηθῇ ἢ ἀπορρέουσα Διὸς Κρόνῳ συνάπτῃ ἢ εἰς κόλλησιν αὐτοῦ ἔρχηται, βλέπηται δὲ ὑπὸ Ἄρεως, τροφοῖς αὐτῶν ἢ καθηγητῶν γυναιξὶν ἢ μητρυιαῖς ἢ πατέρων ἢ μητέρων ἀδελφαῖς ἢ ἀδελφοῖς ἐπιμίσγονται. Ἡλίου δὲ αὐτοῖς συνεπιμαρτυρήσαντος ἢ τῇ Σελήνῃ ἔτι μᾶλλον τὰ ἁμαρτήματα περικυλίσει, μάλιστα τῆς Σελήνης μαρτυρούσης αὐτοῖς ἢ ὑπ᾽ αὐτῶν μαρτυρουμένης. Ἀφροδίτη ἐν τῷ δυτικῷ ζῳδίῳ μετὰ Κρόνου ἢ ἐν τῷ ὑπογείῳ κέντρῳ ἀγεννέσι γάμοις ἐπιμίξει ἢ καὶ ἐπ᾽ αὐτοῖς πένθη ποιήσει. καθόλου ὅσοι Ἀφροδίτην ἔχουσι σὺν Κρόνῳ ἢ καὶ οἰκοδεσποτοῦσαν αὐτοῦ ἢ καθυπερτεροῦσαν καὶ τὸν Δία τούτοις μαρτυροῦντα, πρεσβυτέραις ἐπιπλακήσονται ἢ καὶ ὑπερεχούσαις· ἐὰν δὲ γυναικὸς ᾖ, τὸ αὐτό. Σελήνη καὶ Ἀφροδίτη ὁμόκεντροι ἀδελφαῖς ἢ ἀδελφοῖς ἐπιπλέκονται μάλιστα Διὸς καὶ Ἄρεως ἐπιμαρτυρούντων. Σελήνη καὶ Ἀφροδίτη τετράγωνοι ἢ διάμετροι ζηλοτύπους ποιοῦσιν· Ἄρεως δὲ ἐπιμαρτυρήσαντος μείζων ἡ ἐπίτασις. Σελήνη Ἀφροδίτῃ τρίγωνος ἐν ἰδίῳ οἴκῳ ἢ τετράγωνος, μάλιστα ἐπίκεντροι, συγγενικοὺς δίδωσι γάμους, καὶ μᾶλλον Ἄρεως καὶ Διὸς μαρτυρησάντων. Ἥλιος ἐν ἰδίῳ οἴκῳ ἢ ὑψώματι μετὰ Διὸς καὶ Ἀφροδίτης συγγενικῷ γάμῳ ζευγνύουσιν ἀπὸ πατρός· Ἀφροδίτη ἐν ἰδίῳ οἴκῳ ἢ ὑψώματι Διὸς [καὶ Ἀφροδίτης] ὁρίοις σὺν Ἑρμῇ καὶ Σελήνῃ συγγενικῷ γάμῳ ζευγνύουσιν ἀπὸ μητρός.

116 Ἀφροδίτη ἐν τῷ ὑπογείῳ κέντρῳ τυχοῦσα μετὰ Σελήνης ἢ καὶ εἰ διαμετρήσωσιν ἀλλήλας ἢ καὶ ἀντιμεσουρανήσωσιν, ἀδελφικοῖς ἢ συγγενικοῖς ζευγνύουσι προσώποις. πάντοτε Κρόνος Ἀφροδίτην ἐπιδεκατεύων ἢ εἰ διαμετρήσει ἢ εἰ σὺν αὐτῇ τύχῃ ἢ οἰκοδεσποτεῖ αὐτῆς, ψύξει τοὺς γάμους ἢ ῥυπαίνει, καὶ μᾶλλον Ἑρμοῦ μαρτυροῦντος. Κρόνος καὶ Ἀφροδίτη ἐν τῇ ἐπαναφορᾷ ἢ ἐπὶ κέντρῳ αὐτῇ μαρτυρῶν ποιεῖ αἰσχροὺς καὶ καταφερεῖς καὶ νεωτερίζοντας καὶ ἀναξίαις ἢ δούλαις ἐπιπλεκομένους, ὧν χάριν χειμασθήσονται, ἐὰν μή τις μεσεμβολῶν διακόψῃ τὴν κάκωσιν. ἐὰν δὲ ὁ τοῦ Διὸς μαρτυρῇ, πολλὰ καὶ τῶν ἀτακτημάτων κρυβήσεται καὶ οὐκ ἔσται αἰσχρά· ἐπιμιγήσονται γὰρ καὶ ὑπερεχούσαις γυναιξὶ καὶ ταῖς τῶν γνωρίμων καὶ οὐ πολυτεκνήσουσιν αἵ τε συνερχόμεναι αὐτοῖς στειρωθήσονται ἢ καὶ βραδέως συλλήψονται καὶ συλλαβοῦσαι διαφθείρουσι· τὰ δ᾽ ὅμοια καὶ ἐπὶ θηλυκῆς γενέσεως νοείσθω. Ἐὰν Κρόνος τῇ Ἀφροδίτῃ συμμαρτυρῇ ἢ ὁρίοις αὐτῆς ᾖ, αὐτὴ δὲ ἡ Ἀφροδίτη σὺν Διὶ καὶ Ἄρεϊ σχηματισθῇ, προκοπὴ μὲν ἔσται διὰ τέκνου ἢ θηλυκοῦ προσώπου καὶ ὄψεται εὐτυχίας, τὸ δὲ τέλος διαμαρτήσει, ἐὰν μὴ ἐν ἰδίοις τύχωσιν οἴκοις ἢ ὑψώμασι χρηματίζοντες. ἐὰν ὑπὸ Διὸς Σελήνη ἀκτινοβοληθῇ ἢ συσχηματίζηται αὐτῷ, ὁ δὲ Κρόνος αὐτῇ σὺν τῷ Διὶ μαρτυρῇ, ἀναξίᾳ γυναικὶ καὶ ἀργυρωνήτῳ συνοικήσει· τὸ γὰρ ἀξίωμα ὁ Κρόνος βλάπτει. ἐὰν δὲ ἐπὶ τούτου τοῦ σχήματος ἡ Ἀφροδίτη ἐν ὑψώματι ὑπάρχῃ ὑπὸ Διὸς μαρτυρουμένη, διὰ ταύτην ἐν προβιβασμοῖς καὶ ὑπάρξει γνωσθήσεται παρὰ μεγάλοις ἀνδράσιν. ἐὰν δὲ καὶ Ἑρμῆς σχηματίζηται ἐπὶ τοῦδε τοῦ διαθέματος, πρακτικοὶ μὲν ἔσονται καὶ εὐεπίβολοι καὶ φρόνιμοι καὶ ἐπαφρόδιτοι, πολύκοιτοι δὲ καὶ ἐπὶ πολὺ ἀστατοῦντες περὶ τοὺς γάμους. καθόλου δὲ Ζεὺς Ἀφροδίτην ἐπιθεωρῶν ἢ καὶ οἰκειούμενος αὐτῇ ἢ καὶ κατὰ μοῖραν σύμφωνος αὐτῇ εὐσυναλλάκτους ποιήσει καὶ ἀπὸ γυναικῶν ὠφελουμένους τάς τε γυναῖκας ἀπὸ ἀνδρῶν· κἂν κεκακωμένη ᾖ, ἐπικουρεῖται ὡς μὴ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πάντα διασφάλλεσθαι. Ἀφροδίτη ἐπίκεντρος οὖσα τῷ ὡροσκόπῳ μάλιστα ἢ τῷ μεσουρανήματι καὶ μὴ κεκακωμένη ὑπὸ Κρόνου εὐγάμους ποιεῖ, ὑπὸ Διὸς δὲ μαρτυρουμένη ἀντέχει ταῖς κακώσεσιν εἰς τὸ μὴ σφάλλεσθαι, συμπαθείας ποιοῦσα καὶ γάμους.

117 κακοδαιμονοῦσα Ἀφροδίτη ἐν ἰδίῳ οἴκῳ ἢ ὑψώματι ἐπιδεκατευομένη ὑπὸ Διὸς ἢ τρίγωνος θεωρουμένη γάμον μὲν ἀγαθὸν δίδωσι, λυπήσει δὲ ἐπὶ θανάτῳ γυναικὸς ἀγαθῆς. ἐὰν Ἀφροδίτη καὶ Κρόνος κακοδαιμονῇ τοῦ Διὸς μὴ ἐπιβλέποντος, δύσγαμοι ἢ χῆροι γίνονται ἐν ἀπολείψει καὶ θανάτοις τρυχόμενοι. ἐὰν δὲ τούτῳ τῷ σχήματι, τουτέστι κακοδαιμονούσῃ Ἀφροδίτῃ καὶ ἀκαταμαρτυρήτῳ ὑπὸ Διὸς φθοροποιὸς αὐτῇ ἐπιμαρτυρῇ οἷον Ἄρης, κατάμοιχοι γίνονται ἢ ἔνοχοι μοιχείας, ἀνέραστοι ῥυπαροὶ καὶ διὰ ταῦτα εἰς περιστάσεις ἀγόμενοι. πάντοτε δὲ τῇ Ἀφροδίτῃ συμπαρόντες ἢ διαμετροῦντες αὐτὴν χωρισμοὺς συμβίων ἢ θανάτους ποιήσουσιν ἢ καὶ συμβιώσεις ἐπιλύπους καὶ πολὺ μᾶλλον, ἐὰν καὶ τὴν Σελήνην συγκακώσωσι. Σελήνη δεδυκυῖα ὑπὸ τὰς αὐγὰς οὐκ ἀγαθὴ εἰς γάμον. Ἄρης μετὰ Ἑρμοῦ κείμενος μοιχείας καὶ πορνείας καὶ λαγνείας ποιεῖ· κἂν τροπικὸν ἢ δίσωμον τὸ ζῴδιον, ἔτι μᾶλλον ποιεῖ· πυκνότερον γὰρ ἁμαρτάνουσιν, ὀφθαλμοβόλοι γὰρ γίνονται καὶ οὐκ ἐπιτευκτικοί· ἔσθ’ ὅτε δὲ καὶ ὁμοιοτρόποις ἐπιμίγνυνται καὶ δεινὰ ἀπ’ αὐτῶν πάσχουσιν, ὅσα καὶ διῴκησαν· πολὺ δὲ μᾶλλον, ἐὰν τούτοις Ἑρμῆς μαρτυρήσῃ. τὰ δ’ αὐτὰ ἐπὶ θηλυκῆς γενέσεως γίνονται. ἐὰν δὲ καὶ Κρόνος ἐπιμαρτυρήσῃ, ἔτι πλεῖον· εὐποιήσαντες γὰρ αὐτὰς ἀχαριστοῦνται, ὥστε καὶ ἐπιβουλεύειν ὡς ἀχαριστηθέντας, ἢ τὰς γυναῖκας τοῖς ἀνδράσιν. Ἐὰν δὲ καὶ δεδυκότες ὦσιν ὑπὸ τὰς αὐγὰς Ἄρης καὶ Ἀφροδίτη, λαθριμαῖοι μοιχεῖαι γενήσονται καὶ κρυπτὰ ἁμαρτήματα· ἐὰν δὲ καὶ ἀνατολικοὶ τύχωσιν ἢ ἐπίκεντροι, φανερώτερον· ἐὰν δὲ καὶ Ἑρμῆς ἀνατολικὸς συμπαρῇ αὐτοῖς, μᾶλλον ἔσται μοιχεία ἐπικίνδυνος καὶ διαβολή. καὶ ἐὰν μὲν Ζεὺς ἐπιμαρτυρῇ, ῥύεται· εἰ δὲ μή, συσχεθήσεται ἢ συναιρεθήσεται, ἐὰν τοῦτον ἔχῃ τὸν τρόπον τοῦ θανάτου· εἰ δὲ μή, ἀναλώσας πολλὰ σωθήσεται. ὅσοις δ’ ἂν συμβῇ κεῖσθαι τὴν Ἀφροδίτην κακῶς καὶ Ἄρεα κακοδαιμονοῦντα καὶ παρ’ αἵρεσιν χρηματίζωσιν ἢ ἐν τῷ δύνοντι ζῳδίῳ τύχωσιν ἢ καὶ συναιρετιστοῦ οἴκῳ, χεῖρον ἔσονται φθοραὶ καὶ μοιχεῖαι ἐπικίνδυνοι, ἔσονται δὲ καὶ φθονικαὶ κατακρίσεις· ὁμοίως δὲ καὶ διαμετροῦντες ἀλλήλους ποιοῦσι τὰ προγεγραμμένα, ἐπιτατικώτερον δὲ εἰς χωρισμοὺς καὶ ἀηδίας καὶ ζηλοτυπίας καὶ ὀργὰς καὶ μᾶλλον ἐπιβουλὰς καὶ κινδύνους μεταλαμβάνουσι.

118 διὰ δὲ τὸ τὸν Ἑρμῆν αὐτοῖς μαρτυρεῖν τὰ νεωτερικὰ ἐπακολουθεῖ ἁμαρτήματα, προσέτι δὲ καὶ εἰς δουλικὰ πρόσωπα καὶ παῖδας ἐμπλέκονται, πολυκοιτοῦσι δὲ καὶ μοιχαίνουσι καὶ καταφημίζονται, ὑποφθοραί τε ὑπὸ φίλων καὶ δούλων καὶ ἐχθρῶν καὶ στάσεις γίνονται καὶ φαρμακεῖαι. Ζεὺς δὲ συνὼν ἢ μαρτυρῶν μετὰ ἀφροδισίας τὰ προγεγραμμένα ἐπιτελεῖ λεληθότως καὶ ἐπὶ μείζονα προβιβάζονται ὕπαρξιν, μάλιστα ἐὰν ἀνατολικὸς ᾖ ἢ ἐπίκεντρος. Ὅταν Ἄρης Ἀφροδίτῃ ἐπιμαρτυρῇ συμφώνως αὐτῇ, ἐκ μοιχείας συνέρχονται. ὅταν Ἀφροδίτῃ ἀνατολικῇ Ἑρμῆς ἐπιμαρτυρῇ Κρόνου μὴ κοινωνήσαντος μηδὲ τῷ οἰκοδεσπότῃ, παρθένοις καὶ νεωτέραις ζεύγνυνται· κἂν Ἄρης ἐπιβλέπῃ, μᾶλλον· κἂν Ζεύς, ἀξιωματικώτερον. καθόλου δὲ πάντως αὐτῇ 〈συσχηματιζόμενοσ〉 Ἑρμῆς ἐγκυλίει καὶ συμπλέκει νεωτέραις καὶ ὑποτεταγμέναις *** καὶ οἱ ἄνδρες καὶ γυναῖκες τῇ αὐτῇ γενέσει. ὁ δὲ Ἄρης ἐάν τε ὁμόσε αὐτῇ τύχῃ ἐάν τε τετράγωνος, μοιχοὺς λάγνους ἀναξίων ἐγκυλισμοὺς ψόγους χωρισμοὺς θανάτους συμβίων ποιεῖ· χεῖρον, ἐὰν διάμετρος ὁ Κρόνος, εἰς πρεσβυτέρας ἢ εἰς στειρώδη συνάπτει πρόσωπα· ὁ δὲ Ζεὺς ἀξιωματικὰ πρόσωπα. εἰ δὲ τῷ τοῦ Διὸς σὺν τῇ Ἀφροδίτῃ κειμένῳ καὶ ὁ τοῦ Κρόνου σχηματισθῇ, ὑπερεχούσαις γυναιξὶ ἢ δεσπότισι μίσγονται, τὸ δ’ ὅμοιον καὶ ἐπὶ γυναικῶν· πρὸς ἐπὶ τούτοις δὲ καὶ ὑστέρως καὶ ὀψίγαμοι καὶ ἐγκρατεῖς γίνονται καὶ σώφρονες, ὅταν ὁ τοῦ Ἄρεως καὶ ὁ τοῦ Ἑρμοῦ ἀλλοτριωθῶσι τῆς Ἀφροδίτης. ἐὰν δὲ Κρόνος καὶ Ζεὺς συνῇ ἢ τρίγωνοι αὐτῇ μαρτυρῶσι, βεβαιότερα. ὅσοι Ἀφροδίτην ἑῴαν ἀνατολικὴν ἔχουσιν ἐπὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀρρενικῆς γενέσεως, ἐπιτακτικοὶ γίνονται γυναικῶν· ὅσοι δὲ ὑπὸ τὰς αὐγάς, ὑποτάσσονται· τὸ ἀνάπαλιν ἐπὶ θηλυκῶν. Τὸν δὲ γαμικὸν κλῆρον οὕτως ψήφιζε· 〈ἐφ'〉 ἡμερινῆς γενέσεως ἀπὸ Διὸς ἐπὶ Ἀφροδίτην, νυκτερινῆς δὲ τὸ ἀνάπαλιν, καὶ τὰ ἴσα ἀπὸ τοῦ ὡροσκόπου. ὁ οὖν διάμετρος τόπος τοῦ κλήρου μοιχείας δηλωτικὸς ἔσται. ἐὰν ὁ κύριος τοῦ γαμικοῦ κλήρου ἐπὶ τοῦ διαμέτρου εὑρεθῇ καὶ ὁ τοῦ τῆς μοιχείας κλήρου ἐν τῷ γαμικῷ, προσμοιχεύσουσι καὶ ὕστερον συναλλάσσουσι καὶ συναλλάξαντες χωρίζονται καὶ πάλιν κατὰ μοιχείαν συνελεύσονται.

119 ἐὰν ὁ κύριος τοῦ γαμικοῦ κλήρου ἔχῃ ἑῴαν ἀνατολήν, ἀπὸ πρώτης ἡλικίας μίγνυνται γάμοις. ἐὰν δ' ἑσπερίαν, ὀψιγαμοῦσιν· ἐὰν δὲ δυτικὸς ᾖ χρηματίζων, ζηλοτύπως τοῖς γάμοις ἢ ἀσυννόμως ἐπιπλέκονται. ὁ μὲν κύριος τοῦ γάμου δίδωσι τὸν πρῶτον γάμον, οἱ δὲ συμφωνήσαντες τῷ γαμοστόλῳ ἢ τῷ κυρίῳ αὐτοῦ ἀγαθοποιοὶ δώσουσι καὶ αὐτοὶ γάμους, καὶ μᾶλλον, εἰ καὶ διφυῆ ᾖ τὰ ζῴδια τῶν μαρτυρούντων ἢ καὶ αὐτὸς ὁ γαμοστολικός. 〈λη'.〉 Ἄλλως περὶ γάμου μετὰ ὑποδείγματο ς . Ἀνδράσι μὲν ἀπὸ Ἡλίου ἐπὶ Ἀφροδίτην, γυναιξὶ δὲ ἀπὸ Σελήνης ἐπὶ Ἄρεα καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου· ἀμφοτέρων γὰρ τῶν φώτων εἰσὶ φθορεῖς Ἀφροδίτη καὶ Ἄρης διὰ τὸ τὸν μὲν Ἥλιον ὑψούμενον ἐν Κριῷ ἐν τῷ Ζυγῷ φθείρεσθαι καὶ μείωσιν ποιεῖσθαι τῆς ἡμέρας, τὴν δὲ Σελήνην ὑψουμένην ἐν Ταύρῳ ἐν τῷ Σκορπίῳ ταπεινοῦσθαι καὶ ἀφαίρεσιν τοῦ φωτὸς κοσμικῶς ποιεῖσθαι. ἔσται οὖν ἡ μὲν Ἀφροδίτη τῶν ἀνδρῶν γαμοστόλος, ὁ δὲ Ἄρης τῶν γυναικῶν καθολικῶς· ὅθεν ἐπὶ μὲν τῶν ἀνδρῶν τὸν περὶ γάμου τόπον δεῖ συμφωνεῖν τῷ δαίμονι, ἐπὶ δὲ γυναικῶν τῷ κλήρῳ τῆς τύχης διὰ τὴν ἀλληλουχίαν καὶ συνέλευσιν Ἡλίου καὶ Σελήνης· οὕτως γὰρ συμπαθὴς καὶ παράνομος ὁ γάμος κριθήσεται. ἐὰν οὖν τῷ γαμοστολικῷ τόπῳ πολλοὶ ἀστέρες ἐπῶσιν ἢ μαρτυρῶσιν, ἔσται πολυγαμία· καὶ ἐὰν μὲν σὺν τῇ Σελήνῃ πλέκωνται οἱ ἀστέρες Διὸς μαρτυροῦντος, νόμῳ συνελεύσονται· ἐὰν δὲ Κρόνου, θανάτῳ χωρισθήσονται· ἐὰν δὲ Ἑρμοῦ χωρὶς τοῦ Διός, ἐπὶ δούλαις ψογηθήσονται. ἐὰν δὲ Ζεὺς μαρτυρήσῃ Κρόνῳ, νόμιμος γάμος ἀναδειχθήσεται ἢ καί τινας ἐξευγενίσουσιν· ἐὰν δέ πως τῇ Ἀφροδίτῃ προσπλέκωνται ἢ λόγον ἔχωσιν, ἀπὸ συνηθείας ὁ γάμος ἔσται· καὶ ἐὰν μὲν Ζεὺς μαρτυρήσῃ, καὶ νόμιμος ἔσται καὶ ἐπωφελὴς καὶ συμπαθὴς ὁ γάμος· ἐὰν δὲ τοῦ Διὸς ἀπόντος Κρόνος Ἑρμῆς Ἄρης μαρτυρῶσι, κοιναῖς καὶ ἀποτέκναις συνελεύσονται ἢ ἐπαίσχροις καὶ λελωβημέναις. τῇ δὲ Ἀφροδίτῃ ἡ Σελήνῃ ἐὰν προσγένηται, τὸ ἑταιρικὸν καὶ λάγνον ἐπακολουθήσει καὶ ζηλοτυπίαι καὶ στάσεις γενήσονται καὶ εὐυπόκριτος ἡ συμβίωσις. ἐὰν δὲ Ἥλιος τοῦ γαμοστόλου κυριεύσῃ καὶ καλῶς σχηματισθῇ, τῇ δὲ Σελήνῃ συμπλακῇ ὁ τοῦ Διός, νομίμως συνελεύσονται καὶ βέβαιος ἢ ἔνδοξος ὁ γάμος γενήσεται.

120 ἐὰν δέ πως ἡ Σελήνη ὑπὸ Κρόνου θεωρηθῇ, ἐξ ὀρφανίας ὁ γάμος ἔσται ἢ ὑπὸ ἐπιτρόπων· ἐὰν δὲ ὁ τῆς Ἀφροδίτης καὶ ὁ Ἄρης ὁμόσε τύχωσιν ἢ τῇ Σελήνῃ προσπλέκωνται, προεσκυλμέναις ἢ ἀπὸ συνηθείας συνελεύσονται. ἐὰν δέ πως ἡ Σελήνη ἢ Ἀφροδίτη τῷ Διὶ ἢ τῷ Ἡλίῳ συσχηματίσωνται τῶν λοιπῶν ἀπόντων, μονόγαμοι γίνονται. Σκοπεῖν οὖν δεήσει ἐπί τε ἀνδρῶν καὶ γυναικῶν τὸν κλῆρον τῆς τύχης καὶ τὸν δαίμονα καὶ τὰ τούτων τετράγωνα καὶ διάμετρα τούς τε οἰκοδεσπότας καὶ τὸν κύριον, καὶ πότερον ἀγαθοποιοὶ ἢ κακοποιοί. καὶ εἰ μὲν τῆς αἱρέσεως ὄντες συσχηματίζονται, καλὸς ἔσται καὶ συμπαθὴς ὁ γάμος· ἐὰν δὲ οἱ τόποι ἢ οἱ κύριοι διαμετρήσωσιν ἀλλήλους ἢ ὑπὸ κακοποιῶν κατοπτευθῶσιν, ἐναντιώματα στάσεις ζηλοτυπίαι ἔχθραι κρίσεις περὶ τὴν συμβίωσιν γενήσονται, ἔσθ' ὅτε μὲν οὖν καὶ ἀνάγκην ὑπομένοντες κολάζονται. ἐὰν δὲ τούτων σχηματιζομένων οἰκείως ὁ τοῦ Κρόνου ἐπιμαρτυρήσει, θανάτῳ 〈ὁ〉 χωρισμὸς ἔσται· ἐὰν δὲ Ἑρμῆς τύχῃ τοῦ δαίμονος κύριος, ἡ δὲ Σελήνη τοῦ γαμοστόλου καὶ συμπαρῶσιν ἢ μαρτυρῶσιν ἀλλήλοις, συνελεύσεται κυρίαις ὁ τοιοῦτος ἢ ὑπερεχούσαις γυναιξὶν ἢ βίῳ ἢ γένει. ἐὰν δέ πως καὶ ὁ τοῦ Διὸς συμμαρτυρήσῃ, ἐπωφελὴς καὶ συμπαθὴς ἡ συνέλευσις ἔσται· ἐὰν δὲ Κρόνος ἢ Ἄρης, ταραχαὶ ἢ φθόνοι ἢ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χωρισμοὶ γενήσονται καὶ κακωτικαὶ αἰτίαι παρακολουθήσουσιν. ἐὰν δέ πως Ζεὺς οἰκοδεσποτῇ καὶ τῇ Σελήνῃ συσχηματίζηται καὶ Κρόνος μαρτυρῇ, μητρὶ ἢ μητρυιᾷ συνελεύσεται· εἰ δὲ καὶ Σελήνη μὴ ἔχουσα λόγον πρὸς τὸν κλῆρον τῆς μητρός, πρεσβυτέραις συνελεύσεται. ἐὰν δὲ ὁ τοῦ Διὸς οἰκοδεσποτῇ τοῦ δαίμονος, ὁ δὲ τῆς Ἀφροδίτης τοῦ γαμοστόλου, ἀδελφαῖς ἢ συγγενέσι συνέρχονται· καὶ ἐὰν μὲν ὁ Κρόνος ἐπιμαρτυρήσῃ, λαθραίως τὸ γινόμενον ἔσται· ἐὰν δὲ Ἑρμῆς ἢ Ἄρης, χωρισμοὶ 〈ἢ〉 δειγματισμοὶ γενήσονται. ἐὰν δὲ τοῦ Κρόνου ἀπόντος Ἥλιος μαρτυρήσῃ, νόμῳ καὶ φιλίᾳ γενήσεται καὶ συμπαθὴς ὁ γάμος καὶ ἐπωφελής· ἐὰν δὲ ὁ Ἥλιος οἰκοδεσποτῇ, ἡ δὲ Σελήνη κυριεύσῃ τοῦ γαμοστόλου καὶ συσχηματισθῇ τῷ Ἡλίῳ καὶ Διὸς μαρτυροῦντος, συμπαθὴς καὶ ἰσότιμος καὶ νόμιμος ὁ γάμος ἔσται ἔνδοξός τε καὶ λαμπρός. ἐὰν Ἡλίου οἰκοδεσποτοῦντος Ἀφροδίτη τοῦ γαμοστόλου κυριεύσῃ Κρόνου μαρτυροῦντος, ἐπὶ θυγατρὶ ψογισθήσεται.

121 ἐὰν δὲ ὁ γαμοστόλος γένηται πρὸς Κρόνον καὶ αὐτὸς κυριεύσῃ τοῦ δαίμονος ἢ Ἄρης, ἄγαμοι μενοῦσιν. ἐὰν δὲ Κρόνος οἰκοδεσποτῇ τοῦ δαίμονος, τὸν 〈δὲ〉 περὶ γάμου τόπον λάχῃ Ἀφροδίτη καὶ εὑρεθῇ σὺν Ἑρμῇ ὑπὸ Ἄρεως μαρτυρουμένη, στείρᾳ ἢ ἐπιψόγῳ συνελεύσεται. ξέναις δὲ συνέρχονται ἢ ἀλλοφύλοις ἢ ἐπὶ ξένης τὸν γάμον ἀναδέχονται, ἐπὰν ὁ γαμοστόλος ἔκκεντρος τύχῃ ἢ τοῦ δαίμονος ἀπόστροφος· ποταπαῖς δέ, ἡ τῶν ζῳδίων καὶ ἀστέρων φύσις δηλώσει. Ὁμοίως δὲ καὶ ἐπὶ τῶν γυναικῶν σκοπεῖν δεήσει τὸν κλῆρον τῆς τύχης καὶ τὸν γαμοστόλον ἀπὸ Σελήνης ἐπὶ Ἄρεα καὶ συγκρίνειν ταῦτα. ἐὰν γάρ πως ἡ Σελήνη κυριεύσῃ τοῦ κλήρου, ὁ δὲ Ἑρμῆς τοῦ γαμοστόλου καὶ συμπαρῇ τῇ Σελήνῃ ἢ ἐπιμαρτυρήσῃ, δούλῳ συνελεύσεται ἢ ἀπελευθέρῳ· ἐὰν δέ πως καὶ ὁ Ζεὺς ἐπιμαρτυρήσῃ, [καὶ] νόμιμος ἔσται· ἐὰν δὲ τούτων οὕτως ἐχόντων ὁ τοῦ Διὸς τὸν περὶ τέκνων τόπον ἔχῃ καὶ συνεπιμαρτυρήσῃ Κρόνος, τέκνῳ συνελεύσεται ἢ νεωτέρῳ τέκνου τάξιν ἐπέχοντι. ἐὰν δὲ Κρόνου γένηται ὁ περὶ τέκνου τόπος καὶ αὐτὴ ἡ Σελήνη Κρόνῳ συνέλθῃ, ἄγαμοι μενοῦσιν. ἐὰν δὲ Σελήνη οἰκοδεσποτῇ, ὁ δὲ Κρόνος γαμοστολῇ καὶ συμπαρῇ ἢ μαρτυρῇ τῇ Σελήνῃ, συνελεύσεται μὲν ἀνδρί, μισήσει δὲ αὐτὸν καὶ ἀστάτως τὸν βίον διάξει. ἐὰν δὲ Σελήνη τοῦ κλήρου κυριεύσῃ, τοῦ δὲ γαμοστόλου Ἄρης καὶ μαρτυρῶσιν ἀλλήλοις, βέβαιος ἔσται ὁ γάμος ἢ δι' ἁρπαγῆς ἢ πολέμου καὶ αἰχμαλωσίας· καὶ ἐὰν μὲν Ζεὺς ἐπιμαρτυρήσῃ, καὶ νόμιμος ἐξ ὑστέρου γενήσεται. ἐὰν διάμετρος τύχῃ τῆς Σελήνης Ἄρης ὑπὸ Κρόνου μαρτυρούμενος καὶ Ἡλίου, κατηγορηθεὶς μαλακὸς ἔσται. ἐὰν δέ πως ἐπὶ θηλυκῶν Ἀφροδίτη κυριεύσῃ τοῦ κλήρου, ταύτῃ δὲ συμπαρῇ ὁ Ἥλιος τὸν γαμοστόλον καὶ πατρικὸν κλῆρον κεκληρωμένος Κρόνου μαρτυροῦντος, πατράσι συνελεύσεται. ἐὰν δὲ κυριεύσῃ ὁ Ἥλιος τοῦ πατρικοῦ τόπου, συνελεύσεται πρεσβυτέρῳ πατρὸς τάξιν ἔχοντι. ἐὰν δὲ ἡ Ἀφροδίτη οἰκοδεσποτῇ, ὁ δὲ Ἑρμῆς τὸν περὶ γάμου τόπον ἔχῃ, Κρόνος δὲ τούτοις ἐπιμαρτυρήσῃ, πολύκοινοι γίνονται ἢ ἐπὶ τέγαις σταθήσονται. καὶ ἐὰν μὲν ὁ τοῦ Διὸς ἐπιμαρτυρήσῃ, περικτήσονται καὶ προσφιλεῖς γενήσονται· ἐὰν δὲ ὁ Ζεὺς ἀπῇ, αἰσχρῶς καὶ κακοπαθῶς διάξουσιν. ἐὰν δὲ Ἀφροδίτη Ἰχθύσιν ἢ Αἰγόκερῳ εὑρεθῇ τοῦ σχήματος τοιούτου ὄντος, καὶ αἰσχροποιήσουσιν. ἐὰν Ἄρης κληρώσηται τὸν δαίμονα, Σελήνη δὲ τὸν γαμοστόλον, ἁρπαγμὸς ὁ γάμος ἔσται· κἂν διάμετρος εὑρεθῇ μαρτυρούμενος ὑπὸ Κρόνου ἢ Ἡλίου, κατηγορηθεὶς ἁλώσεται.

122 ἐὰν Ἀφροδίτη τοῦ γαμοστόλου ᾖ κυρία, ὁ δὲ τοῦ Ἄρεως τοῦ κλήρου τῆς τύχης, ἀπὸ συνηθείας ὁ γάμος. ἐὰν δὲ καὶ Κρόνος καὶ Ἑρμῆς μαρτυρήσῃ Διὸς ἀπόντος, μοιχείας κριθήσεται. καὶ τὰ λοιπὰ δὲ σχήματα, ὅσα καὶ ἐπὶ τῶν ἀνδρῶν εἴρηται, δεῖ καὶ ἐπὶ τῶν γυναικῶν φυλάσσειν· εἰ γὰρ καὶ ποικίλως δοκεῖ τετάχθαι, σαφέστερα μέντοι γε τοῖς ἐντυγχάνουσι γενήσεται. 〈λθ'〉. Περὶ τεκνώσεως ἢ ἀτεκνία ς . Ὁ περὶ τέκνων τόπος [ὃς] λαμβάνεται ἀπὸ Ἑρμοῦ καὶ ὃς *** σκεπτέος. κακωθέντες μὲν οὖν ὑπὸ Κρόνου καὶ Ἄρεως ἀτεκνίας εἰσὶν αἴτιοι ἢ ἀναιρέσεως τέκνων, ὑπὸ δὲ Διὸς βοηθούμενοι εὐτεκνίας εἰσὶν αἴτιοι. σκεπτέον οὖν καὶ τὸν κληρικὸν οἰκοδεσπότην τῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τέκνων, ὃς οὕτως εὑρίσκεται. περὶ μὲν ἀρρενικῶν ἀπὸ Διὸς ἐπὶ Ἑρμῆν, περὶ δὲ θηλυκῶν ἀπὸ Διὸς ἐπὶ Ἀφροδίτην καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου. ὁ τοίνυν κύριος τοῦ περὶ τέκνων μαρτυρούμενος ὑπὸ φθοροποιοῦ ἀναιρεῖ τέκνα, ὑπὸ δὲ τῶν διδόντων τὰ τέκνα εὐτεκνίας ἐστὶ δηλωτικός. Πετόσιρις δέ, ὅταν Ζεὺς καὶ Ἀφροδίτη καὶ Ἑρμῆς μὴ κακωθῶσιν, εὐτεκνίας δηλωτικοί· ὅταν δὲ ἐναλλάξ, θρήνους καὶ θανάτους περὶ τέκνα ποιοῦσιν. ὅσοι τοῖς διδοῦσι τὰ τέκνα μαρτυροῦσιν ἀπὸ δισώμων ζῳδίων ἢ καὶ αὐτοὶ ἐν δισώμοις εἴησαν, διπλασιάζεται ὁ ἀριθμός. οἱ θηλυκοὶ ἀστέρες τῷ τεκνοδότῃ μαρτυροῦντες θηλυκὰ διδοῦσιν, οἱ ἄρρενες ἄρρενα. ἐπὶ ἀρσενικῆς γενέσεως, ἐὰν ὁ τοῦ Διὸς τύχῃ μετὰ Ἄρεως οἰκοδεσποτῶν ἢ οἰκοδεσποτούμενος ὑπὸ Ἄρεως καὶ ὁ τοῦ Κρόνου μαρτυρῇ τῇ Ἀφροδίτῃ ἢ οἴκῳ αὐτῆς εἴῃ, ἀτεκνίας δοτικὸν τὸ σχῆμα καὶ τὰ γενόμενα ἀποβαλοῦσιν. ἐπὶ δὲ θηλυκῆς γενέσεως, ἐὰν Σελήνη ἐν Ἑρμοῦ τόποις τύχῃ, ἡ δὲ Ἀφροδίτη ἐν ἀρρενικῷ ζῳδίῳ ὑπὸ Κρόνου μαρτυρηθῇ ἢ οἰκοδεσποτηθῇ, ἄτεκνοι γίνονται ἢ τὰ γεννώμενα διαφθείρουσιν. ἐὰν Ζεὺς βλέπῃ τὴν Σελήνην ἢ τὴν Ἀφροδίτην, Σελήνη δὲ ἐν Ἑρμοῦ τόποις 〈ᾖ〉 , Κρόνος δὲ διαμετρῇ ἢ μεσουρανῇ, Ἄρης δὲ ἐπιμαρτυρῇ Κρόνῳ, αὗται μονοτοκοῦσιν ἢ στειροῦνται.

123 Ἀφροδίτη ἐπιμαρτυρουμένη ὑπὸ Διός, κακωθεῖσα δὲ ὑπὸ Κρόνου δυσκόλως κἂν ἑνὸς δίδωσι παιδοποίησιν· εἰ δὲ καὶ συγκακωθῇ ἡ Σελήνη, παντελῶς ἄπαιδες γίνονται. Κρόνος Ἄρης μεσουρανοῦντες ἢ ἀντιμεσουρανοῦντες ἀτέκνους ποιοῦσιν, εἰ μή πως ὑπὸ ἀγαθοποιοῦ μαρτυρηθῶσι. 〈μʹ.〉 Περὶ ἀδελφῶ ν . Ἥλιος ὡροσκοπῶν ποιεῖ ὀλιγαδέλφους ἢ σπαναδέλφους· Κρόνος ἐπίκεντρος δύνων ποιεῖ σπαναδέλφους ἢ ὀλιγαδέλφους· Ζεὺς καὶ Ἑρμῆς καὶ Ἀφροδίτη ἐπίκεντροι δοτῆρες εἰσὶν ἀδελφῶν· Κρόνος δὲ ἐναντιωθεὶς ἀνελεῖ πρεσβύτερον. Κρόνος μετὰ Ἄρεως τυχὼν ὀλεθρεύει ἀδελφοὺς ἢ ἀσθενικοὺς ποιεῖ. τῷ τρίτῳ τόπῳ τοῦ ὡροσκόπου, ὅς ἐστι περὶ ἀδελφῶν, οἰκειουμένη μὲν Ἀφροδίτη καὶ Σελήνη ἀδελφὰς δώσουσι, καὶ μάλιστα ἐὰν θηλυκὸν ᾖ τὸ ζῴδιον. ἐὰν δὲ Ἥλιος Ζεὺς Ἑρμῆς ἐν ἀρρενικῷ ζῳδίῳ τύχωσιν, ἄρρενας διδοῦσιν. οἱ δὲ φθοροποιοὶ τὸν περὶ ἀδελφῶν τόπον μαρτυρήσαντες, εἰ μὲν ᾖ κακῶς κείμενος, τοὺς γενομένους ἀδελφοὺς ἀνελοῦσιν ἢ καὶ ἀναδέλφους ποιοῦσιν ἢ ὀλιγαδέλφους· οἱ ἀγαθοποιοὶ τῷ περὶ ἀδελφῶν τόπῳ μαρτυροῦντες οὐ μόνον διδόασιν ἀδελφούς, ἀλλὰ καὶ ἐπ' ἀγαθῷ ποιοῦσιν. ὁ τοῦ Ἄρεως χρηματίζων τῷ περὶ ἀδελφῶν καὶ καλῶς κείμενος μάλιστα ὑπὸ ἀγαθοποιοῦ μαρτυρούμενος καὶ μάλιστα τὴν Σελήνην ἐπιβλέπων ἀδελφοδότης γίνεται. τινὲς δὲ κληρικῶς λαμβάνουσι τὸν περὶ ἀδελφῶν τόπον ἡμέρας μὲν ἀπὸ Κρόνου ἐπὶ Δία, νυκτὸς δὲ ἀνάπαλιν, καὶ τὰ ἴσα ἀπὸ τοῦ ὡροσκόπου. 〈μαʹ.〉 Περὶ βιαιοθανάτων με θ ' ὑποδείγματο ς . Ἡ δὲ ἀντιζυγία Ἡλίου καὶ Σελήνης οὐκ ἀεὶ χαλεπή· ἐπὰν δὲ κακοποιὸς ἐπιὼν τὴν φάσιν ἐπίδῃ ἢ καὶ λόγον αὐτῶν ἐχόντων ἀκτινοβοληθῇ, τότε χαλεπὴ καθίσταται. ὅθεν καὶ αἱ πανευδαίμονες γενέσεις οὐ μέχρι τέλους τὸ εὐτυχὲς ἐκληρώσαντο, ἀλλὰ περί τινα τόπον ἀστέρος οἰκοδεσποτεία παραπεσοῦσα ἢ καὶ ἐναντιωθεῖσα τὸ δυστυχὲς παρέσχεν.

124 ἔδοξεν οὖν τὸν τόπον τοῦτον ἐκ πλήρους συντεταχέναι ὁ Πετόσιρις, εἰ καὶ μυστικῶς ἀποκέκρυφε λέγων. ἀρχὴ τέλος κράτησις τῶν ὅλων διοπτευτηρίων ὁ κα θ ' ἑκάστην γένεσιν ἀστὴρ οἰκοδεσποτῶ ν , ὅστις πρόδηλα ποιεῖ τοὺς γεννωμένους οἵτινες ἔσονται τοῦ βίου τε ὑπόστασιν ὁποίαν τινὰ ἕξουσ ι , τοῖς τρόποις τε ὁποῖο ι , σώματος μορφῆς τύπο ν , ἃ πάντα τούτῳ κατακόλουθα γίνετα ι . τούτου δ ' ἄνευθεν οὐδέ ν , οὔτε πρᾶξις οὔτε δόξ α , προσπάρεστιν οὐδεν ί. πῶς γὰρ δυνατὸν περὶ ἕνα ἀστέρα οἰκοδεσποτείας γενομένης ἐν πᾶσιν εὐτυχῆσαι τὴν γένεσιν ἢ τοὐναντίον δυστυχῆσαι; ἀλλὰ καθολικῶς μὲν τῆς ἐξ ἀρχῆς ὑποστάσεως [ὁ] τῶν ἐπισήμων καὶ μέσων καὶ ταπεινῶν γεννῶν ἕτερος εὑρεθήσεται ἢ τῶν λοιπῶν παρέξει δύναμιν, πρὸς δὲ τὰ λοιπὰ ἕτερος. εὑρίσκομεν δέ τινας περὶ μὲν τὸν βίον καὶ δόξαν εὐτυχοῦντας καὶ συγκεκοσμημένους τῇ φαντασίᾳ τοῦ δοκοῦντος οἰκοδεσπότου οἰκείως

ἐσχηματισμένου, περὶ δὲ τέκνα καὶ γυναῖκας δυστυχοῦντας ἀσελγεῖς τε καὶ ἐπαίσχρους γενομένους καὶ μιαίνοντας τὸν βίον καὶ θρυλλουμένους ὡς ἀναξίους τῆς τοιαύτης ὑποστάσεως, τινὰς δὲ καὶ ἐξ ὑστέρου καθαιρουμένους 〈ἢ〉 βιαιοθανατοῦντας. οὐκ ἄρα ἐν πᾶσιν εὐτυχὴς ὁ γεννώμενος οὐδὲ κατὰ ἀκολουθίαν τοῦ οἰκοδεσπότου ταῦτα γέγονεν, ἑτέρα δὲ οἰκοδεσποτεία κακωθεῖσα ἠμαύρωσε τὴν δόξαν ἐπεισενεγκαμένη πολλὰς αἰτίας. ἄλλους δὲ ἀπὸ ταπεινῆς καὶ ἀδόξου τύχης καταλαμβάνομεν εἰς ἀνυπέρβλητον καὶ δυσέλπιστον ὑπόστασιν χωροῦντας· τινὰς δὲ περὶ μὲν τέκνα καὶ γυναῖκας εὐτυχοῦντας, περὶ δὲ τὸν βίον ἐνδεεῖς· ἄλλους δὲ εὐδαίμονας μὲν περὶ τὴν ὕπαρξιν, ἀδόξους δὲ καὶ ἐπισινεῖς· ἑτέρους δὲ πολυχρονίους μέν, ἐπιμόχθους δὲ καὶ λελωβημένους· τινὰς δὲ πολυκτήμονας μέν, ὀλιγοχρονίους δὲ ἢ φθισικοὺς μὴ δυναμένους δὲ τῶν παρόντων μεταλαμβάνειν. ἕτερος οὖν ὁ ζωοδότης ἐγένετο καὶ ἕτερος τῆς ὑπάρξεως καὶ τοῦ θανάτου κύριος. Ἀλλ᾽ ἐρεῖ τις, ὅτι ὁ οἰκοδεσπότης παραπεσὼν ὀλιγοχρόνιον ἐποίησε· τοιγαροῦν παραπεσὼν οὔτε εὐδαίμονα βίον ὤφειλε μετρῆσαι, οὔτε ὑποτακτικὸν οὔτε ταπεινὸν γεννήσαντα τὸν οἰκοδεσπότην ἐχρῆν λαμπρὸν καὶ ἐπίσημον ἐξ ὑστέρου κατασκευάσαι, οὐδὲ τὸν καλῶς ἀχθέντα μηδεμιᾷ κακουργίᾳ συμφύραντα βιοθάνατον ἢ κατάδικον *** ὅλως σχηματισθείς· ἀλλ᾽ ἥττονα μὲν γεννᾷ ὁ παραπεσών, ὁ δὲ τῆς δόξης καὶ τοῦ βίου κύριος ἐπίκεντρος εὑρεθεὶς καὶ παραλαβὼν τοὺς χρόνους λαμπρὸν κατασκευάσει.

125 οὕτω καὶ ὁ τὸν εὐδαίμονα γεννήσας καὶ ἐπίκεντρος εὑρεθεὶς ἢ ἐν χρηματιστικοῖς τόποις διαφυλάσσει ἕως τῶν ἰδίων χρόνων, καθυπερτερηθεὶς δὲ ἢ διαμετρηθεὶς ὑπὸ τοῦ τὸ πάθος ἢ τὸ σίνος ἢ ἑτέραν τινὰ κακωτικὴν αἰτίαν μερίζοντος καὶ ἀντιπαραχωρήσας ἐξασθενήσει τῆς ἰδίας δυνάμεως. καὶ ἕτερα δὲ πλεῖστα ἐν τῷ τῶν ἀνθρώπων βίῳ ἐξαίρετα εἴωθε γίνεσθαι, ἅτινα οὐ διὰ μιᾶς οἰκοδεσποτείας οὐδὲ πραγματείας συνίσταται, ἀλλὰ διὰ πολλῶν. Ἐὰν οὖν τις ἀκριβῶς διεξιχνεύσῃ τοὺς τόπους καὶ τὰς οἰκοδεσποτείας, εὐκατάληπτον ἕξει περὶ ὃ εὐτυχεῖ μέρος ἡ γένεσις καὶ περὶ ὃ δυστυχεῖ. ὅσοι οὖν λόγον ἔχοντες ἀστέρες ἤτοι περὶ βίον ἢ ζωὴν ἢ σίνος ἢ πάθος ἢ πρᾶξιν ἢ καὶ περὶ τὰ λοιπὰ ἐπὶ ἑνὸς κακωθῶσι, περὶ ἐκεῖνο τὸ εἶδος καταβλάπτουσι τὴν γένεσιν. μᾶλλον μὲν οὖν εὑρίσκομεν 〈τὸν〉 συγγραφέα μὴ χρώμενον μιᾷ δυνάμεως οἰκοδεσποτείᾳ· τὸ γὰρ λέγειν· ὁ μὲν γὰρ ἐπέχει πρᾶξι ν , ὁ δὲ ὕπαρξιν χρόνω ν , ὁ δὲ μονὴν ἢ μετατροπή ν , ὁ δὲ φθίσι ν· καί· προκατοπτευόμενος τῆς συνοδικῆς τοπογραφίας ἢ πανσεληνιακῆς ἀποχωρήσεω ς , ἐξ ἧσπερ καὶ τὰ ὅλα ἀνήρτηται πρός τε τὰ κέντρα καὶ τὰς τούτων ἐπαναφορά ς· καί· σκοπεῖν δὲ δεῖ τὸν ἐναρχόμενον γενεθλιαλογεῖν δύσεως προδύσεως ἐπικαταδύσεως 〈τόπον 〉 · ἐν γὰρ τούτοις εὑρίσκεσθαι τὴν πεπρωμένην τελευτή ν· καὶ ἄλλα δὲ πολλά. δεῖ οὖν ἕτερον μὲν τόπον περὶ πράξεως λαμβάνειν καὶ δόξης, ἕτερον δὲ περὶ ζωῆς, ἕτερον περὶ σίνους καὶ πάθους καὶ θανάτου. οὐκ ἄρα οὖν πάντα ἑνὶ οἰκοδεσπότῃ κατακόλουθα γενήσεται· εὐλόγως οὖν καὶ ἡμεῖς διὰ πολλῶν δυνάμεων τὰς ἀποδείξεις ποιούμεθα. Ἀλλὰ περὶ μὲν τούτων καὶ ἐν ὑστέρῳ διασαφήσομεν καὶ μάλιστα εἰς τὰς τῶν χρόνων διαιρέσεις· νυνὶ δὲ ἐπείγομεν εἰς τὸν περὶ βιαιοθανάτων λόγον.

126 ἐπὰν ὁ κύριος τῆς συνόδου ἢ πανσελήνου τῆς κατὰ γένεσιν ἀπόστροφος ὢν τοῦ ζῳδίου τύχῃ ἢ καὶ παραπέσῃ ὑπὸ κακοποιοῦ μαρτυρούμενος, βιαιοθανάτους προδηλοῖ. ὁμοίως δὲ καὶ ἐὰν ὁ Ἑρμῆς τῇ πανσελήνῳ ἐναντιωθῇ ὑπὸ κακοποιῶν μαρτυρούμενος, αἰτίαν θανάτου κακὴν ἀποτελεῖ. κἂν τῷ τῆς τεσσαρακοσταίας ζῳδίῳ Κρόνος ἢ Ἑρμῆς ἐπῇ, βιαιοθανασίας προδηλοῖ. τὸ δὲ ὅμοιον καὶ ἐπὶ τῆς δύσεως ἢ προδύσεως κακοποιοὶ τυχόντες βιαιοθανασίας καὶ αἰτίας παθῶν καὶ κακοθανασίας ἀποτελοῦσι. τὴν δὲ αὐτὴν δύναμιν καὶ ὁ ὄγδοος τόπος ἀπὸ ὡροσκόπου ἐφέξει πρὸς τὰς αἰτίας τῶν θανάτων, ὁμοίως καὶ ἀπὸ κλήρου τύχης τόπος η′. Σκοπεῖν οὖν δεῖ τὸν κλῆρον καὶ τὸν τούτου κύριον, ἐπὶ ποίων ζῳδίων τυγχάνει· ἐν γὰρ τούτοις αἱ αἰτίαι τοῦ θανάτου προδειχθήσονται, ἐπεὶ καὶ κοσμικῶς ἡ Σελήνη, ἥτις ἐστὶν Τύχη, ἐν τῷ Κριῷ Ἡλίῳ συνοδεύουσα ἐν τῷ η′ ζῳδίῳ Σκορπίῳ τὴν ἔκλειψιν καὶ ἀφαίρεσιν τοῦ φωτὸς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐποιήσατο· διὸ καὶ ταπείνωμα αὐτῆς προσηγορεύθη. Συντομωτέραν οὖν τὴν ὑφήγησιν ἐκ τοῦ ζῳδιακοῦ κύκλου προδείξομεν πρὸς τὸ εὐκατάληπτον εἶναι τὸ λεγόμενον. ὁ Κριὸς ἀναιρεῖται ὑπὸ Σκορπίου, ἔστι δὲ ἀμφότερα οἰκητήρια Ἄρεως· ἔστιν οὖν ὁ Ἄρης ἑαυτοῦ ἀναιρέτης, ὅθεν καὶ αὐτόχειρας ποιεῖ καὶ ὑψόθεν ῥίπτοντας καὶ ἑτοιμοθανάτους ἢ συνιστοροῦντας κακοῖς, ληστρικοὺς φονικοὺς τὰς τῶν θανάτων αἰτίας ἑαυτοῖς ἐπιφέροντας καὶ ὑπὸ θηρίων ἢ πυρὸς ἢ συμπτώσεως ἀπολλυμένους, ἔτι δὲ ἀπὸ τετραπόδων καὶ ἁρμάτων καὶ ἐπαγωγῆς. —Ὁ δὲ Ταῦρος ἀναιρεῖται ὑπὸ Τοξότου, ὅπερ ἐστὶν Ἀφροδίτη ὑπὸ Διός· οὗτοι εὐθανατοῦσιν ἐκ τροφῆς ἢ πληθώρας ἢ οἴνου ἢ συνουσίας ἢ ἀποπληξίας ἀποκοιμηθέντες 〈ἢ〉 ἐκλυθέντες μηδεμιᾶς αἰτίας κακωτικῆς παρεμπεσούσης, ἐκτὸς εἰ μὴ κακοποιὸς ἐπὼν ἢ μαρτυρήσας ἐκ τῆς ἰδίας φύσεως τὸ τέλος ἐπεισενεγκόμενος τὴν αἰτίαν τοῦ θανάτου δηλώσει. —Οἱ Δίδυμοι ὑπὸ Αἰγόκερω, τουτέστιν Ἑρμῆς ὑπὸ Κρόνου· γίνονται οὖν τινες βιαιοθάνατοι ὑπὸ μελαίνης χολῆς ὀχλούμενοι ἢ νευρικαῖς αἰσθήσεσι περιπεσόντες ἢ ἐν καθύγροις τόποις θηρίων ἑρπετῶν κακώσει ἢ καταδικασθέντες συσχεθέντες πνιγέντες ληστῶν ἢ πολεμίων ἐφόδοις περιπεσόντες ἢ φαρμάκων πείρᾳ διὰ τὸ κάθυγρον.

127 —Ὁ Καρκίνος ὑπὸ Ὑδροχόου, ὅπερ ἐστὶ Σελήνη ὑπὸ Κρόνου· ἀπόλλυνται δὲ δι' ὑγρῶν ἢ τῶν ἐντὸς ὀχλήσεων ἢ περιπεσόντες σπληνὸς ἢ στομάχου ἀλγηδόσιν, ἀναφοραῖς ὑγρῶν, θαλάσσῃ ποταμοῖς ψυγμοῖς ἑρπετῶν θηρίων ἐπιφοραῖς ἐλεφαντιάσει ἰκτέροις σεληνιασμοῖς φαρμακείαις συνοχαῖς πολυχρονίαις ἑτέραις νόσοις, ἐπὶ δὲ θηλυκῶν μαζῶν ἀλγηδόσι καρκινώμασι κρυπτῶν πόνοις ἢ μήτρας ἢ πνιγμῷ ἢ ἐμβρυοτομίᾳ τοκετῶν. —Ὁ Λέων ὑπὸ Ἰχθύων, Ἥλιος ὑπὸ Διός. ὅθεν τελευτῶσι καρδιακοὶ ἡπατικοὶ ἢ ἐν καθύγροις κινδυνεύουσιν ἢ δι' ὑγρῶν αἰτιῶν καὶ πτώσεων καὶ διὰ ῥιγοπυρετῶν ἢ ἐν βαλανείοις ἢ διὰ γυναικῶν δόλους. —Ἡ Παρθένος ὑπὸ Κριοῦ, Ἑρμῆς ὑπὸ Ἄρεως· τελευτῶσι δὲ διὰ προδοσίας καὶ κακουχίας πολέμοις ἢ λῃσταῖς περιπεσόντες, ἐμπρησμοῖς συμπτώσεσιν ἐπισκιασμοῖς αἰχμαλωσίαις χόλῳ δυναστῶν ἢ 〈διὰ〉 ἀπαγωγῆς ἢ ἀπὸ τετραπόδων ἢ ὕψους πτώσεως, συνθραύσεως μελῶν, θηρίων ἐπιφοραῖς· ἐπὶ δὲ θηλυκῶν προσώπων πτώσεσι κοιλίας, ἐμβρυοτομίαις τοκετῶν, αἱμαγμοῖς φθοραῖς. —Ὁ Ζυγὸς ὑπὸ Ταύρου, Ἀφροδίτη ὑπὸ ἑαυτῆς· ὅθεν αὐτόχειρες γίνονται διὰ πόσεως φαρμάκου ἀσπιδόδηκτοι ἐγκρατευόμενοι συνουσιάζοντες, τελευτῶσι σταφυλοτομηθέντες ἀποπνιγέντες κολοβωθέντες ἢ πηροὶ καὶ παραλυτικοὶ γενόμενοι ἢ αἰτίαις διὰ θηλυκῶν προσώπων περιπεσόντες. — Σκορπίος ὑπὸ Διδύμων, Ἄρης ὑπὸ Ἑρμοῦ. διὰ σιδήρου τομῆς μορίων ἕδρας ἢ στραγγουρίας σηπεδόνος ἀγχόνης ἑρπετῶν βίας μάχης, ληστῶν ἐφόδοις ἢ πειρατῶν ἐπιφοραῖς ἢ δι' ἐξουσίασδιὰ πυρὸς σκολοπισμοῦ ἑρπετῶν θηρίων αἰτίας. —Τοξότης ὑπὸ Καρκίνου, Ζεὺς ὑπὸ Σελήνης· τελευτῶσιν οὖν [καὶ] σπληνικοὶ ἢ ἡπατικοὶ στομαχικοὶ ἀναφορικοὶ αἱμοπτυϊκοί, ἀπὸ τετραπόδων πτώσεως ἢ θηρίων δακετῶν αἰτίαις ἢ συμπτώσεων ναυαγιῶν καθύγρων τόπων σεληνιασμοῦ πηρώσεως ἐκλύσεως. —Αἰγόκερως ὑπὸ Λέοντος, Κρόνος ὑπὸ Ἡλίου· τελευτῶσι [γὰρ] καρδιακοὶ καταγματικοί, ἐν βαλανείοις ἢ πυρίκαυστοι, χόλῳ βασιλέως ἢ δυναστῶν ἢ σκολοπισμοῦ θηρίων κακώσεως τετραπόδων ἢ ὕψους πτώσεως. —Ὑδροχόος ὑπὸ Παρθένου, Κρόνος ὑπὸ Ἑρμοῦ· τελευτῶσι δὲ ὑπὸ τῶν ἐντὸς φθισικῇ αἰτίᾳ ὑδρωπικῇ ἐλεφαντιάσει ἰκτερικῇ νόσῳ σιδηροσφαγίᾳ δυσεντερίᾳ γυναικὸς προδοσίᾳ.

128 — Ἰχθύες ὑπὸ Ζυγοῦ, Ζεὺς ὑπὸ Ἀφροδίτης· δι' ὑγρῶν ἢ φαρμακοποσίας ῥευμάτων ἢ νεύρων αἰσθήσεως μορίων ἥπατος πόνων ἰσχιάδος ἑρπετῶν θηρίων αἰτίας. Καὶ ταῦτα μὲν εἰς τὸν περὶ βιαιοθανάτων λόγον· ἄλλως δὲ προσπαραλαμβάνειν δεήσει τὰς καθ' ἕκαστον ζῴδιον σινῶν καὶ παθῶν αἰτίας εἰς τὸ εὐσύνοπτον γενέσθαι τὴν τοῦ θανάτου ποιότητα· ἡ συμπαρουσία δὲ ἢ μαρτυρία ἑνὸς ἑκάστου ἀστέρος συνεπισχύσει ἐκ τῆς ἰδίας φύσεως ἐπεισενεγκεῖν αἰτίαν τῷ θανάτῳ. προσβλέπειν οὖν δεῖ τοὺς τόπους καὶ τοὺς κυρίους, ὅπως εἰσὶ κείμενοι καὶ ὑπὸ τίνων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μαρτυροῦνται, ἢ τῶν οἰκείων ἢ ἐναντίων, καὶ οὕτως διακρίνειν· οἱ μὲν γὰρ κακοποιοὶ ἐπόντες τοῖς τόποις ἢ μαρτυροῦντες τοῖς οἰκοδεσπόταις βιαιοθανασίας ἀποτελοῦσιν, οἱ δὲ ἀγαθοποιοὶ διὰ προφάσεως ἢ πόνου ἢ σίνους ἢ πάθους ἢ πυρετῶν ἐπιφορᾶς. οἷον ἐπεὶ οἱ Δίδυμοι ὑπὸ Αἰγόκερω ἀναιροῦνται καὶ Ὑδροχόος ὑπὸ τῆς Παρθένου, ὅπερ ἐστὶν Ἑρμῆς ὑπὸ Κρόνου καὶ Κρόνος ὑπὸ Ἑρμοῦ, ἐὰν οὖν οὗτοι ἐπὶ γενέσεως διάμετροι ἢ τετράγωνοι τύχωσι λόγον ἔχοντες, [καὶ] κακοθανάτους ποιοῦσιν ᾒ ὀλιγοχρονίους, ἐπεὶ ὁ ζωοδότης τῷ κυρίῳ τοῦ θανάτου ἠναντιώθη. εἰ δὲ ἄλλως λόγον μὴ ἔχοντες κατοπτεύωσιν ἀνοικείως ἀλλήλους, ἐναντιώματα καὶ κρίσεις καὶ ἀπαγωγὰς καὶ ἑτέρας αἰτίας ἀπαραμόνους ἐπάγουσιν. ὁμοίως καὶ ἐπὶ τοῦ Ἄρεως καὶ Ἑρμοῦ τὸ αὐτὸ σχῆμα νοείσθω. [οὐ] βούλεται οὖν ὁ Παλαιὸς διαμέτρους αὐτοὺς εἶναι λέγων· πᾶσα μὲν οὖν ἀντιζυγὴς στάσις ἀνατολῆς τε καὶ δύσεως οὕτινος τῶν ἀστέρων ἢ καὶ Ἡλίου καὶ Σελήνης ἐπιδίκως ἀνυέσθ ω. ἐγὼ δέ φημι τῶν λόγον ἐχόντων πρὸς ἀναίρεσιν ἢ καὶ πρὸς ἑτέραν τινὰ οἰκοδεσποτείαν τὰ αἴτια καθίστασθαι περί τε δόξης καὶ βίου καὶ τέλους. Ἔστω δὲ ἐπὶ ὑποδείγματος Ἥλιος Ἄρης Ἀφροδίτη Καρκίνῳ, Κρόνος Ἑρμῆς Λέοντι, Ζεὺς Ὑδροχόῳ, Σελήνη Ἰχθύσιν, ὡροσκόπος Σκορπίῳ. ὁ κλῆρος τῆς τύχης Λέοντι, ὁ θανατικὸς τόπος Ἰχθύσιν· ἐκεῖ Σελήνη, καὶ τῷ κλήρῳ Κρόνος ἐπῆν, ὁ κύριος Ἥλιος μετὰ Ἄρεως Καρκίνῳ καθύγρῳ ζῳδίῳ. ἐτελεύτα οὖν ἐν βαλανείῳ ἐν ὕδατι ἀποπνιγείς, ἠναντιώθη δὲ καὶ τῇ πανσελήνῳ Ἄρης καὶ ὁ κύριος Κρόνος ἀπόστροφος· ὅθεν καὶ ἐβιαιοθανάτησεν. Ἄλλω ς.

129 Ἥλιος Ἑρμῆς Ἀφροδίτη Ἰχθύσι, Κρόνος Παρθένῳ, Ζεὺς Κριῷ, Ἄρης Ταύρῳ, Σελήνη Τοξότῃ, ὡροσκόπος Λέοντι. ὁ κλῆρος τῆς τύχης Ταύρῳ· Ἄρης ἐπίκειται κυριεύσας τοῦ δαίμονος καὶ ἐναντιωθείς· ὁ θανατικὸς Τοξότῃ, ἐπίκειται Σελήνη καθυπερτερουμένη ὑπὸ Κρόνου ὄντος ἐν τῷ πανσεληνιακῷ ζῳδίῳ· ὁμοίως καὶ ὁ κύριος Ἑρμῆς τῆς πανσελήνου ἠναντιώθη. ὁ τοιοῦτος ἐτραχηλοκοπήθη. Ἄλλ η. Ἥλιος Καρκίνῳ, Σελήνη Ἰχθύσι, Κρόνος Ἄρης Ἑρμῆς Διδύμοις, Ζεὺς Αἰγόκερῳ, Ἀφροδίτη Λέοντι, ὡροσκόπος Ζυγῷ. κλῆρος τύχης Διδύμοις· ἐν τούτοις Κρόνος Ἑρμῆς Ἄρης φρουρηθέντες ἀλλήλων ὄντες ἀναιρέται ὑπὸ Σελήνης ἐμαρτυρήθησαν, ὁμοίως δὲ καὶ ὁ κύριος τῆς πανσελήνου ἀπόστροφος· Ζεὺς δὲ τῷ θανατικῷ τόπῳ ἐπὼν καὶ ἀκρόνυχος γενόμενος οὐκ ἴσχυσε βοηθῆσαι. ὁ τοιοῦτος ἐτραχηλοκοπήθη. Ἄλλ η. Ἥλιος Ἑρμῆς Ἄρης Ζεὺς Ἀφροδίτη Αἰγόκερῳ, Σελήνη Ὑδροχόῳ, Κρόνος Ταύρῳ, ὡροσκόπος Κριῷ. καὶ οὗτος ἐτραχηλοκοπήθη. Ἄλλ η. Ἥλιος Ἀφροδίτη Ὑδροχόῳ, Σελήνη Διδύμοις, Κρόνος Σκορπίῳ, Ζεὺς Ἰχθύσιν, Ἄρης Καρκίνῳ, Ἑρμῆς ὡροσκόπος Αἰγόκερῳ. κλῆρος τύχης Παρθένῳ, ὁ θανατικὸς τόπος Κριῷ· οἱ τούτων κύριοι ἠναντιώθησαν ἀλλήλοις ἐν καθύγρῳ ζῳδίῳ, ἄλλως τε καὶ ὁ Ἄρης ἐπὶ τῆς δύσεως ἔτυχεν. ὁ τοιοῦτος ἐν βαλανείῳ ἐκλυθεὶς ὠπτήθη. Ἄλλ η. Ἥλιος Ἀφροδίτη Αἰγόκερῳ, Σελήνη Καρκίνῳ, Κρόνος Ἑρμῆς Τοξότῃ, Ζεὺς Ταύρῳ, Ἄρης Λέοντι, ὡροσκόπος Ὑδροχόῳ. κλῆρος τύχης Λέοντι· τούτῳ ἐπίκειται Ἄρης ἐν πυρώδει καὶ ἡλιακῷ ζῳδίῳ ἐναντιούμενος τῷ ὡροσκόπῳ· τὸν δὲ θανατικὸν τόπον καθυπερτέρησεν Κρόνος καὶ Ἑρμῆς. ὁ τοιοῦτος ζῶν ἐκάη. Ἄλλ η. Ἥλιος Αἰγόκερῳ, Σελήνη Ζυγῷ, Κρόνος Ταύρῳ, Ζεὺς Διδύμοις, Ἄρης ὡροσκόπος Καρκίνῳ, Ἀφροδίτη Ὑδροχόῳ, Ἑρμῆς Τοξότῃ. ὁ κλῆρος τῆς τύχης Ζυγῷ· τούτῳ Σελήνη ἔπεστι καθπερτερουμένη ὑπὸ Ἄρεως ἐναντιουμένη Ἡλίῳ. ὁ θανατικὸς τόπος Ταύρῳ, Κρόνος ἔπεστιν. ὁ τοιοῦτος ἐθηριομάχησεν. Ἄλλ η.

130 Ἥλιος Σελήνη Ἑρμῆς Διδύμοις, Κρόνος Λέοντι, Ζεὺς Ἰχθύσιν, Ἄρης Καρκίνῳ, Ἀφροδίτη Ταύρῳ, ὡροσκόπος Αἰγόκερῳ, ἔνθα καὶ οἱ κλῆροι κατέληξαν. ὁ κύριος Κρόνος ἐν τῷ θανατικῷ ὑπὸ Ἀφροδίτης θεωρούμενος, Ἄρης τῷ ὡροσκόπῳ ἠναντιώθη. ὁ τοιοῦτος ἐτελεύτησε φαρμάκῳ. Ἄλλ η. Ἥλιος Ἑρμῆς ὡροσκόπος Ταύρῳ, Σελήνη Ἰχθύσι, Κρόνος Διδύμοις, Ζεὺς Ὑδροχόῳ, Ἄρης Παρθένῳ, Ἀφροδίτη Κριῷ. ὁ κλῆρος τῆς τύχης Ἰχθύσιν· ἐκεῖ Σελήνη ὑπὸ Κρόνου καὶ Ἄρεως θεωρουμένη· ὁ κύριος τοῦ δαίμονος καὶ τῆς πανσελήνου ἠναντιώθη. ὁ τοιοῦτος ἐν ἀντλίᾳ ἐτελεύτα. Ἄλλ η. Ἥλιος Λέοντι, Σελήνη Ἑρμῆς Παρθένῳ, Κρόνος Διδύμοις,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ζεὺς Κριῷ, Ἄρης ὡροσκόπος Ἀφροδίτη Καρκίνῳ. ὁ κλῆρος τῆς τύχης Διδύμοις· ἐκεῖ Κρόνος κύριος τοῦ θανάτου καὶ καθυπερτερῶν Ἑρμῆν τὸν κύριον τοῦ κλήρου καὶ Σελήνην· ἄλλως τε καὶ Ἄρης τῷ θανατικῷ τόπῳ ἠναντιώθη. ὁ τοιοῦτος ἑαυτὸν ἀπηγχόνησεν. Ἄλλ η. Ἥλιος Ἑρμῆς Κριῷ, Σελήνη Ἀφροδίτη Ἰχθύσι, Κρόνος Καρκίνῳ, Ζεὺς Ἄρης Ταύρῳ, ὡροσκόπος Σκορπίῳ. ὁ κλῆρος τῆς τύχης Τοξότῃ· ὁ κύριος σὺν τῷ Ἄρεϊ ἐν τῇ δύσει. ὁ θανατικὸς τόπος Καρκίνῳ· Κρόνος ὁ κύριος τῆς πανσελήνου ἀπόστροφος· ἠναντιώθη δὲ καὶ ὁ Ἄρης τῷ ἰδίῳ οἴκῳ. ὁ τοιοῦτος ἐθηριομάχησε. Κατελαβόμεθα δὲ ἐπὶ τῶν διαμέτρων στάσεων τοὺς κακοποιοὺς οὐκ ἐπὶ πάσης γενέσεως κατὰ πάντα βλαπτικούς, ἀλλ' ἔσθ' ὅτε καὶ ἀγαθοποιοὺς καὶ μάλιστα ἐπὶ τῶν ἐνδόξων γενέσεων, πλὴν καὶ αὐτοὺς πολλαῖς κακίαις συμπεφυρμένους. βίαιοι γὰρ οἱ τοιοῦτοι μετὰ ἀνάγκης γινόμενοι ἀνοσίοις καὶ ἀθεμίστοις πράγμασιν περιτρέπονται· ἀδικοῦσιν δὲ ἢ λεηλατοῦσιν ἅρπαγές τε καὶ ἀλλοτρίων ἐπιθυμηταὶ καθίστανται ὑψαυχενοῦντες καὶ ἀλογιστοῦντες διὰ τὴν τῆς δόξης ἐπίκαιρον εὐδαιμονίαν· τὰ γὰρ ἴδια ἁμαρτήματα ἑτέροις ἐπεισάγουσιν. ἀλλὰ καὶ θεοῦ καὶ θανάτου καταφρονοῦσιν· ἄρχουσι γὰρ ζωῆς καὶ θανάτου· ὅθεν οὐ διὰ παντὸς τοῖς τοιούτοις τὸ εὐτυχὲς διαμένει, διὰ δὲ τὴν τοῦ ἐναντιώματος στάσιν οἱ μὲν ἀπὸ δόξης εἰς ἀτιμίαν ἢ ταπεινὴν καθαιροῦνται τύχην, οἱ δὲ βιαιοθανατοῦσιν· τινὲς δὲ ὅσα ἑτέροις ἐνεδείξαντο, αὐτοὶ πάσχουσιν τιμωρούμενοι καὶ κολαζόμενοι καὶ μεμφόμενοι τὴν προγενομένην τῆς δόξης ἀνωφελῆ φαντασίαν.

131 ἃ γὰρ μετὰ πόνου καὶ μερίμνης καὶ βίας καὶ χρόνῳ συνεσώρευσαν, τούτων ἐν στιγμῇ ἀφαιρεθέντες λυποῦνται ἢ ἑτέροις ἄκοντες συνεχώρησαν. ἐπακολουθεῖ γὰρ τούτοις σὺν τῇ ἀβεβαίῳ τύχῃ νέμεσις χαλιναγωγὸς φθόνος ἐπιβουλὴ προδοσία λύπη μέριμνα φθίσις σώματος, ὡς καὶ βουλομένους ἀπαλλάττεσθαι τῆς ματαίας εὐδαιμονίας μετρίαν μεταμφιασαμένους τὴν τύχην μὴ δύνασθαι, πάσχειν δὲ ὅσα ἡ πεπρωμένη ἄκοντας ἐβιάσατο. Κατ' ἀμφότερα δὲ αἱ διάμετροι στάσεις κριθήσονται, μία μὲν ὅταν ἀστὴρ ἀστέρα διαμετρήσῃ ἢ ὡροσκόπον, ἑτέρα δὲ ὅταν ἴδιον οἶκον ἢ τρίγωνον ἢ ὕψωμα διαμετρῇ· καὶ οἱ κύριοι δὲ τῶν τριγώνων ἢ τῶν αἱρέσεων ἑαυτοῖς ἐναντιούμενοι κάκιστοι καὶ ἀβέβαιοι περὶ τὸν βίον γενήσονται. Liber III.

132 (1t) Οὐεττίου Οὐάλεντος Ἀντιοχέως ἀνθολογιῶν βιβλίον τρίτον. 〈α′.〉 Περὶ ἐπικρατήσεω ς . Περὶ μὲν οὖν τῆς ὑποστάσεως τῶν ζωτικῶν χρόνων ἄλλοι μὲν ἀλλοίως παρέδωκαν· ἐπεὶ δὲ δοκεῖ ποικίλος καὶ πολυμερὴς ὑπάρχειν ὁ τόπος, καὶ αὐτοὶ δοκιμάσαντες αἱρέσεις ἐπιδιασαφήσομεν. ἔστω δὲ πρῶτος ἡμῖν λόγος ὁ περὶ ἐπικρατήσεως καὶ ἀκτινοβολίας καὶ οἰκοδεσποτείας· πρὸ πάντων δὲ ἡ ἐπικράτησις ζητείσθω περί τε τὸν Ἥλιον καὶ τὴν Σελήνην. Τινὲς μὲν οὖν ἡμέρας ἔδοσαν Ἡλίῳ, νυκτὸς δὲ Σελήνῃ· ἐγὼ δέ φημι καὶ νυκτὸς ἐπικρατεῖν Ἥλιον, ἡμέρας δὲ Σελήνην, ἐὰν ἐπικαίρως τύχωσιν ἐσχηματισμένοι· ἐὰν δὲ καὶ ἀμφοτέροις τοῦτο συμβῇ, τῷ μᾶλλον οἰκείως ἐσχηματισμένῳ καὶ αἱρέσει ἢ τριγώνῳ τετευχότι προσνέμειν τὴν ἐπικράτησιν. καὶ ἐκ τῶν ὁρίων τοῦ ἐπικρατήτορος εὑρίσκεται καὶ ὁ οἰκοδεσπότης· ἐὰν δ' ἀμφότεροι παραπέσωσι, τὸ ὅριον τῆς ὡροσκοπούσης μοίρας ἢ τοῦ μεσουρανήματος γεννήσει τὴν οἰκοδεσποτείαν, κατὰ τὸ πλεῖστον δ' ἐκείνου, οὗ ὁ κύριος οἰκεῖον σχηματισμὸν ἐπέχει ὡροσκόπου. Ἔστωσαν δὲ αἱ ἐπικρατήσεις ἡμῖν δεδοκιμασμέναι αὗται. Πρώτη ἐπικράτησις Ἡλίου ὄντος Λέοντι, Σελήνης Καρκίνῳ· ὁ ὡροσκόπῳ ἢ μεσουρανήματι [ἢ] ἐπικαίρως ἐσχηματισμένος ἐπικρατήσει, ὁ δὲ κύριος τοῦ ὁρίου τὴν οἰκοδεσποτείαν ἐφέξει· ἐὰν δ' ἀμφότεροι ἑνὸς ἀστέρος ὅριον ἔχωσιν, ἐκεῖνος ἀναμφιλέκτως καὶ οἰκοδεσπότης κριθήσεται. Δευτέρα ἐπικράτησις, ἐὰν ὁ Ἥλιος ὡροσκοπῇ τῆς Σελήνης κακοδαιμονούσης, ὁ Ἥλιος ἐπικρατήσει· ἐὰν ὁ Ἥλιος ἀγαθοδαιμονῇ, ἡ δὲ Σελήνη μεσουρανῇ, ὁ Ἥλιος ἐπικρατήσει. ἐὰν ὁ Ἥλιος δύνῃ τῆς Σελήνης ἐν τῇ ἐπικαταδύσει οὔσης, ὁ Ἥλιος ἐπικρατήσει.

133 ἐὰν ὁ Ἥλιος ἐν τῷ ἀποκλίματι τοῦ μεσουρανήματος πέσῃ τῆς Σελήνης ὡροσκοπούσης, Σελήνη ἐπικρατήσει. ἐὰν ὁ Ἥλιος ὁμοίως ἐν τῷ ἀποκλίματι τοῦ μεσουρανήματος πέσῃ τῆς Σελήνης

ἐπαναφερομένης τῷ ὡροσκόπῳ, ἡ Σελήνη ἐπικρατήσει. ἐὰν πάλιν ὁ Ἥλιος ἐν τῷ ἀποκλίματι τοῦ μεσουρανήματος πέσῃ τῆς Σελήνης μεσουρανούσης, Σελήνη ἐπικρατήσει. ἐὰν ὁ Ἥλιος ἐν τῷ ἀποκλίματι τοῦ μεσουρανήματος πέσῃ τῆς Σελήνης ἐπαναφερομένης τῷ μεσουρανήματι, Σελήνη ἐπικρατήσει. ἐὰν Σελήνη ἐν τῷ ἀποκλίματι τοῦ μεσουρανήματος τύχῃ, ὁ δὲ Ἥλιος ἐν τῷ ὑπὸ γῆν κέντρῳ, ὁ Ἥλιος ἐπικρατήσει. ἐὰν ἡ Σελήνη ἀποκλίνῃ τοῦ μεσουρανήματος, ὁ δὲ Ἥλιος ἐν τῇ ἐπαναφορᾷ ⟨τύχῃ⟩ τοῦ ὑπὸ γῆν κέντρου, ὁ Ἥλιος ἐπικρατήσει. ἐὰν ὁ Ἥλιος ἀποκλίνῃ τοῦ κατὰ κορυφὴν κέντρου τῆς Σελήνης ἐπαναφερομένης τῷ ὑπὸ γῆν, Σελήνη ἐπικρατήσει. ἐὰν ὁ Ἥλιος ἀποκλίνῃ τοῦ κατὰ κορυφὴν κέντρου, ἡ δὲ Σελήνη τύχῃ ἐν τῷ ὑπὸ γῆν κέντρῳ, Σελήνη ἐπικρατήσει. ἀμφοτέρων τῶν φώτων ἀποκεκλικότων τοῦ μεσουρανήματος ὁ ὡροσκόπος ἐπικρατήσει καὶ ὁ τῶν ὁρίων κύριος οἰκοδεσπότης κριθήσεται. ἐὰν Σελήνη ἐπαναφέρηται τῷ μεσουρανήματι, ὁ δὲ Ἥλιος ἐν θεῷ τύχῃ, ὁ πρῶτος ἐπιφέρων τὴν ἀκτῖνα τῷ ὡροσκόπῳ μοιρικῶς ἐπικρατήσει. Σελήνης καὶ Ἡλίου ἐν τῷ τρίτῳ ἀποκεκλικότων τοῦ ὡροσκόπου τὸ μεσουράνημα ἐπικρατήσει καὶ ⟨ὁ⟩ τῶν ὁρίων κύριος οἰκοδεσποτήσει· ὅθεν ἐὰν ἡμέρας γένηται, ἀκυρολόγητα τὰ φῶτα ἐν τῷ ὑπὲρ γῆν ἡμισφαιρίῳ· ὡροσκόπος ἐπικρατήσει καὶ ⟨ὁ⟩ τῶν μοιρῶν κύριος οἰκοδεσποτήσει· νυκτὸς δὲ ἐν τῷ ὑπὸ γῆν ἀποκεκλικότων τὸ μεσουράνημα ἐπικρατήσει. ἐὰν ὁ Ἥλιος καὶ ἡ Σελήνη ἐν τῷ δυτικῷ τύχωσι ζῳδίῳ, τὸ ὅριον τῆς συνόδου ἐπικρατήσει καὶ ὁ κύριος τῶν μοιρῶν οἰκοδεσποτήσει. ὁμοίως καὶ ἐὰν ἐν τῷ ὡροσκόπῳ ἀμφότεροι τύχωσιν ἢ ἐν τῷ μεσουρανήματι ἢ ἐν τῷ ὑπὸ γῆν, τὸ ὅριον τῆς συνόδου ἐπικρατήσει καὶ ὁ κύριος τῶν ὁρίων οἰκοδεσποτήσει· ἐάν τε γὰρ ἐν αὐτῷ τῷ ζῳδίῳ ἑνὸς ἀστέρος ὅριον ἔχωσιν ἐάν τε ἐν ἄλλῳ, ἀπαραβάτως ἐκεῖνος οἰκοδεσποτήσει. ἐὰν δέ πως ἐν τῷ ἰδίῳ ταπεινώματι ὁ Ἥλιος εὑρεθῇ, οὐκ ἔσται ἀφέτης, ἐκτὸς εἰ μὴ μοιρικῶς ὡροσκοπῶν τύχῃ· ὡσαύτως δὲ καὶ ἡ Σελήνη Σκορπίῳ. Σελήνη συνοδικὴ εὑρισκομένη καὶ ὑπὸ τὰς αὐγὰς τοῦ Ἡλίου πεπτωκυῖα οὐ γίνεται ἀφέτης, ἐκτὸς εἰ μὴ καὶ αὐτὴ μοιρικῶς ὡροσκοπήσῃ. ἐπὶ δὲ πανσέληνον φερομένη ἐὰν ἐντὸς τοῦ ὡροσκοποῦντος ὁρίου λύῃ τὴν φάσιν, ἔστιν ἀφέτις καὶ αὐτὴ δὲ ἀναιρέτις, ἐὰν αὐτῇ τῇ ἡμέρᾳ λύῃ τὴν πανσέληνον.

134 δεήσει οὖν σκοπεῖν τὰς μεταξὺ αὐτῆς καὶ τῆς πανσελήνου, πόσαι εἰσί, καὶ ἐπιγνόντας τὸ πλῆθος τῶν ἐτῶν ἀποφαίνεσθαι. Οἷον ὡροσκόπος Σελήνη Ὑδροχόῳ Κριῷ κβʹ· ἐν δὲ τῇ αὐτῇ ἡμέρᾳ τὴν πανσέληνον λύει περὶ μοίρας κζʹ τοῦ αὐτοῦ ζῳδίου. τὸ διάστημα τὸ μεταξὺ αὐτῆς καὶ τῆς πανσελήνου μοῖραι εʹ, ἅτινα συνάγεται ἔτη δʹ. τοσαῦτα ἐβίωσεν ὁ γεννώμενος. καὶ μάλιστα ἐὰν κακοποιὸς ἐπιφέρῃ τὴν ἀκτῖνα καὶ εἰ μαρτυρήσει δὲ ἢ ἐναντιωθῇ τῷ ζῳδίῳ, ἔσται ὁ θάνατος· ἐὰν δὲ καὶ [ὁ] ἀγαθοποιὸς ὁμοίως ἐπιθεωρῇ, ὁ μὲν θάνατος οὐκ ἔσται, σίνος δὲ ἢ πάθος. καὶ αἱ λοιπαὶ δὲ φάσεις τῆς Σελήνης ἕως τῆς τοῦ συνδέσμου λύσεώς εἰσιν ἀναιρετικαί. δεῖ δὲ καὶ τὴν ἐπικράτησιν τότε βεβαίαν κρίνειν, ἐὰν καὶ τῷ κυρίῳ τῶν ὁρίων Ἥλιος καὶ Σελήνη ἐπιμαρτυρῇ καὶ ἐπίκεντρος τύχῃ ἢ ἐν ταῖς χρηματιζούσαις μοίραις· ἐὰν δὲ ἀπόστροφος εὑρεθῇ, ἀνοικοδεσπότητος ἡ γένεσις κριθήσεται. ἐὰν δὲ ἐναλλάξωσι τὰ ὅρια ὅ τε κύριος τοῦ ἡλιακοῦ ἢ σεληνιακοῦ ζῳδίου καὶ τῶν ὁρίων, καὶ οὕτως ἔσται ἀνεπικράτητος ἡ οἰκοδεσποτεία. σκοπεῖν δὲ δεῖ, μήποτε ὁ δοκῶν οἰκοδεσποτεῖν ὑπὸ δύσιν τύχῃ· καὶ οὕτως γὰρ πάλιν ἀνοικοδεσπότητος ἡ γένεσις. ⟨βʹ.⟩ Περὶ μοιρῶν ἐπισήμων τῶν κέντρω ν . Πρὸ πάντων οὖν στήσαντα τὴν ὡροσκοποῦσαν καὶ μεσουρανοῦσαν μοῖραν καὶ τῶν λοιπῶν κέντρων λαμβάνειν χρὴ ἀπὸ τῆς ὡροσκοπούσης μοίρας ἕως τῆς ἀντιμεσουρανούσης καὶ τοῦ συναχθέντος πλήθους τὸ τρίτον μέρος ἡγεῖσθαι κεντρικῷ σχήματι χρηματιζούσας μοίρας ἀπὸ τῆς ἑξῆς δυναστικούς τε τοὺς ἀστέρας ἤτοι ἀγαθοποιοὺς ἢ κακοποιοὺς ἐν ταύταις ταῖς μοίραις, τὰς δὲ λοιπὰς ἕως τοῦ ὑπογείου ἀχρηματίστους καὶ τοὺς ἐπόντας ἀστέρας ἀχρηματίστους ἢ ἀπράκτους. τὴν δὲ αὐτὴν δύναμιν τὰ διάμετρα τοῦ τε ὡροσκόπου καὶ τῶν λοιπῶν κέντρων ἐφέξει πρός τε τὰς χρηματιζούσας μοίρας καὶ ἀχρηματίστους καὶ οἱ ἐπόντες ἀστέρες ὁμοίως εὐτονήσουσι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φανερὸν οὖν ὅτι οὐκ ἀεὶ τριάκοντα μοῖραι ἐπίκεντροι, ἀλλ’ ὅτε μὲν πλείους ὅτε δὲ ἐλάττους· ἐὰν δέ πως ἐν τῷ ὡροσκοποῦντι καὶ δύνοντι ζῳδίῳ δυναστικαὶ μοῖραι ἐλάττους ὦσι τῶν τριάκοντα, τότε ἐν τῷ μεσουρανήματι καὶ ὑπογείῳ κέντρῳ πλείους ἔσονται τῶν τριάκοντα μοιρῶν.

135 ἐὰν δὲ ἐν τῷ ὡροσκοποῦντι καὶ ἀνθωροσκοποῦντι κέντρῳ πλείους ὦσι τῶν τριάκοντα, τότε ἐν τῷ μεσουρανήματι καὶ ὑπογείῳ ἐλάττους. Οἷον ἔστω ὡροσκοπεῖν Ἰχθύας περὶ μοίρας ιγʹ, μεσουρανεῖν Τοξότου μοίρας κβʹ, ὑπὸ γῆν 〈εἶναι〉 Διδύμους τῶν αὐτῶν, δύνειν Παρθένου μοῖραν ιγʹ. ἔλαβον τὸ ἀπὸ τοῦ ὡροσκόπου διάστημα ἕως τοῦ ὑπογείου· γίνονται μοῖραι ϟθʹ. τούτων τὸ τρίτον γίνονται λγʹ· ταύτας ἀπέλυσα ἀπὸ τοῦ ὡροσκόπου, κατέληξεν εἰς τὴν τοῦ Κριοῦ μοῖραν ιςʹ· αὗται ἔσονται δυναστικαὶ μοῖραι καὶ οἱ ἐπ’ αὐτῶν ἀστέρες, αἱ δὲ λοιπαὶ μοῖραι ἀπὸ ιζʹ ἕως τοῦ ὑπογείου ἀχρημάτιστοι, καὶ αἱ τούτων δὲ διάμετροι τὸ ὅμοιον ἐφέξουσι. πάλιν ἔλαβον ἀπὸ 〈τῆσ〉 μεσουρανούσης μοίρας ἕως τῆς ὡροσκοπούσης· γίνονται παʹ· τούτων τὸ τρίτον γίνονται κζʹ· ταύτας ἀπέλυσα ἀπὸ τῆς μεσουρανούσης μοίρας, κατέληξε εἰς τὴν τοῦ Αἰγόκερω μοῖραν ιθʹ. αὗται οὖν χρηματιστικαὶ καὶ αἱ τούτων διάμετροι, αἱ δὲ λοιπαὶ ἀχρημάτιστοι. τὸ δ’ ὅμοιον καὶ ἐπὶ τῶν λοιπῶν γενέσεων δεῖ ποιεῖν πρὸς τὸ γινώσκειν τοὺς ἀστέρας πότερον ἐν χρηματιστικαῖς μοίραις εἰσὶν ἢ ἀχρηματίστοις. Ἔδοξε δέ μοι φυσικώτερον οὕτως ἔχειν. τὸ μὲν διάστημα ἀπὸ τῆς ὡροσκοπούσης μοίρας ἕως τῆς ὑπογείου λαμβάνοντα καὶ τούτων τὸ τρίτον λογισάμενον καθὼς πρόκειται καὶ ἀπολύσαντα ἀπὸ τῆς ὡροσκοπ〈ούσ〉ης κατὰ τὸ ἑξῆς κρίνειν δυναστικὰς μοίρας καὶ τὰς τούτων διαμέτρους, τὸ δὲ ἕτερον μέρος τῶν μοιρῶν κρίνειν πάλιν μέσον, μήτε πλέον ἀγαθὸν μήτε φαῦλον, διὰ τὴν ἐπαναφορὰν τοῦ ὡροσκόπου καὶ τὴν θεὰν καὶ τὸ διάμετρον τοῦ θεοῦ. ἔσται οὖν τὸ μὲν πρῶτον τρίτον μέρος τῶν ἀπὸ ὡροσκόπου μοιρῶν χρηματιστικὸν καὶ δυναστικόν, τὸ δὲ ἕτερον τρίτον μέρος μέσον, τὸ δὲ ἕτερον τρίτον αἰτιατικὸν καὶ φαῦλον. κατὰ ταὐτὰ δὲ καὶ οἱ ἀστέρες ἐνεργήσουσι· δεῖ γὰρ ἀπὸ τῆς τοῦ μεσουρανήματος καὶ τῆς κεντρικῆς τάξεως *** τὸ δὲ ἕτερον τῆς ἐπαναφορᾶς, καθὸ καὶ παρὰ τοῖς παλαιοῖς Ἀγαθοδαίμων ὠνομάσθη· τὸ δὲ λοιπὸν τρίτον ἕως 〈τῆσ〉 τοῦ ὡροσκόπου ἀποκεκλικυίας μοίρας κακωτικὸν καὶ ἀσχημάτιστον. ὁμοίως δὲ καὶ τὰ τούτων διάμετρα συνεπισχύσει. Ταῦτα πάντα καὶ ὁ Ὠρίων ἐν τῷ βιβλίῳ ἐξέθετο. 〈γʹ.

136 〉 Περὶ ἀφέσεω ς . Ἐπεὶ δέ τινες φθόνῳ φερόμενοι ἢ ἀπειρίᾳ μονομερῶς καὶ σκοτεινῶς πραγματεύονται τὴν ἄφεσιν (πάντοτε γὰρ ἀπὸ τῆς ἀφετικῆς μοίρας ἕως τῆς τετραγώνου πλευρᾶς τὸ πλῆθος τῶν μοιρῶν κατὰ τὰς ἀναφορὰς ποιούμενοι ἀποφαίνονται), ἀναγκαῖον ἡμᾶς τὴν διάκρισιν ἐπιδιασαφῆσαι. εὑρίσκομεν γὰρ γενέσεις καὶ τὴν τετράγωνον πλευρὰν διαβεβηκυίας καὶ μάλιστα ἐν τοῖς ὀλιγαναφόροις ζῳδίοις, καίπερ τοῦ παλαιοῦ ἀκριβῶς λέγοντος ὡς ἀδυνάτου ὄντος, καὶ πάλιν ἄτερ τῆς τῶν κακοποιῶν ἀκτινοβολίας μηδὲ τὴν τετράγωνον διεληλυθυίας. τεθείσης οὖν γενέσεως σκοπεῖν δεήσει, εἰ οἰκοδεσποτεῖται ἡ γένεσις ἢ ἀνοικοδεσπότητος ἔσται, καὶ πότερον Ἥλιος ἢ Σελήνη ἢ ὡροσκόπος ἀφέτης. καὶ ἐὰν μὲν ὁ Ἥλιος ἢ Σελήνη τὸν ἀφετικὸν τόπον λάχῃ, λογίζεσθαι δεῖ ἀπὸ τῆς ἀφετικῆς μοίρας ἕως τῆς τετραγώνου πλευρᾶς, πόσος χρόνος συνάγεται καθ’ ὃ κλίμα [τι] γεγένηται, καὶ συναγαγόντας ἀποφαίνεσθαι τοσαῦτα ἔτη ζήσεσθαι. τοῦτο δὲ συμβαίνει, ἐάνπερ ὁ οἰκοδεσπότης ἐν ἰδίοις ὅροις ὑπάρχων καὶ οἰκείως ἐσχηματισμένος τῷ ἀφέτῃ συνάπτῃ ἢ ἐπιμαρτυρῇ καὶ μηδεὶς τῶν ἀναιρετῶν τὴν ἀκτῖνα ἐπιφέρων λοιπογραφήσῃ τὸ πλῆθος τῶν ἐτῶν. ἐὰν δὲ ὁ οἰκοδεσπότης ἀκαταμαρτύρητος πρὸς τὸν ἐπικρατήτορα τύχῃ, ἄλλως δὲ καλῶς σχηματιζόμενος εὑρεθῇ, οἷον ἐὰν ὡροσκοπῇ ἢ μεσουρανῇ ἀνατολικός, αὐτὸς τὰ τέλεια ἔτη μερίσει· ἐὰν δὲ τῶν κέντρων, λοιπογραφήσας τὴν διαίρεσιν τοῦ διαστήματος κατὰ τὸν τῆς κοινωνίας λόγον τὰ λοιπὰ μερίσει. Πάντοτε οὖν ἀπὸ τοῦ ἐπικρατήτορος δεῖ λογίζεσθαι τὴν ποσότητα τῶν ἐτῶν καὶ συγκρίνειν τοῖς τοῦ οἰκοδεσπότου· καὶ ὅσα ἂν εὑρίσκηται, τοσαῦτα ζήσεται ἔτη· ὁ γὰρ οἰκοδεσπότης

μερίζει, ἐάνπερ οἰκοδεσποτουμένη τύχῃ, λοιπογραφουμένων τῶν κεντρικῶν διαστάσεων. ἐὰν δὲ τὰ τοῦ ἀφέτου ἥττονα ὄντα τῶν τοῦ οἰκοδεσπότου τύχῃ, τὰ τοῦ ἀφέτου ζήσεται καὶ ἀνοικοδεσπότητος κριθήσεται. ἐὰν δὲ οἰκείως ἡ ἐπικράτησις τύχῃ, καὶ ὁ οἰκοδεσπότης ἕκαστος τὰ ἴδια ἔτη μερίζει. ἔνιοι μὲν οὖν τὴν κεντρικὴν διάστασιν πάλιν τῶν οἰκοδεσποτῶν λογίζονται ἀπὸ τῆς ὥρας καὶ δυνούσης μοίρας· κἂν ε′ ἢ ϛ′ ζῴδια ἀπέχωσι, τοσαύτην ἀφαίρεσιν ποιοῦνται.

137 ἐγὼ δέ φημι καὶ ἐκ τῶν δ′ κέντρων τὴν διάστασιν τοῦ οἰκοδεσπότου λογίζεσθαι καὶ ἀφαιρεῖν, ἐάνπερ οἰκοδεσποτουμένη ἡ γένεσις εὑρεθῇ· τὸ γὰρ λέγειν *** ἐπὰν δὲ εὑρεθῇ μεσουρανῶν ἢ ἀγαθοδαιμονῶν ἢ καὶ ἐπί τινος χρηματιστικοῦ τόπου, τὰ τέλεια μεριεῖ. οὐκ ἄρα ἀφελεῖ τις ἀπὸ τῆς ὥρας ἢ δυτικῆς διαστάσεως τὸ ἐπιβάλλον. ἐὰν δέ πως μήτε Ἥλιος μήτε Σελήνη τὸν ἀφετικὸν τόπον λάχωσιν ἀλλὰ ὡροσκόπος ἢ μεσουράνημα, οὐκέτι τὸ πλῆθος τῶν ἐτῶν ἀπὸ τῆς ἀφετικῆς μοίρας ἕως τῆς τετραγώνου δέον λογίζεσθαι, ἀλλ’ ἕως τῆς κεντρικῆς διαστάσεως συλλογισαμένους ἀποφαίνεσθαι τὰ ἔτη, ἐάν πως μηδεὶς τῶν ἀναιρετῶν ἐπιφέρων τὴν ἀκτῖνα χρεωκοπήσῃ τὸ πλῆθος τῶν ἐτῶν. Ὑποδείγματος χάριν ἔστω τινὰ ὡροσκοπεῖσθαι κατὰ τὸ β′ κλίμα Διδύμοις μοίρᾳ η′, μεσουρανεῖσθαι δὲ ὑπὸ Ὑδροχόου μοίρας κβ′. καὶ τῆς ἀφέσεως οὔσης ἀπὸ τῆς ὡροσκοπούσης μοίρας οὐ πάντως ἡ κατάληξις τῶν ἐτῶν ἕως τῆς τετραγώνου πλευρᾶς Παρθένου μοίρας η′, ἀλλ’ ἕως τοῦ ὑπογείου Λέοντος μοίρας κβ′, καὶ τὸ συνηγμένον πλῆθος τῶν ἐτῶν ἀποφαίνεσθαι, ἐάνπερ μηδεὶς ἀναιρέτης τὴν ἀκτῖνα ἐπιφέρῃ. ἐὰν γὰρ ἐν τῇ κ′ μοίρᾳ τῶν Διδύμων ἢ τοῦ Καρκίνου ὁποιᾳδήποτε μοίρᾳ ἀναιρέτης ἐπῇ ἢ ἀκτινοβολήσῃ, τοσαῦτα ἔτη ζήσεται, ὅσα ἀπὸ τῆς ἀφετικῆς ἕως τῆς ἀναιρετικῆς συνάγεται. ὁμοίως δὲ καὶ ἂν ἀπὸ τοῦ μεσουρανήματος Ὑδροχόου μοίρας κβ′ τὴν ἄφεσιν ποιησώμεθα, τὴν συμπεραίωσιν τῶν ἐτῶν οὐκέτι ἕως τῆς τετραγώνου πλευρᾶς Ταύρου μοίρας κβ′ ἕξομεν, ἀλλ’ ἕως τῆς η′ μοίρας τῶν Διδύμων. προφανὲς οὖν ὅτι ζῳδιακῶς μὲν τὴν τετράγωνον πλευρὰν ἡ ἄφεσις ὑπερτέθεικε, κεντρικῶς δὲ οὔ. ἔσθ’ ὅτε μὲν οὖν οὗτος ὁ τρόπος καὶ ἐπὶ Ἡλίου καὶ Σελήνης ἁρμόσει· πρὸς μὲν τὴν ὑπέρθεσιν, ἐὰν ὑπὸ τῶν οἰκοδεσποτῶν βοηθῶνται, τουτέστιν ὅταν μαρτυρῶνται ὑπὸ αὐτῶν καλῶς πεπτωκότων καὶ δυναμένων τὰ τέλεια μερίζειν. ὡσαύτως δὲ καὶ ἐκ τῆς δύσεως τὴν ἄφεσιν ἐὰν ποιησώμεθα, τουτέστι Τοξότου μοίρας η′, ἕως τῆς κβ′ τοῦ Ὑδροχόου, τὸ τέλος εὑρήσομεν. πάντοτε οὖν τὴν ἀφετικὴν μοῖραν εὑρόντας σκοπεῖν δεήσει τὸ κεντρικὸν διάστημα ποῦ φθάνει καὶ ἕως ἐκείνης τῆς μοίρας τὴν ἄφεσιν ποιεῖσθαι, ἐάνπερ μηδεὶς ἀναιρέτης διακόπτῃ. Μυστικώτερος δὲ ἔστω οὗτος ὁ λόγος καὶ δεδοκιμασμένος ὑφ’ ἡμῶν καὶ ἀνηπλωμένος, τὴν ἀφετικὴν μοῖραν λογίζεσθαι ὡς μεσουρανοῦσαν.

138 ταύτης δὲ μεσουρανούσης σκοπεῖν δεήσει καὶ καθ’ ὃ κλίμα τις ζητεῖ, πόστη μοῖρα δύναται ὡροσκοπεῖν, καὶ ἐπιγνόντας ἕως ἐκείνης τὴν ἄφεσιν ποιεῖσθαι. οἷον ἔστω εἶναι ἀφετικὴν Σκορπίου μοῖραν ιβ′ κατὰ τὸ β′ κλίμα· ἐὰν μὲν οὖν αὐτὴν λογιζώμεθα ὡς ὡροσκοποῦσαν μοῖραν, ἡ ἄφεσις ἔσται ἕως τῆς τοῦ Ὑδροχόου μοίρας ιγ′, ἔνθα τὸ ὑπόγειον κατέληξε. ἐὰν δὲ καθὼς προείπαμεν λογισώμεθα μεσουρανοῦσαν αὐτήν, εὑρήσομεν ἐν τῷ ἀναφορικῷ ὡροσκόπον Αἰγόκερω μοῖραν κη′, καὶ ἡ ἄφεσις ἔσται ἀπὸ τῆς ιβ′ μοίρας τοῦ Σκορπίου ἕως τῆς κη′ τοῦ Αἰγόκερω. τὸ δὲ αὐτὸ καὶ ἐπὶ τῶν λοιπῶν ἤτοι γενέσεων ἤτοι ζῳδίων ποιήσαντες εὑρήσομεν. ὁμοίως δὲ καὶ τὴν ἀναιρετικὴν ἤγουν ἀφετικὴν μοῖραν λογίζεσθαι ὡροσκοποῦσαν 〈καὶ〉 ταύτης ὡροσκοπούσης, πόστη δύναται μεσουρανεῖν οἵα δή ποτε οὖν μοῖρα ζῳδίου, καὶ ἕως ἐκείνης τὴν ἄφεσιν ποιεῖσθαι ἢ τῆς διαμέτρου· πρὸς δὲ τὸν οἰκοδεσποτικὸν λόγον πραγματεύεσθαι, καθὼς προείπαμεν, σκοποῦντας τὴν κεντρικὴν διάστασιν καὶ τὴν σχηματογραφίαν καὶ τὴν πρὸς τὸν ἀφέτην σύγκρισιν. Ἔστω ὡροσκόπος ἡ Τοξότου μοῖρα ιη′, μεσουράνημα δὲ Ζυγοῦ μοῖρα δ′, οἰκοδεσποτεῖν δὲ Ἑρμῆν καὶ εἶναι 〈Παρθένῳ〉 μοίρᾳ ιγ′. λογίζομαι τὸ διάστημα τὸ ἀπ’ αὐτοῦ ἕως τῆς ὡροσκοπούσης μοίρας· γίνονται μοῖραι λε′, ἅτινά ἐστι ὧραι β′ καὶ μέρος γ′ ὥρας. ἐπεὶ οὖν οϛ′ ἐπιμερίζει τὰ τέλεια, ταῦτα παρὰ τὸν ιβ′· ἐπιβάλλει

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἄρα ἑκάστῃ ὥρᾳ ἔτη ς′ μῆνες δ′. τῶν οὖν δύο ὡρῶν γίνεται ἔτη ιβ′ μῆνες η′ καὶ τοῦ τρίτου ἔτη β′ μὴν α′ ἡμέραι ι′· ὁμοῦ γίνεται ἔτη ιδ′ μῆνες θ′ ἡμέραι ι′. ταῦτα ἀφεῖλον ἀπὸ τῶν ος′· λοιπὰ ἔτη ξα′ μῆνες β′ ἡμέραι κ′. τὸ δ’ ὅμοιον κἂν ἀπὸ τῶν ἑτέρων κέντρων ἀποσπάσῃς δεῖ λογίζεσθαι. τούτων οὕτως ὄντων ἔστω τὴν Σελήνην ἀφέτην εἶναι Ζυγῷ περὶ μοίρας η′· ἔλαβον τῶν λοιπῶν κβ′ μοιρῶν ἔτη κθ′ μῆνας δ′ καὶ τοῦ Σκορπίου λς′ καὶ τῶν ιζ′ τοῦ Τοξότου ἔτη ιη′ μῆνα α′ ἡμέρας ιη′· ὁμοῦ τὰ πάντα γίγνεται ἀπὸ τῆς ἀφέσεως ἔτη πγ′ μῆνες ε′ ἡμέραι ιη′. ἐπεὶ οὖν τὰ τοῦ ἀφέτου πλείονα τῶν τοῦ οἰκοδεσπότου ἐτῶν εὑρέθη, τοσαῦτα ἔτη βιώσει ἡ γένεσις, ὅσα ὁ οἰκοδεσπότης Ἑρμῆς ἐμέρισεν, ξα′ μῆνας β′ ἡμέρας κ′· εἰ δ’ ἦν τὰ τοῦ ἀφέτου ἥττονα τῶν τοῦ οἰκοδεσπότου ἐτῶν ὑπὸ ἀναιρετικῆς ἀκτῖνος λελοιπογραφημένα, οἷον ἔτη νγ′, συνέβαινε τὴν προκειμένην γένεσιν μόνα τὰ νγ′ ἔτη ζήσεσθαι.

139 ἐὰν μέντοι ὁ οἰκοδεσπότης ἐπίκεντρος καὶ ἀνατολικὸς εὑρεθῇ ἢ καὶ ἐπὶ τῶν χρηματιζουσῶν μοιρῶν ὧν τύχῃ τῆς ἀφέσεως πλεοναζούσης, καὶ αὐτὸς τὰ τέλεια μεριεῖ. καλῶς γὰρ τοῦ οἰκοδεσπότου τετευχότος οὐκέτι οἱ ἀναιρέται ἐπόντες ἢ ἀκτινοβολοῦντες παραιρέται τῶν χρόνων γενήσονται. ἐὰν δέ πως ἀνοικοδεσπότητος ἡ γένεσις εὑρεθῇ ἀφέσεως οὔσης, σκοπεῖν τότε δεήσει τὰς συμπαρουσίας τῶν ἀναιρετῶν ἢ καὶ ἐπιμαρτυρίας ἑξαγώνους τριγώνους τετραγώνους διαμέτρους. Ἀναιρέται δέ εἰσιν Κρόνος Ἄρης Ἥλιος Σελήνη ἐπὶ φάσιν φερομένη. εἰσὶ δὲ καὶ ἀναιρετικοὶ τόποι καθ’ ἕκαστον ζῴδιον τά τε ἀφετικὰ ὅρια καὶ τὰ τῶν κακοποιῶν· ἀναιρετικαὶ δὲ μοῖραι κριθήσονται αἱ παρ’ ἑκάτερα τῆς ἀφέσεως γ′, ὅτι πᾶσα τριμοιρία καθηγουμένη καὶ ἑπομένη δύναμιν συμπαρουσίας ἔχει ἤτοι ἰσομοιρίας, καὶ αὐτὴ ἡ κατὰ κάθετον, ὡς εἶναι τὰς πάσας ζ′. ἐν ταύταις οἱ κακοποιοὶ ἀκτινοβολοῦντες ἀναιρέται γενήσονται, οἱ δὲ ἀγαθοποιοὶ κωλυταὶ τῆς ἀναιρέσεως. οἷον ἔστω τινὰ ὡροσκοπεῖσθαι ὑπὸ τῆς τοῦ Κριοῦ μοίρας ιβ′· αὕτη μὲν οὖν ἔσται μέση 〈ἀπὸ τῆς θ′〉 ἕως τῆς ιε′ μοίρας Κριοῦ· ἐὰν οὖν κακοποιὸς βάλῃ ἀκτῖνα ἀπὸ τῆς θ′ ἕως τῆς ιε′, ἀναιρεῖ οὐ μόνον εἰς τὸ αὐτὸ ζῴδιον τῆς ἀφέσεως, ἀλλὰ καὶ ἐν τοῖς ἑτέροις ἕως τῆς τετραγώνου πλευρᾶς. οἷον ἐὰν τοῦ Κριοῦ ὡροσκοποῦντος Κρόνος ἢ Ἄρης εὑρεθῇ. Ταύρῳ ἢ Διδύμοις περὶ μοῖραν ιε′ τῆς ἀφετικῆς μοίρας κατὰ τὴν τῶν χρόνων ἀκολουθίαν γινομένης, εἰς τὴν τοῦ Ταύρου ἢ Διδύμων μοῖραν ιβ′ ἢ ιγ′ ἔσται ἡ ἀναίρεσις. ἐπίκεντροι μὲν οὖν ἢ καὶ ἐπαναφερόμενοι οἱ ἀναιρέται εὐτονώτεροι καθίστανται, ἔκκεντροι δὲ ἐξασθενήσουσι. Ἔστω δὲ καὶ οὗτος ὁ λόγος δυναστικὸς πρὸς τοὺς ἐπικέντρους. οἷον ἐὰν τοῦ Κριοῦ ὡροσκοποῦντος καθὼς πρόκειται Κρόνος ἐν Τοξότῃ τύχῃ μοίρᾳ ιγ′ ἢ καὶ ιβ′ ἢ καὶ κ′, ζῳδιακῶς μὲν ἀποκέκλικεν· ἐπειδὴ δ’ εἰς ἐπικέντρους καὶ χρηματιζούσας μοίρας ἔβαλε τὴν ἀκτῖνα κατὰ τρίγωνον εἰς τὸν Κριόν, ἀναιρέτης κριθήσεται. ἐὰν δὲ ἐν Τοξότῃ εὑρεθῇ μοίρᾳ γ′ ἢ ζ′, κατ’ ἀμφότερα οὗτος ἔσται ἀποκεκλικώς, καὶ μοιρικῶς καὶ ζῳδιακῶς, καὶ οὐκ ἔστιν ἀναιρέτης. συμβαίνει δὲ καὶ ἀπὸ ἐπικέντρων τόπων τοὺς ἀναιρέτας εἰς ἀχρηματίστους καὶ ἀποκεκλικυίας μοίρας τὰς ἀκτῖνας βάλλειν καὶ μὴ ἀναιρεῖν· τὸ δ’ ὅμοιον καὶ ἐπὶ τῶν ἀγαθῶν νοείσθω.

140 〈δ′.〉 Περὶ ἀνέμων τῶν ἀστέρων καὶ τῶν ὑψωμάτων καὶ βαθμῶ ν . Τούτων οὕτως ἐχόντων δεῖ καὶ τοὺς ἀνέμους ὑποτάξαι· πρότερον δὲ δεῖ σκοπεῖν, ἐν αἷς ἕκαστος μοίραις ὑψοῦται· ἐκ γὰρ τούτων ἡ διάκρισις γινώσκεται. ὁ μὲν οὖν Ἥλιος ὑψοῦται περὶ μοῖραν ιθ′ τοῦ Κριοῦ, ἡ δὲ Σελήνη περὶ τὴν τρίτην τοῦ Ταύρου, ὁ δὲ Ζεὺς περὶ τὰς ιε′ τοῦ Καρκίνου, ὁ δὲ Ἄρης περὶ τὴν κη′ τοῦ Αἰγόκερω, ὁ δὲ Κρόνος περὶ τὴν κα′ τοῦ Ζυγοῦ, ὁ δὲ Ἑρμῆς περὶ τὴν ιε′ τῆς Παρθένου, ἡ δὲ Ἀφροδίτη περὶ τὴν κζ′ τῶν Ἰχθύων. ἐν δὲ ταῖς διαμέτροις μοίραις ταπεινοῦνται. τὸ οὖν προηγούμενον ἑκάστου ὑψώματος τετράγωνον βόρειον κληθήσεται καὶ τὸ ἑπόμενον νότιον. οἷον ἐπεὶ ὁ Ἥλιος ὑψοῦται περὶ μοῖραν ιθ′ τοῦ Κριοῦ, ἔσται προηγούμενον αὐτοῦ τετράγωνον ἀπὸ ιθ′ μοίρας τοῦ Αἰγόκερω· ἐὰν οὖν εὑρεθῇ ἐν τούτῳ, λέγομεν αὐτὸν βορρὰν ἀναβαίνειν καὶ ὕψος ὑψοῦσθαι· ἀπὸ δὲ ιθ′ τοῦ Κριοῦ ἕως ιθ′ τοῦ Καρκίνου καταβαίνει τὸν βορράν· ἀπὸ δὲ ιθ′

τοῦ Καρκίνου ἕως ιθ′ τοῦ Ζυγοῦ καταβαίνει τὸν νότον· ἀπὸ δὲ ιθ′ τοῦ Ζυγοῦ ἕως ιθ′ τοῦ Αἰγόκερω ἀναβαίνει τὸν νότον. Ἐὰν δὲ καὶ τὸν βαθμὸν τοῦ ἀνέμου ζητῶμεν, οὕτως εὑρήσομεν. ἐπεὶ ἕκαστος βαθμός ἐστι μοιρῶν ιε′, ἀπὸ τῆς ἑκάστης μοίρας λαβὼν τὸ διάστημα τοῦ ἀστέρος καὶ ἐκκρούσας τὸ ιε′ ἐπιγνώσομαι. οἷον ἔστω Ἥλιος Ὑδροχόου μοίρᾳ κβ′· λαμβάνω ἀπὸ τῆς ιθ′ τοῦ Αἰγόκερω ἕως κβ′ Ὑδροχόου· γίνονται λγ′· ἀφαιροῦμεν τὰς δὶς ιε′ μοίρας λ′, οἵ εἰσι βαθμοὶ β′· λοιπαὶ γ′, ὥστε εἶναι τὸν Ἥλιον τῆς τοῦ βορρᾶ ἀναβάσεως ἐπὶ βαθμοῦ τοῦ ἀνέμου γ′. τοῦτο μὲν οὖν ὑποδείγματος χάριν ἐκτιθέμεθα· καὶ ἐπὶ τῶν ἀνέμων τῶν λοιπῶν λογισαμένους τό τε βόρειον καὶ τὸ νότιον ἡμικύκλιον ὡσαύτως χρὴ πραγματεύεσθαι τόν τε ἄνεμον καὶ τὸν βαθμόν. ἐπὶ πάσης οὖν γενέσεως ἐπιγνῶναι δεῖ, πότερον Ἥλιος ἢ [ἡ] Σελήνη ἢ ὡροσκόπος ἀφέτης ἐστὶ καὶ ποῖον ἄνεμον τρέχει καὶ οὕτως τοὺς λοιποὺς ἀστέρας συνορᾶν. ἐὰν γάρ [τισι] τινες τὸν αὐτὸν τῷ ἀφέτῃ ἄνεμον τρέχωσιν, ἔσονται οἰκεῖοι καὶ συμπαθεῖς καὶ μάλιστα τοῖς ἰδίοις χρόνοις· κρείσσονες δὲ καὶ ἐπωφελεῖς, ἐὰν καὶ ἀνατολικοὶ ἢ ἐπίκεντροι τύχωσιν ἢ τοῖς ἀριθμοῖς προστιθέντες καὶ τῆς αὐτῆς αἱρέσεως.

141 ἐὰν δέ τις τῶν ἀστέρων τὸν ἐναντίον τῷ ἀφέτῃ ἄνεμον τρέχῃ, ἐναντίος γενήσεται καὶ κακοποιὸς καὶ μάλιστα ἐπὶ τῆς τῶν χρόνων παραδόσεως. ἐὰν δὲ καὶ δυτικὸς καὶ τοῖς ἀριθμοῖς ἀφαιρῶν, βλαπτικὸς καὶ ἐπικίνδυνος· οὐδ’ ἐὰν ἐπίκεντρος τύχῃ ἐν τούτῳ τῷ μέρει, ἀγαθοποιὸς κριθήσεται διὰ παντός. ἐὰν δὲ τινὰ μὲν οἰκεῖα σχήματα ἔχῃ τινὰ δὲ ἀνοίκεια πρὸς τὸν ἀφέτην, ἀνώμαλος καὶ οὐ κατὰ πᾶν ὠφέλιμος οὐδὲ βλαπτικός. ἐὰν δὲ 〈ὁ〉 ὡροσκόπος ἀφέτης εὑρεθῇ, τὸν κύριον τῶν ὁρίων τότε σκοπεῖν δεήσει καὶ ἐπιγνῶναι, ποῖον ἄνεμον τρέχει ἢ καὶ ἐπίκεντρος ἢ ἀνατολικὸς ἢ προσθετικός, καὶ συγκρίνειν πρὸς τοὺς λοιπούς. τινὲς μὲν οὖν δόξουσι ταύτην τὴν αἵρεσιν ματαίαν ὑπάρχειν· ἐγὼ δέ φημι φυσικωτέραν μᾶλλον καὶ ἐνεργεστέραν εἶναι· ἐν γὰρ ταῖς κανονικαῖς συμπήξεσιν ἄλλοι ἄλλως τὸν τόπον τοῦτον πραγματευόμενοι οὐ διηκρίβωσαν. 〈ε′.〉 Περὶ αἱρέσεως τῶν ἀστέρω ν . Δεῖ δὲ σκοπεῖν καὶ τὰς αἱρέσεις τῶν ἀστέρων. Ἥλιος μὲν γὰρ καὶ Ζεὺς καὶ Κρόνος ἡμέρας ὑπέργειοι χαίρουσι, νυκτὸς δὲ ὑπόγειοι· Σελήνη δὲ καὶ Ἄρης καὶ Ἀφροδίτη νυκτὸς ὑπέργειοι χαίρουσι, ἡμέρας δὲ ὑπόγειοι· Ἑρμῆς παρὰ τὰς αἱρέσεις τοῦ οἰκοδεσπότου ἐν οἷς ἐστιν ὁρίοις. ὅθεν ἐπὶ μὲν τῶν ἡμέρας γεννωμένων ἐάν τις εὑρεθῇ ἔχων Δία Ἥλιον Κρόνον ὑπεργείους καλῶς ἐσχηματισμένους, ἄμεινον ἔσται τοῦ ὑπογείους ἔχοντος. ὁμοίως δὲ καὶ τοὺς νυκτερινοὺς ἐὰν ὑπεργείους τις ἔχῃ, σύμφορον. ἡ δὲ Ἀφροδίτη μᾶλλον χαίρει ὡροσκοποῦσα ἢ μεσουρανοῦσα καὶ οἱ λοιποὶ δὲ ἀστέρες χαίρουσιν ὡροσκοποῦντες ἤπερ δύνοντες. 〈ϛ′.〉 Τῶν προκειμένων κεφαλαίων ὑποδείγματ α . Ἔστω ἐπὶ ὑποδείγματος Ἥλιος Καρκίνῳ μοίρᾳ κθ′ λ′, Σελήνη Ἰχθύσι μοίρᾳ ιβ′, Κρόνος Τοξότῃ μοίρᾳ κζ′ η′, Ζεὺς Παρθένῳ μοίρᾳ κβ′ ιγ′, Ἄρης Σκορπίῳ μοίρᾳ ζ′ κγ′, Ἀφροδίτη Καρκίνῳ μοίρᾳ κη′ ιγ′, Ἑρμῆς Λέοντι μοίρᾳ ια′ κε′, ὡροσκόπος Ἰχθύσι μοίρᾳ ιζ′, μεσουράνημα Τοξότῃ μοίρᾳ κε′. ἀνοικοδεσπότητος ἡ γένεσις διὰ τὸ ὑπὸ δύσιν ἐμπεπτωκέναι Ἀφροδίτην τὴν κυρίαν τῶν ὁρίων τῆς Σελήνης· ἀφέτης ὡροσκόπος, 〈Ἑρμῆς ὁ〉 τῶν ὁρίων κύριος Ἀφροδίτης καὶ αὐτὸς ὑπὸ δύσιν ἀποκεκλικὼς εὑρέθη.

142 ἡ οὖν ἄφεσις ἀπὸ τοῦ ὡροσκόπου ἕως τῆς τετραγώνου πλευρᾶς καὶ τῆς πρὸς Κρόνον ἀπὸ διαμέτρου ἀκτινοβολίας εἰς κακοποιοῦ ὅριον· Ἄρης γὰρ τὴν διάμετρον ἀκτῖνα παρήλλαξε διὰ τὸ ἰσόμοιρον εὑρεθέντα Δία κεκωλυκέναι τὴν ἀναίρεσιν. ἐτελεύτα οὖν ἐτῶν ξθ′· ἐὰν δὲ μὴ ἐκώλυσεν ὁ Ζεὺς τετραγωνίσας, μόνα ἔτη ξδ′ ἔζησεν ἄν. Ἄλλ η. Ἥλιος Ἰχθύσι μοίρᾳ κε′ η′, Σελήνη Διδύμοις μοίρᾳ ις′ νγ′, Κρόνος Ἰχθύσι μοίρᾳ α′ κε′, Ζεὺς Τοξότῃ κδ′ ιη′, Ἄρης Ταύρῳ κα′ η′, Ἀφροδίτη Ὑδροχόῳ μοίρᾳ θ′, Ἑρμῆς Κρόνος Ταύρῳ λβ′, ὡροσκόπος Ζυγῷ ιε′, μεσουράνημα Καρκίνῳ ις′. τὰ φῶτα ἀπέκλιναν, ὡροσκόπος ἀφέτης, ὅρια Διὸς καὶ Ζεὺς παρέπεσεν, ἀνοικοδεσπότητος ἡ γένεσις, ἡ ἄφεσις ἕως τῆς διαμέτρου Ἄρεως τῆς ἐν Σκορπίῳ μοίρας κα′· τοῖς γὰρ ἀφετικοῖς ὁρίοις ἐφεστὼς εἰς τὰ αὐτὰ ὅρια βάλλων ἀνεῖλεν. ἐτελεύτα τῷ να′ ἔτει.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔστιν οὖν τὰ ἀφετικὰ ὅρια καὶ τῶν κακοποιῶν ἀναιρετικὰ οὐ μόνον ἐφ’ ὧν ἔπεισι μοιρῶν οἱ ἀναιρέται ἢ τὰς ἀκτῖνας βάλλουσιν, ἀλλὰ καὶ ὅταν ἡ ἄφεσις ἐν ἀρχῇ τοῦ ὁρίου γένηται. ἄλλως τε οὐ μόνον τὸν χρόνον τοῦ ἀκτινοβολουμένου ζῳδίου συλλογίζεσθαι δεῖ, ἀλλὰ καὶ τοῦ ἀκτινοβολοῦντος, ἐφ’ οὗ ὁ ἀναιρέτης τυγχάνει. 〈ζʹ.〉 Ἄλλως περὶ ἐχθρῶν τόπων καὶ ἀφέσεων ἐκ τῶν Κριτοδήμο υ . Ἀπὸ Σελήνης καὶ ὡροσκόπου· ἀλλ’ ὁπόταν ἡ Σελήνη ἀφέτης εὑρεθῇ, παραφυλάττεσθαι χρὴ τὰς κωλύσεις καὶ τὰς ἑξαγώνους πλευρὰς καὶ τετραγώνους καὶ διαμέτρους τὰς πρὸς τὸν ὡροσκόπον κατὰ ἀναφοράν. αὗται γὰρ ἐνεργητικαὶ κριθήσονται, καὶ μάλιστα ἐν τοῖς ἰσανατόλοις ἢ ἰσαναφόροις ἢ ἰσοδυναμοῦσιν ἢ τοῖς ἀκούουσιν ἢ βλέπουσι ζῳδίοις ἢ ταῖς ἀντισκίοις μοίραις. ὁμοίως δὲ κἂν ὁ ὡροσκόπος ἀφέτης εὑρεθῇ, τὰς πρὸς τὴν Σελήνην διαστάσεις ὡσαύτως σκοπεῖν κατὰ ἀναφοράν. ἔδοξε δέ μοι ἐκ πείρας θανατικὰς μοίρας κρίνειν καὶ δυναστικὰς τὰς μεσουρανούσας τοῦ τε ὡροσκόπου καὶ τῆς Σελήνης πρὸς ἀλλήλους καὶ τὰς τούτων διαμέτρους· αὗται γὰρ κεντρωθεῖσαι οὐ τὴν τυχοῦσαν κέκτηνται δύναμιν.

143 〈ηʹ.〉 Περὶ ἐχθρῶν ἀστέρων καὶ κλιμακτηρικῶν τόπων περὶ τὸ αʹ ὄργανον Κριτοδήμο υ . Σκοπεῖν δὲ δεῖ καὶ τοὺς ἐχθροὺς τόπους καὶ τοὺς ἀστέρας οὐ τῶν ἄλλων μόνον, ἀλλὰ καὶ τοῦ ὡροσκόπου καὶ Ἡλίου καὶ Σελήνης· οὗτοι γὰρ ἐὰν ἐναντίοι γένωνται, τοὺς κλιμακτῆρας καὶ τοὺς θανάτους σημαίνουσιν. οἷον ἐπὶ τοῦ Κρόνου τῶν μοιρῶν τὰς διαμετρούσας θεωρεῖν, τίνος εἰσὶ θεοῦ, καθὼς ἐν τῷ ὀργάνῳ πρόκειται· κἀκεῖ Κρόνου ὄντος ἀποθανεῖται ἢ ἐν τοῖς τετραγώνοις τοῦ ὡροσκόπου ἢ ἰσαναφόροις, καθὼς ἂν ὁ χρόνος συντρέχῃ· τὸ δ’ αὐτὸ καὶ ἐπὶ τῶν ἄλλων ἀστέρων. ἐχθροὶ γάρ εἰσιν οἱ τῶν ἀντικειμένων μοιρῶν ὁρικοὶ κύριοι. οὗτοι οὖν παραγενόμενοι ἐπὶ τοὺς τόπους τὰς ἀναιρέσεις σημαίνουσιν ἢ εἰς τὰς ἀναφορὰς τοῦ ὡροσκόπου. οἷον ἔστω Κρόνος Καρκίνου μοίρᾳ καʹ ὁρίοις Ἀφροδίτης, διάμετρος Αἰγόκερως ὅρια Ἄρεως· Ἥλιος Ταύρου μοίρᾳ κζʹ. ἐνθάδε Κρόνου ὄντος ἀποθανεῖται Παρθένῳ· τὸ γὰρ μοιρικὸν τετράγωνον τοῦτο. Ζεὺς Σκορπίου μοίρᾳ ιδʹ ὁρίοις Κρόνου· αἱ ιδʹ Ταύρου εἰσὶν ὅρια Κρόνου· οὗτος ἑαυτῷ ἐχθρὸς οὐ γίνεται. ἔστιν οὖν τὸ ἰσανάφορον Σκορπίου Λέων· εἰσὶν οὖν αἱ ιδʹ μοῖραι Λέοντος ὅρια Ἡλίου· ἐλθὼν οὖν ὁ Ζεὺς ἐπὶ τοὺς τοῦ Ἡλίου τόπους ἀναιρεῖ. Ἄρης Ταύρου μοίρᾳ κζʹ ὁρίοις Ἡλίου· αἱ δὲ αὐταὶ Σκορπίου εἰσὶν ὅρια Ἡλίου. ἐχθρὸς δὲ αὐτὸς ἑαυτοῦ οὐ γίνεται· ζητεῖν οὖν τὰς ἐν Λέοντι μοίρας κζʹ ἢ ἐν τῷ ἰσαναφόρῳ· εἰσὶ δὲ Ὑδροχόῳ κατὰ τὰς ὡριαίας διαστολάς. εἰσὶ δὲ αἱ κζʹ Ὑδροχόου ὅρια Ἀφροδίτης· ἀποθανεῖται οὖν ὄντος ἐν Σκορπίῳ ἢ Ἰχθύσι τοῖς ἰσαναφόροις ἢ τοῖς τούτων τετραγώνοις. ἐὰν οὖν λογίσηταί τις τὰς κζʹ τοῦ Λέοντος, εὑρήσει Κρόνου ὅρια· Κρόνος δὲ ἦν ἐν Καρκίνῳ· ἀποθανεῖται οὖν Ἄρεως ὄντος Καρκίνῳ ἢ Τοξότῃ ἢ τοῖς τούτων τετραγώνοις. Ἀφροδίτη Σκορπίῳ μοίρᾳ κζʹ ὁρίοις Ἡλίου· αἱ διαμετροῦσαι Ταύρου μοῖραι λζʹ εἰσὶν ὅρια Ἡλίου. αὐτὸς ἑαυτῷ ἐχθρὸς οὐ γίνεται· ζητῶ οὖν ἐν τῷ ἰσαναφόρῳ τοῦ Σκορπίου τὰς κζʹ, αἵ εἰσιν ὅρια Ἑρμοῦ.

144 ἀποθανεῖται οὖν Ἀφροδίτης οὔσης ἐν Παρθένῳ, ὅπου Ἑρμῆς ἦν, ἢ ἐν τοῖς τετραγώνοις· τὸ δ’ αὐτὸ καὶ ἐπὶ τοῦ Ἑρμοῦ ποιητέον. Σκοπεῖν δὲ δεῖ καὶ τὰς κατακλίσεις πρὸς τὸν ἐναντίον τόπον καὶ οἵους ἐπὶ τοὺς ἐχθροὺς τροπὰς ὄντας καὶ τοὺς μηνιαίους καὶ τοὺς ἡμερησίους καὶ ὡριαίους κλιμακτῆρας ποιοῦντας πρὸς τὴν τῆς Σελήνης τριακοντάδα, ἐξ ἧς ὁ ἐναντίος ἀστὴρ εὑρίσκεται. ἔκ τε οὖν Ἡλίου καὶ Σελήνης καὶ ὡροσκόπου ὁ ἀφέτης κριθήσεται ἢ ὁ μετὰ τὸν ὡροσκόπον εὑρισκόμενος ἀστὴρ καὶ ἑξῆς τοῖς ἄλλοις ὡς ἔτυχον καὶ ἐπὶ τῆς γενέσεως ζῳδιακῶς καὶ μοιρικῶς διακρίνων ἀνὰ ἔτη ιʹ καὶ μῆνας θʹ. 〈θʹ.〉 Περὶ ἀνέμων καὶ τροπῶ ν . Ἐμοὶ δ’ οὐκ ἔδοξεν ὥς τινες κατὰ τὴν ἑπτάζωνον τὰ ὅρια ὑπέθεντο, οἷον ηʹ ζʹ ςʹ εʹ δʹ (καὶ οὐδ’ οὕτως συμφωνεῖ), ἀλλὰ ἀπὸ τῶν οἴκων καὶ τῶν ὑψωμάτων καὶ τῶν τριγώνων. οἷον Ἡλίου οἶκος Λέων, ὕψωμα Κριός, τρίγωνον Τοξότης· γίνονται γʹ· καθ’ ἕκαστον οὖν ζῴδιον γʹ ὅρια ἔχει ὁ Ἥλιος. Σελήνης οἶκος Καρκίνος, ὕψωμα Ταῦρος, τρίγωνον Παρθένος Αἰγόκερως· γίνονται δʹ·

ὁμοίως οὖν ἔχει καθ' ἕκαστον ζῴδιον ὅρια ἡ Σελήνη δ'. Κρόνου οἶκος Αἰγόκερως Ὑδροχόος, ὕψωμα Ζυγός, τρίγωνον Δίδυμοι· γίνονται δ'· ὁμοίως καθ' ἕκαστον ζῴδιον δ' ὅρια Κρόνου. Διὸς οἶκοι Τοξότης Ἰχθύες, ὕψωμα Καρκίνος· τρίγωνον Κριὸς Λέων· ἔχει οὖν καθ' ἕκαστον ζῴδιον ὅρια ε'. Ἄρεως οἶκος Κριὸς Σκορπίος, ὕψωμα Αἰγόκερως, τρίγωνον Ἰχθύες Καρκίνος· ἔχει οὖν καθ' ἕκαστον ζῴδιον ὅρια ε'. Ἀφροδίτης οἶκος Ταῦρος Ζυγός, ὕψωμα Ἰχθύες, τρίγωνον Παρθένος Αἰγόκερως· καθ' ἕκαστον οὖν ζῴδιον ἔχει ὅρια ε'. Ἑρμοῦ οἶκος Δίδυμοι, ὕψωμα Παρθένος, τρίγωνον Ὑδροχόος Ζυγός· γίνεται δ'· ὁμοίως ἔσται ὅρια κατὰ ζῴδιον δ'. ἐν οὖν Κριῷ Λέοντι Τοξότῃ ἡμέρας πρῶτος λήψεται Ἥλιος γ', εἶτα δεύτερος Ζεὺς ε', εἶτα Ἀφροδίτη ε' καὶ Σελήνη δ', ὁμοίως Κρόνος δ' Ἑρμῆς δ' καὶ ἑξῆς Ἄρης ε'· γίνονται ὁμοῦ λ'. νυκτὸς δὲ ἀνάπαλιν Ζεὺς ε', Ἥλιος γ', Σελήνη δ', Ἀφροδίτη ε', Ἑρμῆς δ', Κρόνος δ', Ἄρης ε'· γίνονται ὁμοῦ λ'. ὁμοίως ἐν Ταύρῳ Παρθένῳ Αἰγόκερῳ ἡμέρας.

145 Ἀφροδίτη Σελήνη Κρόνος Ἑρμῆς Ἄρης Ἥλιος Ζεύς, νυκτὸς δὲ Σελήνη Ἀφροδίτη Ἑρμῆς Κρόνος Ἄρης Ζεὺς Ἥλιος. ἑξῆς Διδύμοις Ζυγῷ Ὑδροχόῳ ἡμέρας Κρόνος Ἑρμῆς Ἄρης Ἥλιος Ζεὺς Ἀφροδίτη 〈Σελήνη〉, νυκτὸς δὲ Ἑρμῆς Κρόνος Ἄρης Ζεὺς Ἥλιος Σελήνη Ἀφροδίτη. ὁμοίως Καρκίνῳ Σκορπίῳ Ἰχθύσιν ἡμέρας Ἄρης Ἥλιος Ζεὺς Ἀφροδίτη Σελήνη Κρόνος Ἑρμῆς, νυκτὸς δὲ Ἄρης Ζεὺς Ἥλιος Σελήνη Ἀφροδίτη Ἑρμῆς Κρόνος. Ἵνα οὖν ἴδῃς, ὅτι ἀληθῶς ἐστι ταῦτα τὰ ὅρια, καὶ ἀπὸ τῆς τῶν ἀστέρων φύσεως γνώσῃ. ἐὰν ὁ Ἥλιος τὰ αὐτοῦ ὅρια παροδεύων τύχῃ τῆς Σελήνης ἐπιμαρτυρούσης αὐτῷ ἢ τοῦ δεσπότου τῶν ὁρίων ἐκείνου, τὸ φυσικὸν τοῦ ἀστέρος πνεύσει· οἷον ἐὰν ὁ Ἥλιος τὰ ἴδια ὅρια διοδεύῃ τῆς Σελήνης μαρτυρούσης, ἀπηλιώτης πνεύσει· ἐὰν δὲ Ἀφροδίτη, νότος καὶ ἀδροσία ἔσται· ἐὰν δὲ Κρόνος, λὶψ ὑγρότητος αἰτία· ἐὰν δὲ Ζεύς, βορέας 〈καὶ〉 δρόσος γίνεται· ἐὰν δὲ Σελήνη, βορραπηλιώτης· ἐὰν δὲ Ἀφροδίτη, νοταπηλιώτης, ἀστασία ἀνέμων γίνεται καὶ γνόφος· ἐὰν δὲ Ἑρμῆς, λὶψ καὶ βορέας καὶ στάσις καὶ ἐπομβρία, βροντῶν καὶ ἀστραπῶν αἴτιος γίνεται. ἐὰν δέ τινες τῶν ἀστέρων μαρτυρῶσιν Ἡλίῳ καὶ Σελήνῃ, πρὸς τὴν ἑκάστου φύσιν πάντοτε δεῖ παρατηρεῖν, ἀφ' ἧς φάσεως φέρεται ἡ Σελήνη, ἤτοι ἀπὸ συνόδου ἢ πανσελήνου, καὶ εἰς τίνος ὅριον ἐστὶν ἡ φάσις, καὶ πρὸς τὸν κύριον τῶν ὁρίων καὶ τῶν συνόντων ἀστέρων ἢ μαρτυρούντων ἀποφαίνου. 〈ι'.〉 Ἐκ τῶν Βάλεντος περὶ ἀριθμίου κλήρου καὶ χρόνων ζωῆς · ὁ δὲ αὐτὸς καὶ εἰς τὸ περὶ ἐμπράκτων χρόνων με θ ' ὑποδειγμάτω ν . Ἔστι δὲ καὶ ἕτερος τρόπος ἀρίθμιος ἁρμόζων εἰς τὸν περὶ ζωῆς χρόνον καὶ εἰς τοὺς περὶ ἐμπράκτων καὶ ἀπράκτων χρόνους, ὃν καὶ ὁ βασιλεὺς Πετόσιρις ἐδήλωσε μυστικῶς. ὅθεν ἐπὰν τὴν ἐπικράτησιν ἢ τὴν οἰκοδεσποτείαν εὕρωμεν οἰκείως, πρὸς τὸ μερίσαι χρησόμεθα τῇ προκειμένῃ ἀγωγῇ· εἰ δὲ μή γε, τῇ ὑποκειμένῃ. Σκοπεῖν δεήσει, πότερον συνοδική ἐστιν ἡ γένεσις ἢ πανσεληνιακή, καὶ ἐὰν μὲν συνοδικὴ εὑρεθῇ, ἀριθμεῖν τὰς μοίρας ἀπὸ τῆς συνόδου ἐπὶ τὴν κατ' ἐκτροπὴν Σελήνην καὶ τὰ ἴσα ἀπολύειν ἀπὸ τοῦ ὡροσκόπου κατὰ τὸ ἑξῆς· καὶ ὅποι δ' ἂν καταλήξῃ ὁ ἀριθμός, ὁ τοῦ ὁρίου κύριος ἔσται οἰκοδεσπότης τῆς ζωῆς καὶ τῆς ἀφέσεως.

146 ἐὰν δὲ πανσεληνιακὴ ἡ γένεσις εὑρεθῇ, ἀριθμεῖν δεήσει ἀπὸ τῆς κατ' ἐκτροπὴν σεληνιακῆς μοίρας ἐπὶ τὴν μέλλουσαν σύνοδον καὶ τὰ ἴσα ἀπὸ τοῦ ὡροσκόπου τῆς μοίρας, οὐ κατὰ τὸ ἑξῆς ἀλλ' ἀνωφερῶς, ὡς ἐπὶ τὸ μεσουράνημα ἀπολύειν· καὶ ὅπου δ' ἂν καταλήξῃ, ὁ τοῦ ὁρίου κύριος κριθήσεται οἰκοδεσπότης. ὃν συνορᾶν δεήσει καὶ τὸ ζῴδιον, ἔνθα κατέληξεν ὁ ἀριθμός, τίνι μᾶλλον προσοικείωται, πότερον Ἡλίῳ ἐὰν ἐν ἀρσενικῷ, ἢ Σελήνῃ ἐὰν ἐν θηλυκῷ. ἐὰν γὰρ τοῦ Ἡλίου τὴν ἐπικράτησιν ἔχοντος τύχῃ καὶ τὸ ζῴδιον ἔνθα ὁ ἀριθμὸς κατέληξε προσοικειῶσθαι, ὁμοίως δὲ καὶ ὁ κύριος τοῦ ὁρίου σύμφωνος τῷ Ἡλίῳ, καὶ ἐὰν καλῶς σχηματιζόμενος τύχῃ πρὸς τὸν Ἥλιον, τὰ μέγιστα αὐτοῦ ἔτη μεριεῖ. ἐὰν δὲ τὸ μὲν ζῴδιον οἰκεῖον εὑρεθῇ, τουτέστιν ἀρσενικὸν ὡς πρὸς Ἥλιον, καὶ ὁ τοῦ ὁρίου κύριος ἐναντίος τῷ Ἡλίῳ ἢ ἐν ἀποκλίσει τοῦ ὡροσκόπου ἢ ἐκλειπτικοῖς τόποις εὑρεθῇ, ἀφαιρέτης τῶν χρόνων γενήσεται, ἢ καὶ τὰ ἐλάχιστα

ἔτη μεριεῖ. ἔστι δὲ Ἡλίου μὲν ζῴδια τὰ ἀρρενικά, Σελήνης δὲ τὰ θηλυκά. ὅθεν σκοπεῖν δεήσει τὸν κύριον τοῦ ὁρίου, πῶς πρὸς τὸν ἐπικρατήτορα σχηματίζεται καὶ πρὸς τὸν κύριον τοῦ ζῳδίου· ἐὰν γὰρ ἐν οἰκείοις καὶ σχηματιστικοῖς ζῳδίοις εὑρεθῇ, καὶ οἱ τῆς ζωῆς χρόνοι τέλειοι ἔσονται. ἐὰν δὲ πρὸς τὸν μὲν οἰκείως ἔχῃ, πρὸς δὲ τὸν ἕτερον ἀσυμπαθῶς, τὰ μέσα μεριεῖ. ἐὰν δὲ ὁ οἰκοδεσπότης τοῦ ζῳδίου, ἔνθα ὁ ἀριθμὸς κατέληξε, πρός τε τὸν ἐπικρατήτορα καὶ πρὸς τὸ σχηματιστικὸν ζῴδιον ἀσυμπαθὴς τύχῃ ἢ ἀπόστροφος ἢ κακοδαιμονῶν, ἀνοικοδεσπότητος ἡ γένεσις ἔσται· καὶ τότε πάλιν χρὴ σκοπεῖν τὴν ἐπικράτησιν Ἡλίου καὶ Σελήνης. ἐὰν δέ πως ὁ κύριος τοῦ ὁρίου καὶ τοῦ ζῳδίου καλῶς καὶ συμφώνως Ἡλίῳ ἢ Σελήνῃ συσχηματίζωνται, ἡ ἄφεσις κριθήσεται ἀπὸ τῆς τοῦ ὁρίου μοίρας. Καθολικῶς μὲν οὖν καὶ ἐπὶ ταύτης τῆς ἀγωγῆς δεήσει σκοπεῖν οἰκοδεσπότην πρὸς τὰς ἀπορρεύσεις τῶν κέντρων, καθὼς ἐπὶ τῆς ὡριμαίας ὑπεδείχθη, καὶ ἐὰν ἀνατολικὸς ἢ δυτικὸς ἢ ἔκκεντρος ἢ ἐπίκεντρος ἢ καὶ ἐνηλλαχὼς πρὸς τὸν τοῦ ζῳδίου κύριον καὶ ἀσύμφωνος αὐτῷ, καὶ οὕτως ἐπικρίνειν. ὁμοίως δὲ καὶ τὰς τῶν ἀναιρετικῶν ἀκτῖνας προβλέπειν, καὶ εἰ ἐν ἀρχῇ τῶν ὁρίων ἡ ἄφεσις ἐξέπεσεν ἢ ἐπὶ τέλει· ἐντεῦθεν γὰρ χρὴ συλλογίζεσθαι τὰς τῶν ὀλιγοχρονίων καὶ πολυχρονίων γενέσεις καὶ τὰς τῶν διδύμων.

147 πολλάκις γὰρ περὶ μὲν τὸ πρῶτον τεχθὲν ὅριον κακοποιεῖ τῆς ἀφέσεως κυριεῦσαν, ἢ καὶ τοῦ οἰκοδεσπότου παραπεσόντος ὀλιγοχρονιότης ἐγένετο, περὶ δ' ἕτερον ἐναλλαγέντος τοῦ ὁρίου [καὶ τοῦ ζῳδίου καλῶς καὶ συμφώνως Ἡλίῳ ἢ τῇ Σελήνῃ ἡ ἄφεσις κριθήσεται ἀπὸ τῆς τοῦ Ἡλίου μοίρας. καθολικῶς μὲν οὖν καὶ ἐπὶ ταύτης τῆς ἀγωγῆς σκοπεῖν δεήσει τὸν οἰκοδεσπότην πρὸς τὰς ἀπορρεύσεις τῶν κέντρων, καθὼς ἐπὶ τοῦ οἰκοδεσπότου] πολυχρονιότης καὶ βίου ὑπόστασις παρηκολούθησεν· ὅθεν ὑπὸ μιᾶς καὶ δευτέρας μοίρας πολλάκις ἡ παραλλαγὴ μεγίστην δύναμιν ἐνδείκνυται. —Ἔστω δὲ ἐπὶ ὑποδείγματος Ἥλιος Ταύρου μοίρᾳ κε′ ιη′, Σελήνη Ὑδροχόου ζ′ ι′, Κρόνος Κριοῦ μοίρᾳ κδ′, Ζεὺς Ταύρου μοίρᾳ δ′ κε′, Ἄρης Καρκίνου μοίρᾳ κβ′ νγ′, Ἀφροδίτη Διδύμων μοίρᾳ κη′ ις′, Ἑρμῆς Διδύμων μοίρᾳ ς′, ὡροσκόπος Αἰγόκερω μοίρᾳ κζ′. πανσελήνου οὔσης τῆς γενέσεως ἔλαβον ἀπὸ τῆς σεληνιακῆς μοίρας ἐπὶ τὴν μέλλουσαν σύνοδον, ἥτις ἐτύγχανε Διδύμοις μοίρᾳ β′ κε′· γίνονται ριε′. ταύτας ἀναποδίζω ἀπὸ τῆς ὡροσκοπούσης μοίρας· καταλήγει εἰς τὴν τοῦ Ζυγοῦ μοῖραν β′, ἔνθεν ἡ ἄφεσις ἕως τῆς τῶν κακοποιῶν ἀκτινοβολίας. Κρόνος μὲν γὰρ ἐκ διαμέτρου, Ἄρης δὲ ἐκ τετραγώνου περὶ τὰς αὐτὰς μοίρας βάλλοντες τὴν ἀναίρεσιν ἐποίησαν, Ζεὺς δὲ ἦν ἀπόστροφος, ἡ δὲ Ἀφροδίτη ἦν παραπεπτωκυῖα, ἣ οὐκ ἴσχυσε βοηθῆσαι. ἔζησεν ἡ γένεσις ἔτη κη′ μῆνας θ′. —Ἄλλη. Ἥλιος Τοξότῃ ιβ′ ις′, Σελήνη Τοξότῃ ιζ′ κδ′, Κρόνος Ζυγῷ ια′ λγ′, Ζεὺς Διδύμοις ιθ′ ια′, Ἄρης Σκορπίῳ δ′ κ′, Ἀφροδίτη Ζυγῷ κς′, Ἑρμῆς Σκορπίῳ κζ′, ὡροσκόπος Ζυγῷ κ′. ἔλαβον οὖν ἀπὸ τῆς συνοδικῆς μοίρας ἕως τῆς σεληνιακῆς· γίνονται ε′· ταύτας ἀπὸ τοῦ ὡροσκόπου, καταλήγει Ζυγῷ κε′· ἐντεῦθεν ἡ ἄφεσις ἕως τῆς ἐν Σκορπίῳ Ἄρεως μοίρας ε′. ἐτελεύτα τῷ ιβ′ ἔτει. αὕτη δὲ ἡ συνάντησις εἰ μὴ ἐτετεύχει, ἔζη καὶ τὰ τῆς Ἀφροδίτης ἔτη πδ′. 〈ια′.〉 Περὶ κλιμακτῆρος ἑβδομαδικῆς καὶ ἐννεαδικῆς ἀγωγῆ ς . Ὑποδείξομεν δέ, καθὼς καὶ ὁ βασιλεὺς ἐσήμανε, περὶ κλιμακτῆρος ἀπὸ τῆς τοῦ Σὴθ ἀνατολῆς ἕως τῆς γενεθλιακῆς ἡμέρας λαμβάνειν, ἀπὸ δὲ τοῦ συναχθέντος ἀριθμοῦ τῶν ἡμερῶν ἐκκρούειν ὁσάκις δυνατὸν ἀνὰ νβ′ ζ′, τὰς δὲ καταλειφθείσας πολλαπλασιάζειν, ὁσάκις ἂν ᾖς ἐκκεκρουκώς, καὶ σκοπεῖν, ἐὰν ὁ συναχθεὶς ἀριθμὸς ἐκ τοῦ πολυπλασιασμοῦ ἔχει κατ' ἔλλειψιν τὸν ἴδιον τοῦ κλιμακτῆρος ἀριθμόν.

148 Οἷον ὑποθέσεως χάριν ἔστω τὰ συναχθέντα ἡμέραι σκ′· ἐκκρούω τετράκις ἀνὰ νβ′ ζ′, γίνονται ἡμέραι ση′ καὶ δ′ ἕβδομα καὶ καταλείπονται ια′ καὶ ἕβδομα γ′. τοῦτόν φαμεν ἑβδομαδικὸν κλιμακτῆρα. Λέγει δ' ὁμοίως σκοπεῖν, μὴ ὁ κατ' ἔλλειψιν τοῦ ἀριθμοῦ τῶν ἐτῶν κλιμακτὴρ συνεμπέσῃ. οἷον 〈ἐπὶ〉 ὑποδείγματος ἡ ὑπόστασις ἐὰν ᾖ ἐτῶν μζ′, κλιμακτὴρ δὲ συνεμπέσῃ ἐτῶν με′, συναιρεθήσεται ὁ γινόμενος, ἐπεὶ ὁ κατ' ἔλλειψιν τῶν τῆς ὑποστάσεως κλιμακτὴρ

ἐμπέπτωκεν. εἴρηκε δὲ ὅτι, ἐὰν ὁ ἑβδομαδικὸς ἐμπέσῃ εἰς τὸν ἐννεαδικόν, ἀσύμφωνα τὰ πράγματα ἔσται. οἷον ὁ ἑβδομαδικὸς ἤνεγκε μοίρας ε′· ταῦτα ἀναλύεται εἰς τὸν θ′· παράκειται γὰρ ἐννάκις ε′· γίνονται με′. συνεμπέπτωκεν οὖν ὁ ἑβδομαδικὸς εἰς τὸν ἐννεαδικόν. ἐὰν μὲν οὖν ὁ κατ’ ἔλλειψιν τοῦ ἐκ τῶν ἐτῶν κλιμακτὴρ ἐμπέσῃ καὶ γένηται τὸ προειρημένον, οὐκ ἰσχύει χρεοκοπῆσαι τὴν ὑπόστασιν, ἀλλὰ ζήσεται τὰ μεριζόμενα. ἐὰν δὲ συμφωνήσῃ, τὸν προειρημένον προλήψεται ὁ κλιμακτηρικὸς λόγος. Ἡμεῖς δὲ συντομώτερον ἔφαμεν ἐπὶ τὸν ε′ δ′ πολυπλασιάζειν καὶ κεχρῆσθαι τῷ αὐτῷ τρόπῳ, ὡς ἐπὶ τῶν νβ′, καὶ εὑρόντα πρῶτον ἐννεαδικὸν ζητεῖν, μὴ συνεμπίπτῃ αὐτῷ ἑβδομαδικός. οὐκ ἀρέσκει δέ τισι τὸ [αὐτὸ] ἀπὸ τῆς τοῦ Σὴθ ἀνατολῆς πεποιῆσθαι τὴν ἀρχήν. δυνατὸν οὖν ἰδίως τοῦτο ὑποδείγματος χάριν πεποιηκέναι, ἐπεὶ καὶ κατὰ κλίμα εὑρήσομεν ἄλλως καὶ ἄλλως τὴν ἀρχὴν τοῦ ἔτους ποιουμένους. φυσικώτερος οὖν ἔστω λόγος τὸ ἀπολύειν ἀπὸ τῆς πρὸ τοῦ κυνὸς συνόδου ἕως τῆς γενεθλιακῆς ἡμέρας· ταύτην γὰρ ἀρχὴν τοῦ ἔτους οἱ πλείους ἀπεφήναντο· συντομώτερος δὲ οὖν περὶ ἑβδομαδικῆς ἡμέρας οὗτος ὁ τρόπος ἔστω. τοῖς μὲν νυκτερινοῖς τὰς ἑβδομαδικὰς ζητεῖν, τοῖς δ’ ἡμερινοῖς τὰς ἐννεαδικὰς δοκεῖ τισι· κατ’ ἀμφότερα δὲ ὅμοιοι, καὶ οἱ μὲν ἑβδομαδικοὶ ἔσονται πρὸς Ἄρην, οἱ δὲ ἐννεαδικοὶ πρὸς Κρόνον. κατ’ ἀμφότερα δὲ καὶ οὗτοι τὴν ἐναλλαγὴν ἐφέξουσι τῶν κλιμακτήρων.

149 κατὰ μὲν γὰρ Ἥλιον καὶ Σελήνην Κρόνος ἑβδομαδικὸς ἔσται, Ἄρης ἐννεαδικὸς διὰ τὸ τῷ Καρκίνῳ καὶ τῷ Λέοντι ἀπὸ τοῦ ἑβδόμου τόπου ἐναντιοῦσθαι τὸν Αἰγόκερω καὶ τὸν Ὑδροχόον, ἅπερ Κρόνου οἰκητήρια, τὸν δὲ Κριὸν ἔνατον ἀπὸ Λέοντος καὶ τὸν Καρκίνον ἀπὸ Σκορπίου. φυσικώτερον οὖν λαμβάνεται ἀπὸ τοῦ ὑψώματος τῆς Σελήνης τοῦ Ταύρου ἑβδομαδικὸς μὲν Ἄρης διὰ τὸν Σκορπίον, ἐννεαδικὸς δὲ Κρόνος διὰ τὸν Αἰγόκερω. Ἔστω δὲ ἐπὶ ὑποδείγματος ἔτος γ′ Ἀδριανοῦ Ἀθὺρ κζ′ κατὰ Ἀλεξανδρεῖς, ζητεῖν δὲ μετὰ ταῦτα Ἀντωνίνου ιζ′ Φαμενὼθ ια′. ἔλαβον τὰ πλήρη ἔτη λε′ καὶ γενέθλιον λοιπὸν γ′ καὶ ἀπὸ Χοιὰκ ἕως Μεχὶρ ἑκάστου μηνὸς ἀνὰ δύο· ἐπὶ ἑβδομάδων δ′ ὑφαιρουμένων καταλείπονται θ′· καὶ τὰς τοῦ Φαμενὼθ ια′· γίνονται αἱ πᾶσαι κ′. καὶ ἐμβόλιμοι η′· γίνονται αἱ πᾶσαι κη′. ἔστω οὖν ἡ ια′ τοῦ Φαμενὼθ κλιμακτηρικὴ ἑβδομαδικὴ ἡμέρα· ἐκπίπτει οὖν κατὰ τὴν τῶν ἡμερῶν ἀγωγὴν εἰς Σκορπίον. σκόπει οὖν τίνες ἐπιθεωροῦσι τὸ ζῴδιον καὶ τὴν Σελήνην. Ἡ δὲ ἐννεαδικὴ οὕτως εὑρίσκεται. τὰ πρῶτα ἔτη πολυπλασιάζω ἐπὶ τὸν ε′ δ′, ἐπεὶ ἕκαστος ἐνιαυτὸς ἔχει ἐννεάδας μ′ καὶ περιλείπονται ε′ δ′, τῶν δὲ πλήρων μηνῶν ἑκάστου ἡμέρας γ′, ἐπεὶ ἐννεάδας ἔχει ἕκαστος μὴν γ′ καὶ λοιπαὶ γ′, καὶ τὰς λοιπὰς ἡμέρας ἕως τῆς ζητουμένης συναθροίσας ἀφαιρῶν ἄχρι οὗ δυνατὸν ἀνὰ ἐννέα τὰς λοιπὰς θεωρῶ, εἰ συμπληροῦσι τὰς ἐννέα· καὶ οὕτως ἔσται κλιμακτηρικὴ ἡμέρα, καθὼς καὶ ἐπὶ τῶν ἑβδομαδικῶν. τῷ δὲ αὐτῷ λόγῳ καὶ ἐπὶ μηνὸς καὶ ἐπὶ ἐνιαυτοῦ 〈χρῆσθαι〉 δεήσει. κλιμακτηρικὰ δὲ ζῴδια ἑβδομαδικὰ Κριὸς Ζυγὸς Καρκίνος Αἰγόκερως, ἐννεαδικὰ δὲ Ταῦρος Λέων Σκορπίος Ὑδροχόος, ἐπίκοινα δὲ Δίδυμοι Παρθένος Ἰχθύες. 〈ιβ′.

150 〉 Συνοδικὴ καὶ πανσεληνιακὴ ἀγωγὴ καὶ σπορίμη πρὸς τὸν ἀναβιβάζοντα περὶ χρόνων ζωῆς με θ ’ ὑποδειγμάτω ν . Ἐπεὶ δὲ καθ’ ἕκαστον κεφάλαιον τὴν ἐμὴν ἀφθονίαν ἐλέγχων ὑπομιμνήσκω, ἵνα μὴ δόξω διὰ τῦφον ταῦτα ποιεῖν, ἀναδραμὼν εἰς τὰς τῶν παλαιῶν συνταγματογράφων βίβλους κατάμαθε τὸν λόγον μὲν εἶναι κεκαλλωπισμένον καὶ κακόζηλον, ἐκπλῆξαι δυνάμενον τὰς τῶν ἐντυγχανόντων καὶ ἀμαθῶν ψυχάς, ἀληθείας δ’ ἀνέφικτον καὶ τοῖς σωφρονοῦσι πολέμιον. πολλοὺς γὰρ τῶν ἀνθρώπων ἐγχρονίσας καὶ βουκολήσας οὓς μὲν τοῦ ζῆν περιέγραψε, οὓς δὲ τελέως ἐκόλασεν. ἐντυχέτω δέ τις τῇ λεγομένῃ ὁράσει Κριτοδήμου, πῶς μὲν τὴν ἀρχὴν εὐφαντασίωτον ἔχει καὶ τὰ λοιπὰ τετερατολογημένα πρὸς τοὺς ἀμαθεῖς· πελαγοδρομήσας, φησί, καὶ πολλὴν ἔρημον ὁδεύσας ἠξιώθην ὑπὸ θεῶν λιμένος ἀκινδύνου τυχεῖν καὶ μονῆς ἀσφαλεστάτη ς. εἶτα αἱρέσεις ἐκτίθεται καὶ παραδόσεις διὰ φρικωδεστάτων ὅρκων καὶ 〈κατ’〉 ἄλλους τινὰς τρόπους ἀπαθανατίζων τοὺς ἐντυγχάνοντας καὶ ὄνησίν τινα

ἐνδειξάμενος διὰ τῆσδε τῆς βίβλου τὰ ὅλα συνέχεσθαι δι’ ἑτέρων τὰς δυνάμεις ἐσήμαινεν, περικλείσας εἰς ἄπειρον ὕλην τὴν τῶν μαθημάτων ἀλήθειαν. ἄξιον μὲν οὖν ἐπαινεῖν καὶ θαυμάζειν τὸν ἄνδρα, διὰ πάσης ἐμπειρίας διεληλυθότα καθηγεμόνα τε τῶν ἐπιζητουμένων γενόμενον. μυστικῶς 〈γὰρ〉 καὶ ποικίλως μερίσας αὐτὰ εἰς κανονικὰς ὀργανοθεσίας καὶ πεζικὰς λόγων συντάξεις πολλοὺς ἐραστὰς ἐπηγάγετο, ὧν οἱ μὲν τὰς ματαιολογίας παραπεμψάμενοι καὶ διεξιχνεύσαντες τὰ δοκοῦντα κεφάλαια μετὰ παντὸς πόνου καὶ ἔπαινον καὶ ἀρετὴν κατὰ τοῦ ἀνδρὸς ἐπεισηνέγκαντο, οἱ δὲ ἀφερέπονον ἦθος ἀναλαβόντες ψόγον τῇ θεωρίᾳ περιεποιήσαντο. ὁ δὲ ἐμὸς λόγος πειθήνιος μὲν καὶ διδασκαλικὸς καθὼς οἶμαι τοῖς ἐντυγχάνουσιν ἔσται καὶ ἀμετανόητος, ὡς καὶ τοὺς ἤδη ἀπεχθήραντας πάλιν ἀγκαλίσασθαι διὰ τὴν τῶν λεχθέντων καὶ ῥηθησομένων ἐνέργειαν. Τῆς οὖν οἰκοδεσποτικῆς καὶ ἀναιρετικῆς ἀκτινοβολίας οὕτως καθὼς πρόκειται διατεταγμένης τοῦ τε ἀριθμίου κλήρου καὶ τῶν ἀναιρετικῶν καὶ δυναστικῶν τόπων δοκιμάσας οὐκ ἐβουλήθην ἀποκρύψαι ἀλλὰ μεταδοῦναι.

151 πρὸ πάντων οὖν σκοπεῖν δεήσει ἐπὶ πάσης γενέσεως, πότερον ἐπικράτησιν ἢ καὶ οἰκοδεσποτείαν ἔχει. ἐὰν μὲν οὕτως εὑρεθῇ, χρὴ τοῖς προκειμένοις ὁρίοις χρῆσθαι· ἐὰν δὲ ἀνοικοδεσπότητος ἢ ἀνεπικράτητος ἡ γένεσις εὑρεθῇ ὑπὸ μηδεμιᾶς κακωτικῆς ἀκτῖνος ἀναιρουμένη, τὴν προγεγονυῖαν σύνοδον ἢ πανσέληνον μοιρικῶς ἐπιγνόντας ἐπί τε τῶν νυκτὸς καὶ ἡμέρας γεννωμένων λαμβάνειν ἀπὸ τῆς συνοδικῆς ἢ πανσεληνιακῆς μοίρας ἕως ὡροσκόπου ἢ ἑτέρου κέντρου, δυναστικώτερον δὲ ἀναβιβάζοντος ἢ καταβιβάζοντος ἀνωφερῶς, καθὼς καὶ αὐτὸς κοσμικῶς κινεῖται. εἶτα ἐπιγνόντας τὸ πλῆθος τοῦ ἀριθμοῦ τὰς αὐτὰς μοίρας ἀπὸ τῆς τοῦ ὡροσκόπου μοίρας ἀπολύειν ἀνωφερῶς ὡς ἐπὶ τὸ μεσουράνημα, καὶ ὅπου δἂν ἡ κατάληξις γένηται, λογίζεσθαι πόσα ἔτη συνάγεται ἀπὸ τῆς ἀφέσεως πρὸς ἀναφοράν, καθ’ ὃ κλίμα τις γεγένηται, καὶ ταῦτα ἀποφαίνεσθαι. ἐὰν δὲ ἡμερινῆς τῆς γενέσεως οὔσης ὑπερπλεονάσῃ ὁ ἀριθμός, ἀπὸ συνόδου ἢ πανσελήνου ἕως ἀναβιβάζοντος ἢ καταβιβάζοντος ἀφελόντας κεντρικὸν διάστημα, τουτέστι ἀπὸ ὡροσκόπου ἕως τοῦ μεσουρανήματος, τὰς λοιπὰς πάλιν ἀπὸ τοῦ ὡροσκόπου ὡς ἐπὶ τὸ μεσουράνημα ἀνωφερῶς πραγματεύεσθαι τῷ αὐτῷ τρόπῳ. ἐπὶ δὲ νυκτερινῆς γενέσεως τὸ μὲν ἀπὸ συνόδου καὶ πανσελήνου διάστημα ἕως ἀναβιβάζοντος ἢ καταβιβάζοντος ἢ καὶ κέντρου ἀνωφερῶς χρὴ λαβόντας τὰς αὐτὰς ἀπὸ τοῦ ὡροσκόπου μοίρας ἀπολύειν κατὰ τὸ ἑξῆς, καὶ οὗ ἂν καταλήξῃ ὁ ἀριθμός, κατὰ τὰς ἀναφορὰς τὰ ἔτη λογισαμένους ἀποφαίνεσθαι. ἐὰν δὲ ὑπερπλεονάσῃ ὁ ἀριθμός, ἀφελόντας κέντρου διάστασιν τὴν ἀπὸ ὡροσκόπου ἕως ὑπογείου τὰς λοιπὰς ἀπὸ τῆς δυτικῆς μοίρας ἀπολύειν 〈κατὰ〉 τὸ ἑξῆς ὡς ἐπὶ τὸ μεσουράνημα· καὶ ὁ συναχθεὶς πρὸς ἀναφορὰν χρόνος ἔσται βιώσιμος. κατὰ τὸ πλεῖστον δὲ οὗ ἂν προσνεύσῃ ὁ ἀναβιβάζων ἢ ὁ καταβιβάζων ἢ ἡ σύνοδος ἢ ἡ πανσέληνος, τουτέστι πότερον ἐν τῷ ὑπὲρ γῆν ἢ ἐν τῷ ὑπὸ γῆν ἡμισφαιρίῳ, ἐν ἐκείνῳ καὶ τὴν ἄφεσιν δεῖ ποιεῖσθαι ἀπὸ ὡροσκόπου καὶ δύνοντος· ἐὰν μὲν συνοδική, ἀπὸ ὡροσκόπου· ἐὰν δὲ πανσεληνιακή, ἀπὸ τῆς δύσεως. ἐὰν δὲ ἐπὶ τῶν συνοδικῶν ἢ πανσεληνιακῶν ζῳδίων ἢ εἰς τὰ τούτων διάμετρα ἢ τετράγωνα ὁ ὡροσκόπος ἢ ἀναβιβάζων ἢ καταβιβάζων εὑρεθῇ, τὸν συναγόμενον τοῦ διαστήματος ἀριθμὸν ἡμέρας μὲν ἀπὸ ὡροσκόπου, νυκτὸς δὲ ἀπὸ τοῦ δύνοντος κατὰ τὸ ἑξῆς ἀπολύειν.

152 ἔχει δὲ καὶ τὰ τετράγωνα τοῦ ἀναβιβάζοντος δύναμιν ἀναιρετικήν, ἀλλὰ δὴ καὶ ἀπὸ Ἡλίου καὶ Σελήνης ἄφεσις ἡ μοιρικὴ πρὸς τὸν ἀναβιβάζοντα καὶ τὰ τούτου διάμετρα ἢ καὶ τὰ τούτου τετράγωνα. Ἔσθ’ ὅτε δὲ καὶ ἐπικρατήσεως καὶ οἰκοδεσποτείας οὔσης καὶ αὕτη ἡ αἵρεσις συντρέχει τῇ ἀφέσει ἢ τῇ οἰκοδεσποτείᾳ καὶ εὐτονεῖ πρὸς ἀναίρεσιν. ἐὰν οὖν ἡ ἐπικράτησις οἰκείως εὑρεθῇ καὶ ὁ δοκῶν οἰκοδεσπότης μερίζει χρόνους, τότε καὶ ἡ ἄφεσις τῆς πραγματείας ταύτης ἀνωφερῶς ἢ κατωφερῶς πρὸς τὸ πλεονάζον μέρος τῶν ἀναφορῶν κριθήσεται ἐπὶ τῶν πάραυτα τελευτώντων ἢ ἐπὶ τῶν ἐν τῇ μήτρᾳ. ὁ δ’ αὐτὸς τρόπος νοείσθω καὶ ἐπὶ τῆς σπορᾶς·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῷ μέντοι τῆς ἐκτροπῆς μᾶλλον ὡροσκόπῳ χρηστέον. ἀναιρεῖ δὲ καὶ κατὰ μόνας ἡ σπορά, ἐάνπερ τις τῇ συνόδῳ ἢ πανσελήνῳ χρήσηται πρὸς τὸν ἀναβιβάζοντα ἢ καταβιβάζοντα καὶ πρὸς τὰ κέντρα. ἐὰν δὲ καὶ ἀπὸ τῆς ἐκτροπῆς καὶ ἀπὸ τῆς σπορᾶς εὑρεθῇ τὰ αὐτὰ ἔτη συνεγγίζοντα, ἀναμφιλέκτως ὁ θάνατος εὑρεθήσεται. 〈ιγʹ.〉 Πῶς δεῖ εὑρεῖν ἀκριβῶς τὸν ἐν τῇ σπορᾷ Ἥλιον καὶ τὴν Σελήνην καὶ τὸν ὡροσκόπο ν . Συντομώτερον δὲ τὴν εὕρεσιν κατὰ πλάτος διασαφήσομεν. ἐπὶ πάσης γενέσεως τὸ μὲν τετράγωνον Ἡλίου ἐστὶ σπόριμον ζῴδιον (ἔσθ’ ὅτε μὲν οὖν καὶ τὸ τρίγωνον, ὅταν πολλῶν μοιρῶν ὁ Ἥλιος τύχῃ καὶ μάλιστα ἐν τοῖς ὀλιγαναφόροις ζῳδίοις· ἐν δὲ τοῖς πολυαναφόροις εἰς τὰ ἑξάγωνα)· ὅπου δ’ ἂν ὁ ὡροσκόπος τῆς ἐκτροπῆς ἐκπέσῃ, ἐκεῖ σημειοῦσθαι τὴν σπορίμην Σελήνην καὶ οὕτως ἐπιγινώσκειν, πότερον συνοδικὴ ἢ πανσεληνιακὴ ἡ σπορὰ τέτευχε. οἷον Ἥλιος Ὑδροχόῳ, Σελήνη Σκορπίῳ, ὡροσκόπος Παρθένῳ· ὁ σπόριμος Ἥλιος Ταύρῳ, Σελήνη σπορίμη Παρθένῳ· δῆλον ὅτι συνοδικὴ ἡ σπορά· οὐδέπω γὰρ ἡ Σελήνη τουτέστιν ὁ ὡροσκόπος τὸ διάμετρον τοῦ σπορίμου Ἡλίου παρήλλαξεν. ἐὰν δὲ ὁ ὡροσκόπος ὁ τῆς ἐκτροπῆς μετὰ τὸ διάμετρον τοῦ σπορίμου Ἡλίου εὑρεθῇ, πανσεληνιακὴ ἡ σπορὰ ἔσται. τὰς αὐτὰς δὲ ἀφέσεις καὶ ἐπὶ τῆς σπορᾶς δεῖ ποιεῖσθαι, καθὰ καὶ ἐπὶ τῆς ἐκτροπῆς δεδήλωται. κατὰ τὸ πλεῖστον δὲ οἱ συνοδικὴν σπορὰν ἔχοντες ἐν πανσελήνῳ οὗτοι τελευτῶσιν, οἱ δὲ πανσεληνιακὴν συνοδικῆς οὔσης τῆς Σελήνης τελευτῶσιν. Ἄλλως.

153 ἐπιγνόντας, ἐν ποίῳ ζῳδίῳ γέγονεν ἡ σύνοδος ἢ ἡ πανσέληνος, ἀριθμεῖν ἀπὸ τῆς αὐτῆς μοίρας κατὰ τὸ ἑξῆς ἕως ἀναβιβάζοντος καὶ τὸ συναχθὲν πλῆθος, ἐὰν μὲν ἡμερινὴ ἡ γένεσις ᾖ, ἀπὸ ὡροσκόπου κατωφερῶς ἀπολύειν, ἐὰν δὲ νυκτερινή, ἀνωφερῶς ἐπὶ τὸ μεσουράνημα· ἐὰν δὲ εἰς τὸ μεσουράνημα ἐμπέσῃ ὁ ἀναβιβάζων, ἀπολύειν δεῖ τὸ συναχθὲν πλῆθος ἀπὸ τοῦ μεσουρανήματος, ἐὰν μὲν ἡμερινὴ ἡ γένεσις ᾖ, ὡς ἐπὶ τὸν ὡροσκόπον κατωφερῶς ἀπολύειν, ἐὰν δὲ νυκτερινὴ ᾖ, ἀνωφερῶς ἐπὶ τὸ δύνον. ἐὰν δέ πως εἰς τὸ δῦνον ἐμπέσῃ ὁ ἀναβιβάζων, ἡμερινῆς μὲν οὔσης τῆς γενέσεως ἀπολύειν τὸν ἀριθμὸν ἀπὸ τοῦ δυτικοῦ ὡς ἐπὶ τὸ μεσουράνημα, νυκτερινῆς δὲ ὡς ἐπὶ τὸ ὑπόγειον. ἐὰν δὲ ὁ ἀναβιβάζων ἐν τῷ ὑπογείῳ τύχῃ, εὑρεθῇ δ’ ἡμερινὴ ἡ γένεσις, ὡς ἐπὶ τὸν ὡροσκόπον ἀπολύειν ἀνωφερῶς ἀπὸ τοῦ ὑπογείου τὸ πλῆθος τοῦ ἀριθμοῦ· ἐὰν δὲ νυκτερινὴ ᾖ, ὡς ἐπὶ τὸ δῦνον ἀπὸ τοῦ ὑπογείου. Ἔστω δὲ ὑποδείγματος χάριν ἀναβιβάζων Διδύμοις μοίρᾳ κγʹ, τὴν δὲ σύνοδον Ἰχθύσι περὶ μοίρας ηʹ, ὡροσκόπον δὲ Ἰχθύσι μοίρᾳ δʹ, τὸ μεσουράνημα Τοξότῃ μοίρᾳ ιγʹ. ἔλαβον ἀπὸ τῆς συνόδου ἕως τοῦ ἀναβιβάζοντος· γίνονται μοῖραι ρεʹ. ταύτας ἀπὸ ὡροσκόπου, ἐπεὶ ἡμερινὴ ἡ γένεσις· καταλήγει εἰς τὴν τῶν Διδύμων μοῖραν ιθʹ· κατὰ δὲ τὸ βʹ κλίμα συνάγουσιν ἔτη οςʹ μῆνας ** ἔγγιστα· ταῦτα ἐβίωσε. Ταύτας τὰς αἱρέσεις ἔταξα, αἷς καὶ αὐτὸς ἐχρησάμην· ἐσκόπουν γὰρ καὶ ἐπὶ γενέσεως ἐκ τῶν προκειμένων ὅρων, εἰ συντρέχουσι κατὰ τὸ αὐτὸ δύο ἢ τρεῖς ἢ πλείους, καὶ οὕτως ἀπαραβάτως περὶ τέλους ἀπεφαινόμην. ὅθεν οὐκ εἰκῇ οὐδ’ ὡς ἔτυχεν ἐδήλωσα, ὅτι πᾶσα ἀγωγὴ καὶ καθ’ ἑαυτὴν καὶ πρὸς ἑτέραν συγκρινομένη εὐάρμοστός ἐστιν· ἣν εἴ τις φυλάττοι, εὐκατάληπτον ἕξει τὴν τῶν ζητουμένων ἀλήθειαν. τινὰ μὲν οὖν καὶ μυστικῶς διεγράψαμεν εἰς διάκρισιν καὶ σύγκρισιν τῶν ἐντυγχανόντων οὐ φθόνῳ φερόμενοι οὐδὲ ἀφελότητι, ἀλλὰ προθυμίαν τινὰ καὶ ἐπιμονὴν βουλευόμενοι παρεισφέρειν τῷ μαθήματι. πᾶς γὰρ καταθυμίου προαιρέσεως ἀκολάστως τυχὼν ἀχάριστον τὴν δωρεὰν ἡγήσατο, ὁ δὲ μετὰ πόνου καὶ ζητήσεως οὐ μόνον ἡδονὴν ἀλλὰ καὶ κατόρθωσιν τῇ πραγματείᾳ ἐπεισήνεγκεν. Ἔστω ὑποδείγματος χάριν Ἥλιος Ταύρου μοίρᾳ αʹ, Σελήνη Διδύμων μοίρᾳ ιςʹ, ὡροσκόπος Ταύρου μοίρᾳ ιδʹ, ἡ σύνοδος περὶ μοίρας κζʹ τοῦ Κριοῦ, ἀναβιβάζων Αἰγόκερω μοίρᾳ κεʹ.

154 ἔλαβον ἀπὸ τῆς συνόδου ἐπὶ τὸν ἀναβιβάζοντα ἀνωφερῶς· γίνονται ϟβʹ· ταύτας ἀπὸ τῆς τοῦ ὡροσκόπου μοίρας ἀνωφερῶς ἀπέλυσα· κατέληξεν εἰς τὴν τοῦ Ὑδροχόου μοῖραν ιβʹ. συνάγουσιν οὖν αἱ ϟβʹ κατὰ τὸ Ἀλεξανδρείας κλίμα ἔτη οʹ 〈μῆνα αʹ〉 · ἐτελεύτα τῷ οʹ ἔτει καὶ

μηνὸς α′. ἀπὸ δὲ τῆς σπορᾶς οὕτως· ἐπεὶ ἡ πανσέληνος τῆς σπορᾶς γέγονεν Αἰγόκερω μοίρᾳ κα′ **** ἅτινα συνεγγίζει τοῖς εὑρεθεῖσιν ἔτεσιν. Ἄλλη. Ἥλιος Ὑδροχόου μοίρᾳ κθ′, Σελήνη ἀρχαῖς Κριοῦ, ὡροσκόπος Αἰγόκερω μοίρᾳ ιη′, σύνοδος Ὑδροχόου μοίρᾳ κς′, ἀναβιβάζων Σκορπίου μοίρᾳ ις′. ἔλαβον ἀπὸ τῆς συνόδου ἀνωφερῶς ἕως τῆς τοῦ ὡροσκόπου μοίρας· γίνονται λη′· ταύτας ἀπὸ τῆς τοῦ ὡροσκόπου μοίρας κατωφερῶς· συνάγεται ἔτη ἐν τῷ πρώτῳ κλίματι ἔγγιστα λγ′· ἔζησεν ἔτη λβ′ μῆνας πέντε. ὁ δὲ τῆς σπορᾶς τόπος οὐκ ἔσχε τὴν ἄφεσιν· κατὰ γὰρ τὰς αὐτὰς μοίρας καὶ ἡ πανσέληνος τῆς σπορᾶς καὶ ὁ ἀναβιβάζων ἔτυχεν. ὅθεν καὶ ἐπικίνδυνον τὴν ἐκτροπὴν ἔσχε καὶ τὸ τέλος βίαιον. 〈ιδ′.〉 Περὶ κλήρου τύχης εἰς τὸν περὶ ζωῆς τόπον με θ ’ ὑποδείγματος · ἐν ᾧ καὶ τὰ ἐλάχιστα ἔτη τῶν ἀστέρω ν . Εὗρον δὲ καὶ ταύτην τὴν αἵρεσιν περὶ χρόνων ζωῆς ὑπὸ μὲν τῶν ἀρχαίων ἀναπεπλεγμένην ποικίλως· αὐτὸς δὲ διὰ πείρας ἀναζητήσας διέκρινα καὶ οἴομαι μᾶλλον τοῖς πλείστοις ἀρέσκειν. ἐν γὰρ τῇ ιγ′ βίβλῳ ὁ βασιλεὺς μετὰ τὸ προοίμιον καὶ τὰς τῶν ζῳδίων διατάξεις κλῆρον τύχης ἐπιφέρει ἀπὸ Ἡλίου καὶ Σελήνης καὶ ὡροσκόπου, ὃ μεγίστην περιποιεῖ καὶ ἐν ὅλῃ τῇ βίβλῳ μνημονεύει καὶ κύριον κρίνει τόπον, περὶ οὗ καὶ αἴνιγμα τέθεικε τὸ ἔμπαλιν καὶ ἀνάπαλιν · καὶ ὁ Ἥλιος ἀπὸ ἠοῦς ἀρχόμενος παντὸς αἰῶνος κύτος παραδίδωσι ἕσπερον κύκλον διανύω ν , καθάπερ ὁρᾶτα ι . νυκτὸς δὲ ἐπερχομένης οὐ πάντοτε ἡ Σελήνη φαεσφοροῦσα τεύξετα ι , ἀλ λ ’ ὁτὲ μὲν ἑσπέρας φανεῖσα δύετα ι , ὁτὲ δὲ ἐπίμονος μέχρι τινὸς μέρου ς , ἔσ θ ’ ὅτε δὲ διὰ τέλους τῆς νυκτὸς πορεύσεται · διόπερ ἀκολούθως ὁλοτελῶς τὸν κύκλον Ἡλίῳ παρηγγεγύηκε ν.

155 περὶ μὲν οὖν τούτου τοῦ διανοήματος ἄλλοι ἄλλως φανοῦσιν· ἐμοὶ δ’ ἔδοξεν ἐπὶ μὲν ἡμερινῆς γενέσεως λαμβάνειν ἀπὸ Ἡλίου ἐπὶ Σελήνην καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου, ἐπὶ δὲ νυκτερινῆς, ἐφ’ ὅσον μὲν ἡ Σελήνη ὑπέργειός ἐστι τουτέστι μέχρις οὗ δύνει, ἀπ’ αὐτῆς ἐπὶ τὸν Ἥλιον λαμβάνειν καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου, μετὰ δὲ τὴν δύσιν ἀπὸ Ἡλίου ἐπ’ αὐτήν. τὸ γὰρ ἐπιλέγειν· διόπερ ὁλοτελῶς τὸν κύκλον Ἡλίῳ παρεγγεγύηκε τοῦτο δοκεῖ. σκοπεῖν δὲ δεήσει, εἰς ποῖον τόπον ἐξέπεσεν ὁ κλῆρος, καὶ τοῦτον ἡγεῖσθαι κύριον, ἔπειτα συνορᾶν τοῦ ζῳδίου τὸν κύριον ἐν ποίῳ ζῳδίῳ τέτευχε, τρίτον δὲ τὸν τούτου οἰκοδεσπότην· ἐκ τούτων γὰρ τῶν τριῶν τόπων καὶ τῶν τούτων οἰκοδεσποτῶν ὁ βιώσιμος χρόνος εὑρεθήσεται κατὰ τοὺς τρεῖς ὅρους. Οἷον ἕκαστος τῶν ἀστέρων ἰδίας περιόδου δεσπόζει, Κρόνος μὲν οὖν ἐτῶν λ′, Ζεὺς ιβ′, Ἄρης ιε′, Ἥλιος ιθ′, Ἀφροδίτη η′, Ἑρμῆς κ′, Σελήνη κε′· ὁμοίως δὲ καὶ ἕκαστος ἰδίων ἀναφορῶν κατὰ κλῆρον. κατὰ τὸ κλίμα οὖν συγκρίνειν δεήσει, πότερον ἐπίκεντρος ὁ κλῆρος καὶ χρηματίζων ἢ ἐπαναφερόμενος ἢ ἀποκεκλικώς, καὶ τοὺς τῶν ζῳδίων οἰκοδεσπότας, καθὼς καὶ ὁ παλαιὸς μέμνηται λέγων· πᾶς ἀστὴρ ἐπίκεντρος τοὺς ἰδίους χρόνους πλήρεις δίδωσ ι , ἔκκεντρος δὲ ὅσους ἐὰν μερίζῃ λοιπογραφουμένους ἐκ τῶν ἰδίων ἀριθμῶ ν. μερίζουσι δὲ καὶ τὰς τελείας αὐτῶν περιόδους καὶ τὰς ἀναφοράς, ὅταν καλῶς τύχωσι· συμμερίζουσι δὲ καὶ οἱ συναιρετισταὶ συμπαρόντες ἢ μαρτυροῦντες ἢ ἐν οἰκείοις ζῳδίοις τυγχάνοντες, εἰ μή τι ἀμφότεραι αἱ αἱρέσεις συμμεριοῦσι· καὶ οὕτως δὲ ὁμοίως. πρότερον δὲ δεῖ λογίζεσθαι τοὺς ἀριθμούς, ὥρας ἡμέρας μῆνας εἶτα ἐνιαυτούς, καὶ τοῖς τρισὶν ὅροις χρῆσθαι, ἐλαχίστῳ μέσῳ τελείῳ, ἐπισυντιθέντας τὸν πρῶτον τῷ δευτέρῳ ἢ τὸν τρίτον. πολλάκις γὰρ ὅδε μὲν τόπος ἐμέρισεν ἡμέρας ὁ δὲ μῆνας ὁ δὲ ἐνιαυτοὺς παρὰ τὰς διαφορὰς τῶν χρηματιστικῶν ζῳδίων καὶ τῶν οἰκοδεσποτῶν ἢ τῶν κακωτικῶν αἰτιῶν καὶ ἐναντιώσεων. προσεπιμερίζουσι δὲ μετὰ τὰ ἔτη καὶ μῆνας ἰσαρίθμους τοῖς χρόνοις.

156 τὸ δ’ αὐτὸ καὶ ὁ δαίμων καὶ ὁ ὡροσκοπικὸς τόπος ἐφέξει τῷ κλήρῳ κατὰ τὸν μερισμόν, ὁπόταν οἱ κληρικοὶ τόποι ἢ οἱ κύριοι παραπέσωσι, μάλιστα ὁπόταν ὁ κλῆρος τῷ δαίμονι τὸν μερισμὸν ἐκχωρήσῃ· καὶ γὰρ οἱ ἀστέρες ἀντιπαραχωροῦσιν ἀλλήλοις· δηλώσομεν δὲ καὶ ἐν τῷ προϊόντι λόγῳ εἰς τοὺς ἐπιμερισμούς. Ἔστω δὲ ἐπὶ ὑποδείγματος Ἥλιος Ἀφροδίτη Καρκίνῳ, Σελήνη ὡροσκόπος Ἰχθύσι, Κρόνος Τοξότῃ, Ζεὺς Αἰγόκερῳ, Ἄρης Σκορπίῳ, Ἑρμῆς Λέοντι, ὁ κλῆρος

τῆς τύχης Καρκίνῳ ἀγαθοδαιμονῶν. ἡ κυρία τοῦ κλήρου ἐπὶ τοῦ κέντρου εὑρέθη· ἔθηκα τὰ ἐλάχιστα τῆς Σελήνης κε′ ἔτη καὶ τοῦ Καρκίνου τὴν ἀναφορὰν τοῦ δευτέρου κλίματος ἔτη λβ′ καὶ τοῦ οἰκοδεσπότου τῆς Σελήνης Διὸς ἔτη ιβ′· γίνονται ἐπὶ τὸ αὐτὸ ἔτη ξθ′· τοσούτων ἐτῶν ἐτελεύτα. Ἄλλη. Ἥλιος Ὑδροχόῳ, Σελήνη ὡροσκόπος Παρθένῳ, ὁμοίως δὲ καὶ Ἄρης· Κρόνος Ζεὺς Ἑρμῆς Αἰγόκερῳ, Ἀφροδίτη Ἰχθύσιν, ὁ κλῆρος τῆς τύχης Ὑδροχόῳ ἀποκεκλικώς. ὁ κύριος ἀγαθοδαιμονῶν παρ’ αἵρεσιν ἐμέρισε τὰ ἴδια ἔτη λ′ καὶ μῆνας τοὺς αὐτοὺς ἐν ἰδίῳ τυχὼν ζῳδίῳ. τούτῳ δὲ συμπαρὼν Ζεὺς ἐμέρισεν ἐνιαυτόν· ἐτελεύτα τῷ λδ′ ἔτει. Παρατηρητέον οὖν ἐπὶ πάσης γενέσεως τὰς προγεγραμμένας ἐν ἀρχῇ παραγγελίας καὶ τὰς φάσεις καὶ τὰς μοίρας, ἵνα μὴ δόξωμεν καθ’ ἕκαστον εἶδος ὑπομιμνήσκειν καὶ τὰ αὐτὰ γράφειν· ὡς ἐπὶ ὑποδείγματος γὰρ ἀνάγκην ἔσχον προτάξαι γενέσεις. 〈ιε′.〉 Περὶ κλιμακτήρω ν . Εἰσὶ δὲ καὶ οἱ κληρικοὶ κλιμακτῆρες καὶ μάλιστα τῶν κακοποιῶν συνόντων ἢ μαρτυρούντων τὴν τύχην. ἐν μὲν οὖν τῷ διαμέτρῳ τῷ διὰ τῶν ἑβδομάδων ἐνιαυτῶν, ἐν δὲ τῷ δεξιῷ τριγώνῳ τῷ διὰ τοῦ θ′, ἐν δὲ τῷ ἀριστερῷ τριγώνῳ τῷ διὰ ε′, ἐν δὲ τῷ δεξιῷ τετραγώνῳ τῷ διὰ ι′, ἐν δὲ τῷ ἀριστερῷ τῷ διὰ δ′. οἱ δὲ βλάπτοντες ἐν τῷ δεξιῷ ἑξαγώνῳ διὰ ια′, οἱ δὲ ἐν τῷ ἀριστερῷ ἑξαγώνῳ διὰ γ′, οἱ δὲ ἐν τῇ προηγήσει τῆς τύχης διὰ ιβ′, οἱ δὲ ἐν τῇ συναφῇ αὐτῆς ὄντες διὰ β′. ἐν Κριῷ ἐὰν ἐπιπαρῇ ὁ κεκληρωμένος τὴν τύχην, ἕξει δι’ ἐτῶν θ′, ἐν Ταύρῳ διὰ κε′, ἐν Διδύμοις διὰ κ′, ἐν Καρκίνῳ διὰ κε′, ἐν Λέοντι διὰ ιβ′, ἐν Παρθένῳ διὰ η′, ἐν Ζυγῷ διὰ λ′, ἐν Σκορπίῳ διὰ ιε′, ἐν Τοξότῃ διὰ ιβ′, ἐν Αἰγόκερῳ διὰ η′, ἐν Ὑδροχόῳ διὰ λ′, ἐν Ἰχθύσι διὰ ιε′. 〈ις′.

157 〉 Μέσα ἔτη τῶν ἀστέρω ν . Τὰ δὲ μέσα ἔτη τῶν ἀστέρων ἐστὶ ταῦτα. Κρόνου μῆνες ε′, Διὸς μῆνες θ′, Ἄρεως μῆνες β′, Ἀφροδίτης μῆνες ς′, Ἑρμοῦ μῆνες η′, Ἡλίου ξδ′. μερίζουσιν οὖν καὶ ταῦτα τὰ ἔτη σὺν ταῖς περιόδοις ἢ ταῖς ἀναφοραῖς τῶν ζῳδίων, ὁπόταν χρηματίζοντες τυγχάνωσιν. Ἄλλως τὰ μέσα ἔτ η. Ἑκάστου ἀστέρος τὴν μεγάλην περίοδον καὶ τὴν ἐλαχίστην συνθεὶς εὑρήσεις τὰ μέσα ἔτη. οἷον Κρόνου τὰ τέλεια ἔτη νζ′ καὶ τὰ ἐλάχιστα λ′ γίνονται πζ′, ὧν τὸ ἥμισυ μγ′ ἥμισυ. Διὸς τὰ τέλεια ἔτη οθ′ καὶ τὰ ἐλάχιστα ιβ′ γίνονται ϟα′, ὧν τὸ ἥμισυ με′ ἥμισυ. ὁμοίως καὶ τῶν λοιπῶν ἀστέρων. ἐπεὶ δὲ αἱ ἀναφοραὶ τῶν ζῳδίων κατὰ τὸν Ὑψικλέους ἀναφορικὸν πταίουσιν, ἐὰν παρὰ ἐνιαυτὸν ἢ διετίαν συνδράμῃ ὁ χρόνος—ὁ γὰρ βασιλεὺς τοῦ πρώτου κλίματος μόνας τὰς ἀναφορὰς ἐδήλωσεν· οἷον ἔστω Ἥλιος Ἀφροδίτη Ἑρμῆς Καρκίνῳ, Σελήνη Ταύρῳ, Κρόνος Ἰχθύσι, Ζεὺς Ἄρης Λέοντι, ὡροσκόπος Παρθένῳ· ἐν τῷ α′ κλίματι ἡ ἀναφορὰ τῆς Παρθένου λη′ γ′· καὶ ἐπεὶ ὁ κύριος Ἑρμῆς ἐν Καρκίνῳ ἀγαθοδαιμονεῖ, ἔδωκε τὴν ἀναφορὰν λα′ δύο τρίτα· γίνονται ο′· τοσαῦτα ἐβίωσεν. Ἄλλη. Ἥλιος Ταύρῳ, Ἑρμῆς Ταύρῳ, Σελήνη Ἰχθύσι, Κρόνος Σκορπίῳ, Ζεὺς Ἄρης Ἀφροδίτη Κριῷ, ὡροσκόπος Διδύμοις. ἡ ἀναφορὰ κλίματος τοῦ δευτέρου κη′· Ἑρμῆς Ταύρου τὴν ἀναφορὰν κδ′ καὶ Ἀφροδίτη Ἄρης Κριῷ ιε′. ἐτελεύτα τῷ ξζ′ ἔτει. Ἄλλη. ἡ αὐτὴ ἀστροθεσία ἄλλης γενέσεως· μόνος ὁ ὡροσκόπος Αἰγόκερῳ, ὁ κλῆρος τῆς τύχης Ἰχθύσι· ἡ ἀναφορὰ τοῦ δευτέρου κλίματος κ′ καὶ περιόδου Διὸς ιβ′. καὶ ἐπεί ἐστιν Κριῷ, τῆς ἀναφορᾶς κ′ καὶ Ἄρεως ιε′· γίνονται ξζ′· ταῦτα ἐβίωσε. Βουληθεὶς μέντοι τὰς συντεταγμένας μοι βίβλους ἰδιωτικωτέρας οὔσας διὰ τὸ τοιούτοις καὶ νέοις μου θρεπτοῖς προσπεφωνηκέναι, ὅπως εὐκατάληπτον τὴν εἴσοδον ἔχωσι, σαφέστερον μετασυντάξαι οὐκ ἔσχον καιρὸν διὰ τὸ κεκμηκέναι τῇ ὁράσει καὶ ὑπὸ πολλῆς λύπης ἀμαυρωθῆναί μου τὸ διανοητικὸν τιμιώτατον θρεπτὸν ἀπολέσαντι· ὅθεν συγγνωστέον. Liber IV.

158 (1t) Οὐεττίου Οὐάλεντος Ἀντιοχέως ἀνθολογιῶν βιβλίον δ′. 〈α′.〉 Περιόδων διαιρέσει ς . Καθηκόντως οὖν καὶ διδασκαλικῶς οἶμαι τὴν τῶν προκειμένων ἐπίλυσιν ποιήσασθαι θοινημάτων ** 〈τὸν〉 παρὰ πολλοῖς ἐζητημένον καὶ ἀποκεκρυμμένον τόπον δηλώσομεν, ὅς ἐστι περὶ διαιρέσεως χρόνων ἐμπράκτων καὶ ἀπράκτων. ὅσαι μὲν οὖν διαιρέσεις διὰ πείρας εἰσὶ δεδοκιμασμέναι, ταύτας δεῖ νῦν ὑποτάξαι. ἔστι δὲ πρώτη περίοδος πρὸς τὰ τέταρτα τῶν ἐλαχίστων περιόδων· οἷον Κρόνου τῶν ἐτῶν λ′ τὸ τέταρτον ζ′ ἥμισυ ... ἐπιβάλλουσι δὲ αὐτῷ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κατ’ ἔτος ἡμέραι λδʹ. Ἄρεως ἐτῶν ιεʹ τὸ τέταρτον γʹ μῆνες θʹ, κατὰ δὲ τὸ ἔτος ἡμέραι μβʹ ἥμισυ. Ἀφροδίτης ἐτῶν ηʹ τὸ τέταρτον βʹ ἔτη, ἐνιαύσιαι δὲ ἡμέραι κβʹ δύο τρίτα. Ἑρμοῦ ἐτῶν κʹ τὸ [δὲ] τέταρτον εʹ ἔτη, ἐνιαύσιαι δὲ ἡμέραι νϛʹ δύο τρίτα. Ἡλίου ἐτῶν ιθʹ τὸ τέταρτον ἔτη δʹ μῆνες θʹ, ἡμέραι δὲ νγʹ ἥμισυ τρίτον. Σελήνης ἐτῶν κεʹ τὸ τέταρτον ϛʹ ἔτη μῆνες γʹ, ἐνιαύσιαι δὲ ἡμέραι οʹ ἥμισυ τρίτον. γίνονται ὁμοῦ [εʹ] ἔτη λβʹ μῆνες τρεῖς. 〈βʹ.〉 Περὶ ἀφέσεω ς . Τὴν ἀρχὴν τῆς ἀφέσεως ἐφέξει τῶν μὲν συνοδικῶν ὁ μετὰ τὴν σύνοδον πρῶτος, εἶθ’ ἑξῆς καθὼς διάκεινται· ἐπὶ δὲ τῶν πανσελήνων ὁ μετὰ τὴν πανσέληνον πρῶτος καὶ ὁμοίως· δεῖ δὲ συγκρίνειν τὸν ἀστέρα, ὅπως ἐσχημάτισται καὶ ὑπὸ τίνων μαρτυρεῖται, τούς τε λοιποὺς τοὺς παραλαμβάνοντας, πότερον ἐπίκεντροι ἢ ἀποκεκλικότες ἀνατολικοὶ ἢ δυτικοί, τάς τε κατὰ πάροδον ἐπεμβάσεις καὶ τὰς συμπαθείας ἢ ἐναντιότητας.

159 μετὰ δὲ τὸ συμπληρωθῆναι ἔτη λβʹ καὶ μῆνας γʹ πάλιν τὸν δεύτερον κύκλον ἀπὸ τοῦ τεταρτικοῦ ἀφετικοῦ ἀστέρος ποιητέον. 〈γʹ.〉 Περὶ ἐπιδιαιρέσεως ἡμερῶ ν . Περὶ δὲ τῆς τῶν ἡμερῶν διαιρέσεως οὕτως ποιεῖσθαι. ἐὰν γὰρ Κρόνος ἀφέτης εὑρεθῇ καθολικός, μερίζει ἔτη ζʹ ἥμισυ. ἐπεὶ δὲ ἐκ τούτων πάντας τοὺς ἀστέρας δεῖ λαμβάνειν, τὸν ἐπιμερισμὸν οὕτως ποιήσομεν. τὰς πεʹ ἡμέρας τοῦ Κρόνου ἐπὶ τὰς ζʹ ἥμισυ πολυπλασιάσαντες εὑρήσομεν ἡμέρας χλζʹ ἥμισυ· ταύτας πρῶτον Κρόνος ἑαυτῷ ἐπιμερίσει ἐκ τῶν ἰδίων ἐτῶν ζʹ ἥμισυ, εἶθ’ ἑξῆς ἔστω εὑρῆσθαι τὸν Δία· ἐπεὶ οὖν ἡμερῶν δεσπόζει λδʹ, ταύτας ἐπὶ τὰ ζʹ ἥμισυ διὰ τὸ ἀφέτην εἶναι Κρόνον· γίνονται ἡμέραι σνεʹ· ταύτας Ζεὺς ἕξει ἐκ τῶν τοῦ Κρόνου. εἶτα ἑξῆς τὸν τῆς Ἀφροδίτης παραλαμβάνειν· ἐπεὶ οὖν κυριεύει ἡμερῶν κβʹ δύο τρίτων, ταύτας ἐπὶ τὸν ζʹ ἥμισυ πολυπλασιάσωμεν· εὑρήσομεν ροʹ· τοσαύτας Ἀφροδίτη ἕξει ἐκ τῶν τοῦ Κρόνου. καὶ ὁμοίως ἑκάστου ἀστέρος ἐὰν τὰς ἡμέρας ἐπὶ τὸν ζʹ ἥμισυ πολυπλασιάσωμεν, εὑρήσομεν τὸν ἐπιμερισμόν. ἐὰν δέ πως ἡ Σελήνη κυριεύσῃ τῆς ἀφέσεως, τὰς ἑκάστου ἡμέρας ἐπὶ τὸν ἓξ τέταρτον πολυπλασιάσαντες εὑρήσομεν· ὡσαύτως δὲ καὶ ἐπὶ τῶν λοιπῶν. Ἑκάστου ἀστέρος ἡμέρας εὑρεῖ ν . Αἱ δὲ ἑκάστου ἡμέραι εὑρίσκονται τοιῷδε τρόπῳ. τὴν περίοδον διπλασιάσαντες καὶ τὴν ἡμίσειαν καὶ τὸ τρίτον ἐπιπροσθέντες εὑρήσομεν. ἐπεὶ Κρόνου ἡ περίοδός ἐστιν ἡμερῶν λʹ, ταύτας ἐδίπλωσα καὶ γεγόνασιν ξʹ· καὶ τὸ ἥμισυ τῶν λʹ γίνονται ιεʹ· ταύτας προσέθηκα ταῖς ξʹ· γίνονται οεʹ. καὶ πάλιν τὸ τρίτον τῶν λʹ γίνεται ιʹ· ταύτας ὁμοίως προσέθηκα τοῖς οεʹ· γίνονται πεʹ. ταύτας τὰς ἡμέρας Κρόνος ἕξει. ὁμοίως καὶ ἐπὶ τῶν λοιπῶν ἀστέρων. 〈δʹ.

160 〉 Περὶ χρόνων διαιρέσεως ἀπὸ κλήρου τύχης καὶ δαίμονο ς . Καὶ ταύτην δὲ δυναστικὴν οὖσαν ὑποτάξω, τὴν ἀρχὴν τῆς ἀφέσεως ποιησάμενος ἀπὸ κλήρου τύχης καὶ δαίμονος, οἳ σημαίνουσιν Ἥλιόν τε καὶ Σελήνην· κοσμικῶς γὰρ ἡ Σελήνη τύχη ὑπάρχουσα καὶ σῶμα καὶ πνεῦμα περίγειος οὖσα καὶ τὴν ἀπόρροιαν εἰς ἡμᾶς πέμπουσα τὸ ὅμοιον ἀποτελεῖ, κυρία οὖσα τοῦ καθ’ ἡμᾶς σώματος. ὁ δὲ Ἥλιος νοῦς καὶ δαίμων κοσμικῶς ὑπάρχων διὰ τῆς ἰδίας ἐνεργείας καὶ φύσεως ἐρασμίου τὰς τῶν ἀνθρώπων ψυχὰς διεγείρων περὶ τὰς ἐγχειρήσεις αἴτιος πράξεως καὶ κινήσεως καθίσταται. ἐπὰν οὖν σωματικοὺς χρόνους ζητῶμεν, οἷον κλιμακτῆρας ἢ ἀσθενείας ἢ αἱμαγμούς, πτώσεις σίνη πάθη καὶ ὅσα ποτὲ ἀνήκει τῷ σώματι περὶ ῥώσεως τέρψεως ἡδονῆς καλλονῆς ἐπαφροδισίας, ἀπὸ τοῦ κλήρου τῆς τύχης δεῖ ἐκβάλλειν ζῳδιακῶς, καὶ οὗ ἂν καταλήξῃ ὁ χρόνος, λογισόμεθα τὸ ζῴδιον καὶ τοὺς ἐπόντας ἀστέρας ἢ μαρτυροῦντας, πῶς συσχηματίζονται πρὸς τὸν καθολικὸν ἢ οἰκοδεσπότην τῶν ἀφετικῶν χρόνων καὶ πότερον ἐπίκεντροι οἱ χρονοκράτορες τῶν κλήρων εἰσὶν ἢ ἔκκεντροι. ἐὰν δὲ περὶ πράξεως ἢ δόξης ζητῶμεν, τότε ἀπὸ τοῦ δαίμονος τὴν ἄφεσιν τῶν χρόνων ποιησόμεθα ζῳδιακῶς καὶ κατὰ τοὺς ἐπόντας ἢ μαρτυροῦντας ἀγαθοποιοὺς ἢ κακοποιοὺς τὴν διάκρισιν εὑρήσομεν. πολλάκις μὲν οὖν τοῦ κλήρου τῆς τύχης ἢ τοῦ κυρίου παραπεπτωκότος ὁ κλῆρος τοῦ δαίμονος καὶ τὰ σωματικὰ καὶ τὰ πρακτικὰ μερίζει. ὁμοίως καὶ ἡ τύχη ἀμφότερα μεριεῖ τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κλήρου τοῦ δαίμονος ἢ τοῦ κυρίου παραπεπτωκότος, καθάπερ ἐπὶ τῶν ἐπικρατήσεων καὶ οἰκοδεσποτειῶν. ὅταν δὲ ὁ δαίμων καὶ ἡ τύχη ἐν ἑνὶ ζῳδίῳ εὑρεθῶσι, τὰ μὲν σωματικὰ ἀπὸ τοῦ αὐτοῦ ζῳδίου, τὰ δὲ πρακτικὰ ἀπὸ τοῦ ἐπαναφερομένου ληψόμεθα· ἄλλως τε καὶ ἐπὶ τῶν συνοδικῶν ἢ πανσεληνιακῶν τῇ αὐτῇ ἀφέσει εὑρεθήσεται, εἴγε εἰς ἓν ζῴδιον ὅ τε κλῆρος καὶ ὁ δαίμων ἐκπίπτει. ἀλλ' ἐπὶ τῶν τοιούτων τοὺς μὲν σωματικοὺς χρόνους ὅταν ζητῶμεν, ἀπὸ τοῦ αὐτοῦ ζῳδίου τὴν ἄφεσιν ποιησόμεθα, τοὺς δὲ πρακτικοὺς ἀπὸ τοῦ ἐπαναφερομένου τῷ κλήρῳ, καὶ μάλιστα ἐπὶ νυκτερινῶν γενέσεων ἢ ἐν τῷ ὑπογείῳ τὴν σύνοδον ἐσχηκότων, ἵνα ἑκάστου κλήρου τὰ τετράγωνα ὡς κέντρα σχηματίσῃ. κρείσσων μέντοι ἡ συνοδικὴ αἵρεσις τῆς πανσεληνιακῆς· ἡ μὲν γὰρ συνοδικὴ ἐπὶ τοῦ ὡροσκόπου τοὺς κλήρους ἔχει, ἡ δὲ πανσεληνιακὴ ἐπὶ τῆς δύσεως.

161 συμβαίνει δὲ καὶ κατὰ τετράγωνον τῶν φώτων ὄντων τοὺς κλήρους ἑαυτοῖς ἐναντιοῦσθαι· καὶ ἐπὶ τούτου τοῦ εἴδους τοὺς πρακτικούς τινες χρόνους ἐκ τῶν ἀναφερομένων ζῳδίων μερίζουσιν. ἐμοὶ δὲ οὐ δοκεῖ· ἕτερος γὰρ τοῦ κλήρου τῆς τύχης εὑρίσκεται καὶ ἕτερος τοῦ δαίμονος, ἐπὶ δὲ τῶν συνοδικῶν καὶ πανσεληνιακῶν γενέσεων ὁ αὐτός· ἄλλως τε ἐπὶ ἀρρενικῶν γενέσεων αἱ πλείους ἀφέσεις ἀπὸ τοῦ δαίμονος εὑρίσκονται, διότι τὰς πράξεις διὰ λόγου καὶ δόσεως καὶ λήψεως καὶ πίστεων μεταχειρίζονται· ἐπὶ δὲ τῶν θηλυκῶν ἀπὸ τοῦ κλήρου τῆς τύχης διὰ τὴν περὶ τὸ σῶμα ἀσχολίαν. συμβαίνει δὲ καὶ τοὺς ἄνδρας σωματικὰς πράξεις τὰς διὰ χειρῶν ἐπάγειν ἢ ἀθλήσεως καὶ σωματικῆς κινήσεως καὶ τὰς γυναῖκας διὰ ἀγορασμῶν καὶ πράσεων. ὁμοίως καὶ ἐπὶ τῶν νηπίων γενέσεων ἀπὸ τοῦ κλήρου τῆς τύχης τὴν ἄφεσιν τῶν χρόνων δέον ποιεῖσθαι, ἕως ἐπὶ τὸν ἔλεγχον τὸν τῆς ἀκμῆς ἢ τῆς πράξεως παραγένωνται. γεννηθεῖσι μὲν γὰρ αὐτοῖς συνέπεται καὶ τὰ σωματικὰ εὐημερήματα, οἷον εὐμορφία ἐπαφροδισία μέγεθος ἀστειότης εὐρυθμία, ἢ καὶ ἃ εἴωθε ἄλλως συμβαίνειν, σίνη πάθη ἐκζέματα ἐκβιάσματα ἐξανθήματα συγγενήματα σημεῖά τινα χαλάσματα· τὰ δὲ πρακτικὰ καὶ διανοητικὰ ἐξ ὑστέρου γίνεται. Ἔστω ἐπὶ ὑποδείγματος τὸν κλῆρον τῆς τύχης ἢ τοῦ δαίμονος πεπτωκέναι Κριῷ· καὶ ὁ μὲν καθόλου οἰκοδεσπότης Ἄρης, οἱ δὲ παραλαβόντες ὑπ' αὐτοῦ συγκρινέσθωσαν, οἰκείως ἢ ἀλλοτρίως συσχηματίζονται. μερίζει οὖν αὐτὸς πρῶτος ἔτη ιε′, ἐξ ὧν ἑαυτῷ ἐπιμερίζει μῆνας ιε′, εἶτα Ἀφροδίτῃ διὰ τὸν Ταῦρον μῆνας η′, ἑξῆς Ἑρμῇ διὰ τοὺς Διδύμους μῆνας κ′, εἶτα Σελήνῃ διὰ τὸν Καρκίνον μῆνας κε′, εἶτα Ἡλίῳ διὰ τὸν Λέοντα μῆνας ιθ′, εἶθ' ἑξῆς Ἑρμῇ μῆνας κ′, εἶτα Ἀφροδίτῃ μῆνας η′, εἶτα Ἄρης ἑαυτῷ διὰ τὸν Σκορπίον μῆνας ιε′, εἶτα Διὶ μῆνας ιβ′ διὰ τὸν Τοξότην, εἶτα Κρόνῳ διὰ τὸν Αἰγόκερων ἔτη β′ μῆνας γ′, εἶτα τοὺς λοιποὺς ια′ εἰς συμπλήρωσιν τῶν ιε′ ἐτῶν ἐν τῷ Ὑδροχόῳ. μετὰ τὸν Ἄρη παραλήψεται Ἀφροδίτη τοὺς καθολικοὺς χρόνους ἐπὶ ἔτη η′ καὶ ὁμοίως ἐπιμερίσει ἐξ αὐτῶν ἑκάστῳ ζῳδίῳ καθὼς πρόκειται. εἶτα μετὰ τὸν τῆς Ἀφροδίτης παραλήψεται Ἑρμῆς διὰ τοὺς Διδύμους ἔτη κ′ καὶ ἐπιμερίσει ἑκάστῳ ζῳδίῳ· εἶτα Σελήνη ἐπὶ ἔτη κε′, μεθ' ἣν ὁ Ἥλιος ἐπὶ ἔτη ιθ′· καὶ ἐφ' ὅσον ἡ γένεσις χωρεῖ, ἐφεξῆς χρὴ διδόναι.

162 ἐπεὶ οὖν ὁ κύκλος τῶν ιβ′ ζῳδίων συνάγει ἔτη ιζ′ μῆνας ζ′, τὸν λοιπὸν χρόνον ἐκ τοῦ διαμέτρου μεριοῦμεν. οἷον ἐπεὶ οἱ Δίδυμοι μερίζουσιν ἔτη κ′, τῆς ἀφέσεως γενομένης ἐφεξῆς καὶ συμπληρουμένων [καὶ] μηνῶν ζ′ ἐτῶν ιζ′, τὰ λοιπὰ ἔτη β′ καὶ μῆνας ε′ ἀπὸ Τοξότου μεριοῦμεν, αὐτῷ τῷ Τοξότῃ διδόντες ἐνιαυτόν, εἶτα τῷ Αἰγόκερῳ τὸν περίλοιπον χρόνον εἰς συμπλήρωσιν τῶν κ′ ἐτῶν. ὁμοίως καὶ ἀπὸ τοῦ Καρκίνου ἢ Λέοντος ἢ Παρθένου ἢ Αἰγόκερω ἢ καὶ Ὑδροχόου τὴν ἄφεσιν ἐὰν εὕρωμεν, μετὰ ιζ′ ἔτη καὶ μῆνας ζ′ χωρὶς ἐπαγομένων ἐκ τῶν διαμέτρων ἀρξάμενοι τοὺς λοιποὺς χρόνους μεριοῦμεν ἐφεξῆς. Τινὲς μὲν οὖν τοὺς λοιποὺς χρόνους μερίζουσιν ἐκ τῶν τριγώνων, ἐμοὶ δ' οὐ δοκεῖ φύσιν ἔχειν· ἀλλὰ καθάπερ ἐπὶ τοῦ κοσμικοῦ τὰ τέτταρα στοιχεῖα τὴν πρὸς ἄλληλα συμπάθειαν κέκτηται καὶ ἕκαστον ἀπὸ ἑτέρου ζωογονεῖται καὶ θάλπεται, τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τῆς διαιρέσεως κατὰ τὴν ἁρμονίαν τῶν ζῳδίων τὰς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

παραδόσεις ποιεῖσθαι. οἷον ἐπεὶ τὸ πῦρ καὶ ὁ ἀὴρ ἀνωφερῆ ὑπάρχοντα ἀλλήλοις τὴν ἐπιμιξίαν ποιοῦνται καὶ κατάξηρον ὑπάρχον τὸ πῦρ ὑπὸ τῆς τῶν ἀέρων εὐκρασίας τρέφεται καὶ αὐτὸ δὴ τὸ πῦρ οὐκ ἐᾷ τὸν ἀέρα εἰς κρυμώδη καὶ ζοφώδη φύσιν χωρῆσαι ἀλλὰ ἔκθερμον εὐκρασίαν ἀπεργάζεται, εὐλόγως ἄρα καὶ ὁ Λέων πυρώδης ὑπάρχων μετὰ τὸν κύκλον παραδώσει τὸν ἐπίλοιπον χρόνον τῷ τὴν συμπάθειαν ἔχοντι Ὑδροχόῳ, ὅ ἐστιν ἀήρ, καὶ πάλιν Ὑδροχόος τῷ Λέοντι. ὁμοίως δὲ καὶ ἡ γῆ κατάξηρος οὖσα καὶ ὑπὸ τῆς ὑγρᾶς οὐσίας τρεφομένη ζῳογονεῖ τὰ πάντα, καὶ αὐτὸ δὲ τὸ ὕδωρ διαβασταζόμενον ἐκ τῆς γῆς καὶ ἐξ αὐτῆς γεννώμενον τὴν συμπάθειαν φυλάσσει· εὐλόγως ἄρα καὶ ὁ Καρκίνος κάθυγρος ὑπάρχων καὶ ὁ Αἰγόκερως γεώδης ἀλλήλοις τὴν ἀντιπαράδοσιν ποιήσονται καὶ ἡ Παρθένος γεώδης ὑπάρχουσα τοῖς Ἰχθύσι· καὶ τὰ λοιπὰ ζῴδια τὴν αὐτὴν δύναμιν ἐφέξει πρὸς τὰ διάμετρα. Οὕτως καὶ ἡ ἀκολουθία τῆς διαιρέσεως ζῳδιακῶς ἐστοιχειογράφηται. οἷον ὁ Κριὸς πυρώδης, ὁ Ταῦρος γεώδης, οἱ Δίδυμοι ἀερώδεις, ὁ Καρκίνος ὑδατώδης, καὶ τὰ τούτων τρίγωνα ὁμοίως.

163 ἐὰν οὖν ἐν τοῖς τριγώνοις τοὺς συνδέσμους λύωμεν, εὑρήσομεν μίαν φύσιν τοῦ τε παραδιδόντος καὶ τοῦ παραλαμβάνοντος ζῳδίου καὶ οὐδεμία τις σύγκρασις εὑρεθήσεται, ἀλλὰ πλεονεκτούμενα ὑπ' αὐτῶν τὰ στοιχεῖα. ἄλλως τε τὸν Ἥλιον εὑρίσκομεν ἀπὸ Κριοῦ τὴν ἀρχὴν ποιούμενον τῆς τροπῆς καὶ τῆς ἰσημερίας καὶ κατὰ τὸ ἡμικύκλιον τὸ μέγεθος τῆς ἡμέρας ἐπαύξοντα, ἐν δὲ τῷ διαμέτρῳ Ζυγῷ τὸν σύνδεσμον λύοντα καὶ εἰς τὸ μειωτικὸν χωροῦντα. ἐπεὶ δὲ καὶ Καρκίνος αὐξητικὸν σχῆμα ἡμέρας ἐπέχει, τοῦτο ἐν Αἰγόκερῳ γενόμενος τῇ νυκτὶ παρέχει ἐν τῷ διαμέτρῳ τὴν μεταβολὴν ποιούμενος. ὁμοίως καὶ ἡ Σελήνη τὴν σύνοδον ποιησαμένη καὶ πληρώσασα τὸν κύκλον ἐν τῷ διαμέτρῳ τὸν σύνδεσμον λύει. διὸ μᾶλλον ἔδοξε τῇ προκειμένῃ ἀγωγῇ χρήσασθαι εἰς τὴν τῶν συνδέσμων λύσιν. 〈ε'.〉 Περὶ τῆς τῶν συνδέσμων λύσεως καὶ ἀντιπαραδόσεως τῶν ἀστέρω ν . Αἱ δὲ τῶν συνδέσμων λύσεις ἐν διαφόροις γενήσονται διὰ τὰς τῶν ἀστέρων φύσεις. Ἥλιος μὲν οὖν καὶ Σελήνη Κρόνῳ παραδιδόντες ἐναντιωμάτων καὶ φόβων εἰσὶ δηλωτικοί, ἐπάγοντες ἔχθρας μειζόνων καὶ ἀπειλὰς μυστικῶν καὶ παλαιῶν πραγμάτων ἕνεκα, ἀνασκευὰς κρίσεις τε καὶ ἀντικαταστάσεις καὶ ὑπόπτους βίους καὶ ἀξίας καθαιρέσεις σωματικάς τε ὀχλήσεις καὶ κινδύνους ἢ ναυάγια αἰφνιδίους τε καταπτώσεις καὶ αἰτίας πλείστας, ἐκτὸς εἰ μὴ ἀγαθοποιοὶ ἐπόντες ἢ μαρτυροῦντες τῶν αἰτίων τὰς ἐκβάσεις ἀμαυρώσουσιν. Ἑρμῆς δὲ ἀπὸ Παρθένου ἢ Διδύμων Διὶ μεταπαραδιδοὺς τὸν χρόνον μεταβολὴν πραγμάτων ἀποτελεῖ καὶ καινοποιίας πράξεων· καὶ ἐὰν ἐπὶ γενέσεως οἱ τόποι κακωθῶσιν ἢ καὶ αὐτὸς Ἑρμῆς, τοῦ καθολικοῦ χρόνου ἐναντίου γενομένου, ἡ τοῦ συνδέσμου λύσις τὴν μεταβολὴν ἐπὶ τὸ κρεῖσσον ἕξει καὶ πράξεων δηλωτικὴ γενήσεται. ἐὰν δὲ οἱ τόποι ὑπὸ ἀγαθοποιῶν φρουρούμενοι ἀγαθὸν τὸν χρόνον ἀποτελῶσι, μετὰ 〈τὸν〉 κύκλον ἡ τοῦ συνδέσμου λύσις ἐπιτάραχος καὶ ἐπιζήμιος γενήσεται. Κρόνος δὲ ἀπὸ Αἰγόκερω καὶ Ὑδροχόου λύων σύνδεσμον εἰς Λέοντα καὶ Καρκίνον πρακτικὸν τὸν χρόνον δηλοῖ· τὰ γὰρ ἐκ σκότους εἰς φῶς ἄγει καὶ τοῖς δυναστικοῖς ζῳδίοις τὴν διαίρεσιν τῶν χρόνων παραδιδοὺς ἐνεργέστερος καθίσταται κατὰ τὴν ὑπόστασιν τῆς γενέσεως.

164 τὰς δὲ δόξας καὶ τὰς ὠφελείας παρέχει κατὰ τοὺς ἐπόντας ἀστέρας. 〈ς'.〉 Πόσα ἔτη μερίζει ἕκαστον ζῴδιον · καὶ τέλεια ἔτη τῶν ἀστέρω ν . Μερίζει δὲ ὁ μὲν Ὑδροχόος ἔτη λ', ὁ Αἰγόκερως κζ', ἐπεὶ ὁ Ἥλιος δεσπόζει τελείων ἐτῶν ρκ', ὧν τὸ ἥμισυ ξ'· ἐκ τούτων τὴν ἡμίσειαν τῷ κατὰ διάμετρον Ὑδροχόῳ ἐπιμερίσει, ἅ ἐστιν ἔτη λ'· ἡ δὲ Σελήνη δεσπόζει τελείων ἐτῶν ρη', ὧν τὸ ἥμισυ νδ'· τούτων τὴν ἡμίσειαν τῷ κατὰ διάμετρον Αἰγόκερῳ ἐπιμερίζει, ἅ ἐστιν ἔτη κζ'· τῶν οὖν δύο ζῳδίων συνάγεται ἔτη νζ', ἅ ἐστιν τέλεια Αἰγόκερω. καὶ οἱ λοιποὶ δὲ ἀστέρες τὸν τέλειον ἐπιμερισμὸν τῶν ἐτῶν ἐξ Ἡλίου καὶ Σελήνης ἔσχον. τῷ μὲν γὰρ Διὶ συναιρετιστῇ ὄντι καὶ τριγώνου συμπάθειαν κεκτημένῳ διὰ τὸν Τοξότην ὁ Ἥλιος τὴν ἡμίσειαν τῶν ρκ' ἐτῶν ἐμέρισε καὶ τὰ ἐλάχιστα ἔτη ιθ'· γίνονται οθ'. ὡσαύτως δὲ καὶ ἡ Σελήνη διὰ τὴν ἀγαθοποιίαν

καὶ τριγώνου κοσμικὴν συμπάθειαν τὴν εἰς τοὺς Ἰχθύας Διὶ ἀπεμέρισε τὴν ἡμίσειαν τῶν ρη′ ἐτῶν νδ′ καὶ τὰς ἐλαχίστας κε′· γίνονται οθ′. τῷ δὲ Ἄρει τῆς αὐτῆς αἱρέσεως ὄντι ἡ Σελήνη ἀπεμέρισε τὰ νδ′· ὁ δὲ Ἥλιος διὰ τὴν ἀντίμιμον πυρώδη οὐσίαν καὶ φθοροποιὸν τρόπον τὸν ἐπιμερισμὸν ἠρνήσατο, ἀντιπαρεχώρησε δὲ τῷ κατὰ διαδοχὴν τοῦ τριγώνου δεσπότῃ Διὶ ἅ ἐστιν ἔτη ἐλάχιστα ἐπιμερίσαι ιβ′· γίνονται ξς′. ὁμοίως δὲ καὶ τῇ Ἀφροδίτῃ διὰ τὴν συμπάθειαν τοῦ τριγώνου καὶ νυκτερινὴν αἵρεσιν ἡ Σελήνη ἐπεμέρισεν τὰ νδ′ καὶ ὁ Κρόνος διὰ τὴν ἐναντίαν τοῦ ὑψώματος στάσιν τουτέστι τὸν Ζυγὸν ἔτη λ′· γίνονται πδ′. ὁ δὲ Ἑρμῆς διὰ τὴν πρὸς Κρόνον συνοικοδεσποτίαν ἔλαβεν παρ’ αὐτοῦ τὰ τέλεια ἔτη νζ′ καὶ παρὰ τοῦ Ἡλίου τὰ ἐλάχιστα ιθ′· γίνονται ος′. 〈ζ′.

165 〉 Περὶ χρόνων διαιρέσεων ἐπὶ κλήρου τύχης καὶ δαίμονος καὶ ἐπεμβάσεως ἀστέρων καὶ οἰκοδεσποτῶν καὶ συνόδου καὶ πανσελήνου με θ ’ ὑποδείγματος καὶ ἀντιπαραδόσεω ς . Τούτων οὕτως ἐχόντων σκοπεῖν δεήσει ἐπὶ τῆς διαιρέσεως τόν τε παραδιδόντα καὶ παραλαμβάνοντα πότερον ἐπίκεντροι ἢ ἀποκεκλικότες, ὁμογνωμονοῦντες ἢ ἀλλότριοι τυγχάνουσιν. ἐὰν γὰρ ζῳδιακῶς μὲν ἡ διαίρεσις ἀπὸ ἐπικέντρων τόπων εἰς ἐπικέντρους παραγένηται, ὁμοίως δὲ καὶ οἱ τούτων οἰκοδεσπόται ἐπίκεντροι τύχωσιν ὑπὸ ἀγαθοποιῶν μαρτυρούμενοι καὶ οἰκείας αἱρέσεως, ἀγαθὴν τὴν χρονοκρατορίαν ἀποτελοῦσι καὶ ἐπίσημον· ἐὰν δὲ οἱ μὲν τόποι ἐπίκεντροι, οἱ δὲ κύριοι ἀποκεκλικότες ἢ ὑπὸ κακοποιῶν μαρτυρούμενοι, ἀνώμαλον τὸν χρόνον καὶ ἐπιτάραχον δηλοῦσιν. ἐὰν δὲ τὰ πάντα σχήματα ἐν ἀποκλίμασιν εὑρεθῇ, κάκιστος ὁ χρόνος καὶ αἰτίας καὶ ζημίας ἐπάγων· γίνεται δὲ κατὰ τούσδε τοὺς χρόνους ἐν ξενιτείαις καὶ πράξεων μεταβολαῖς, καὶ ἐὰν μὲν ἀγαθοποιοὶ τύχωσιν ἢ ὑπὸ ἀγαθοποιῶν μαρτυρούμενοι, ἐπὶ ξένης πραγμάτων κατόρθωσιν ποιησάμενοι ἐπωφελῶς διάξουσιν. ἐὰν δὲ κακοποιοί, καὶ ἐπὶ ξένης ταραχαῖς καὶ ζημίαις περιτραπήσονται ἢ καὶ ἀπὸ ξένων καὶ δούλων προδοθήσονται· ὅθεν τὰ ἀποκλίματα ξένης σημαντικά. ἐὰν δέ πως ἐπίκεντροι εὑρεθῶσιν ἢ ἰδιοτοποῦντες, κατοχὰς σημαίνουσιν εἴς τινας τόπους ἢ ἐπιμονάς. Ἑρμῆς μὲν οὖν καὶ Ἀφροδίτη οὔτε μακρὰς οὔτε πολυχρονίους τὰς ἀποδημίας παρέχουσιν, ἐπεὶ οὐ πολὺ ἀφίστανται τοῦ Ἡλίου· Κρόνος δὲ καὶ Ἄρης καὶ Σελήνη ὑπερορίους καὶ ἐπικινδύνους ἐπί τε γῆς καὶ θαλάσσης καὶ ἐν πλάναις ἢ βαρβάροις τόποις γινομένους. Ἥλιος δὲ ἐπιδόξους καὶ ἐντίμους καὶ εὐσυστάτους· Ζεὺς δὲ ἐπωφελεῖς καὶ πολυφίλους καὶ ἡδέως διάγοντας ἐπὶ τῆς ξένης. Ἐὰν οὖν χρόνους σωματικούς τις ἐν ἐκκέντρῳ κατάγῃ ζῳδίῳ ἢ καὶ ὁ κύριος ἔκκεντρος τύχῃ ὑπὸ κακοποιῶν μαρτυρούμενος, ἐν ἀσθενείᾳ γενήσεται καὶ αἱμαγμοῖς ἢ κινδύνοις. ἐὰν δέ τις κατὰ τὸν δαίμονα τοὺς χρόνους κατάγῃ ἐν ἐκκέντρῳ ζῳδίῳ καὶ κακοποιὸς ἐπῇ ἢ καὶ τῷ οἰκοδεσπότῃ τοῦ ζῳδίου μαρτυρήσῃ, ἀπρακτήσει καὶ ἐν δυστυχίαις διάξει καὶ ἀκαταστατήσει τῇ ψυχῇ κακωτικῶς διάγων περί τε τὰς πράξεις καὶ τὰς ἐπιβολάς· καὶ ἐὰν μὲν ἐν πυρώδει ζῳδίῳ εὑρεθῇ κατάγων τὸν χρόνον κακοποιῶν ἐπόντων ἢ μαρτυρούντων, ἔκλυσιν ψυχῆς μεγίστην ἕξει καὶ παρὰ προαίρεσίν τινα διαπράξεται ἀστατῶν τῇ γνώμῃ· ἐὰν δὲ ἐν ἀερώδει καὶ ᾖ κεκακωμένον τὸ ζῴδιον ἢ ὁ κύριος, μετεώρως καὶ ἐπιλύπως διάξει καὶ ἄλλα διαπρασσόμενος ἕτερα προσδοκήσει· ἐὰν δὲ ἐν γεώδει ζῳδίῳ, τὰ μὲν προσπίπτοντα γενναίως οἴσει, διὰ δὲ τῆς ἰδίας ἐγκρατείας τῶν πλείστων περιέσται ἐννοηματικῶς· ἐὰν δὲ ἐν ὑδατώδει ζῳδίῳ, εὐπαρηγόρητον τὴν ψυχὴν κεκτημένος καὶ ἔν τισιν ἀνωμαλίσας πολλῶν πραγμάτων κατόρθωσιν ποιήσει καὶ περὶ τὰς ἐγχειρήσεις εὐεπήβολος ἔσται.

166 πάντοτε μὲν οὖν ἰδικῶς αἱ πράξεις καταλαμβάνονται ἔκ τε τοῦ δαίμονος καὶ οἰκοδεσπότου· εἰσὶ γάρ τινες σωματικὰς μὲν πράξεις ἔχοντες, οἷον διὰ χειρῶν ἐργαζόμενοι, καὶ σωματικὰς κακοπαθείας ἀχθίσεως ἢ γυμνασίας· ἕτεροι δὲ ἀπὸ λόγου καὶ ἐπιστήμης καὶ ψυχῆς ἐνεργείας. ὅπου δὲ ἂν πλείους ἀστέρες προσνεύσωσιν ἤτοι τῷ κλήρῳ ἢ τῷ δαίμονι, ἐκεῖθεν τὸ πρακτικὸν δηλωθήσεται. συνεπικρίνειν οὖν δεῖ τὰς πράξεις καὶ τὴν καθολικὴν ὑπόστασιν, ἤτοι ἔνδοξος ἢ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μετρία ἡ γένεσις ἢ καὶ εὐδαίμων ἢ πενιχρὰ ἢ ἐπίδικος ἢ ἀνώμαλος, ἵνα ἐν τοῖς ἐπιμερισμοῖς καὶ τὰ ἀποτελέσματα προφανῆ γένηται. οἱ μὲν οὖν τὰς πράξεις ἀποτελοῦντες ὁ τῆς Ἄρεος καὶ τῆς Ἀφροδίτης καὶ τοῦ Ἑρμοῦ, ὁ δὲ τοῦ Κρόνου ἐπιτηδεύματα καὶ ὅσα ποτὲ δι’ ὑγρῶν ἢ κακοπαθείας καὶ κληρουχίας γίνεται. ταπεινοὶ μὲν οὖν καὶ ἄδοξοι καταλαμβάνονται ἔκ τε Κρόνου καὶ Ἄρεος Διὸς ἀπόντος, ἔνδοξοι δὲ καὶ εὔποροι ἔκ τε Ἡλίου καὶ Σελήνης συμπαρόντων τῶν ἀγαθοποιῶν ἢ συνεπιμαρτυρούντων. ἐὰν οὖν ἡ διαίρεσις ἀπὸ τοῦ δαίμονος εἰς τὸ μεσουράνημα τοῦ κλήρου τῆς τύχης ἔλθῃ ἢ εἰς αὐτὸν τὸν κλῆρον τοῦ κυρίου συμπαρόντος καὶ ὑπὸ ἀγαθοποιοῦ μαρτυρουμένου ἢ καὶ Ἡλίου ἢ καὶ Σελήνης, ἐπιλάμπρας μὲν οὔσης τῆς ὑποστάσεως ὁ γεννώμενος ἐν ἡγεμονίαις καὶ μεγάλαις δόξαις γενήσεται ἐπίσημός τε καὶ ἀρχικὸς καὶ προφανὴς κατ’ ἐκείνους τοὺς χρόνους καὶ ὑπὸ πολλῶν μακαριζόμενος διὰ τὴν περὶ αὐτὸν εὐδαιμονίαν. καὶ ἐπὶ τοῦ ὡροσκόπου δὲ καὶ ἐπὶ τοῦ μεσουρανήματος καὶ ἐπὶ τῶν λοιπῶν κέντρων ἡ διαίρεσις γενομένη δόξας ἀποτελεῖ, οὐχ ὁμοίως δέ· ἐνεργέστεροι γὰρ οἱ τῶν κλήρων τετράγωνοι τόποι. ἐὰν δὲ τούτων οὕτως ὄντων μετρία ἡ ὑπόστασις εὑρεθῇ, ἔσται ἐν πράξεσιν ἢ ὠφελείαις καὶ μείζοσι φίλοις καὶ δωρεᾶς καὶ τιμῆς καταξιωθήσεται καὶ εὐημερήσει καὶ προκόψει περὶ τὴν τῆς ἀσχολίας ἐνέργειαν, καὶ ἐὰν μάλιστα ἀγαθοποιοὶ ἐπῶσιν ἢ μαρτυρῶσιν· εἰ δὲ κακοποιοί, τὰ μὲν τῶν τόπων γενήσεται καθὼς πρόκειται προφανῆ, ἕνεκα δὲ τῆς τῶν κακοποιῶν μαρτυρίας ἐναντιώμασι καὶ ζημίαις περιτραπήσονται καὶ ἀπαράμονον τὴν τῆς ἀγαθοποιίας ἀφορμὴν ὑπομένοντες.

167 ὥσπερ δὲ ἕκαστος τῶν ἀστέρων ἐπὶ τοῦ κύκλου ζῳδιακῶς ἐστοιχειογράφηται κατὰ τοὺς οἴκους, τὸ ὅμοιον καὶ ἐπὶ γενέσεως σχηματισάμενος συμπαθὴς πρὸς ἕτερον γενήσεται. 〈η′.〉 Ὑπόδειγμα ἀναγκαῖο ν . Ἔστω ἐπὶ ὑποδείγματος γένεσις οὕτω ἔχουσα. Ἥλιος Ἀφροδίτη Καρκίνῳ, Σελήνη ὡροσκόπος Ἰχθύσιν, 〈Κρόνοσ〉 πανσέληνος Τοξότῃ, Ζεὺς 〈Αἰγόκερῳ〉, Ἄρης Σκορπίῳ, Ἑρμῆς Λέοντι, ὁ κλῆρος τῆς τύχης Λέοντι, ὁ Δαίμων Σκορπίῳ· ζητῶ δὲ ἔτος ο′. ἀπέλυσα τοὺς μὲν σωματικοὺς χρόνους ἀπὸ Λέοντος, δοὺς αὐτῷ πρώτῳ Λέοντι ἔτη ιθ′· εἶτα Παρθένῳ ἔτη κ′, εἶτα Ζυγῷ ἔτη η′, εἶτα Σκορπίῳ ἔτη ιε′· γίνεται ἔτη ξβ′. ἐν τούτοις πολλοὺς μὲν κλιμακτῆρας ἔσχε καὶ ἀπὸ ὕψους πτώσεις καὶ μελῶν θραύσεις. καὶ ἑξῆς τὰ λοιπὰ ἔτη η′ ἀπὸ Τοξότου ἐπικειμένου Κρόνου παρ’ αἵρεσιν· ἐν τούτοις καὶ ναυάγια καὶ σωματικὰς ὀχλήσεις ὑπέμεινεν. τὴν δὲ αἰτίαν τοῦ πάθους ἀπὸ τοῦ ζῳδίου, ἔνθα εὑρίσκεται ὁ κύριος τοῦ κλήρου διοδεύων, λαμβάνομεν· οἷον ὁ κλῆρος Λέοντι, ὁ κύριος τοῦ Λέοντος Ἥλιος εὑρέθη ἐν τῷ Καρκίνῳ· σημαίνει δὲ ὁ Καρκίνος στῆθος καὶ στόμαχον· τὴν αἰτίαν οὖν τοῦ πάθους λέγομεν γεγενῆσθαι ἀπὸ τοῦ Καρκίνου. τοὺς ἐπιμερισμοὺς γὰρ λαμβάνει τῶν ἐτῶν καὶ ἀνὰ τξ′ ἡμέρας ποιεῖ· τὰς γὰρ ε′ δ′ κατ’ ἴδιον ψηφίζων προστίθει τοῖς ἔτεσι. ἔδωκεν οὖν τῷ Τοξότῃ ἐνιαυτόν· Αἰγόκερῳ ἔτη β′ μῆνας γ′· Ὑδροχόῳ ἔτη β′ μῆνας ϛ′· Ἰχθύσιν ἐνιαυτόν· εἶτα Κριῷ τὰ λοιπὰ εἰς συμπλήρωσιν τῶν θ′ ἐτῶν. Ἄρης οὖν τῶν σωματικῶν χρόνων κυριεύσας ἀπὸ Τοξότου παραλαβὼν Κρόνου ἐπικειμένου τῷ Τοξότῃ τέλος ἐπήγαγεν· ἐτελεύτα δὲ προσινωθεὶς στόμαχον καὶ βηχὸς προπειραθείς· ἦν γὰρ καὶ ὁ θανατικὸς τόπος Ἰχθύσι Σελήνης ἐπικειμένης καὶ Κρόνου καθυπερτεροῦντος, ἐξ οὗ ἡ δυναστεία.

168 ἄλλως τε καὶ αὐτὸς ὁ κύριος τῆς πανσελήνου Κρόνος ἀπόστροφος γενόμενος τὸ εἶδος τῆς βιαιοθανασίας ἐπήγαγε. τὸ δὲ σίνος τοῦ στομάχου καὶ βηχός, ἐπεὶ ὁ κύριος τοῦ κλήρου Ἥλιος ἐν Καρκίνῳ εὑρέθη· ὁ δὲ Καρκίνος στῆθος καὶ στόμαχον δηλοῖ. τοὺς δὲ πρακτικοὺς χρόνους ἐποιησάμην ἀπὸ Σκορπίου αὐτῷ τῷ Ἄρει δοὺς ἔτη ιε′, εἶτα Τοξότῃ ιβ′ ἐπικειμένου Κρόνου· ἕως ἐτῶν κζ′ ἀνώμαλος ἀλήτης γέγονεν. ὑπὸ δὲ ἐπιτρόπων ἱκανὸς βίος αὐτοῦ ἀνηλώθη· ἦν γὰρ καὶ ὁ περιποιητικὸς Διδύμοις καὶ οὐδεὶς τῶν ἀγαθοποιῶν ἐπεθεώρησε, μόνος δὲ Κρόνος ἠναντιώθη. εἶτα ἑξῆς Αἰγόκερως παρέλαβεν ἐπὶ ἔτη κζ′, Διὸς ἐπικειμένου καὶ ἀγαθοδαιμονοῦντος, ἀκρονύκτου δὲ ὑπὸ Ἡλίου καὶ Ἀφροδίτης θεωρουμένου· καὶ ὅλην μὲν

τὴν χρονογραφίαν ἔμπρακτον κατήγαγε καὶ δημοσίας καὶ βασιλικὰς πράξεις ἐπιστεύθη καὶ γέγονεν ἡγεμόνων καὶ βασιλέων φίλος καὶ ἐκτήσατο πολλὰ ὁμολογουμένως, ἐναντιώματα δὲ καὶ ἀνωμαλίας κατὰ καιρὸν ὑπομένων κατὰ τὰς τῶν κακοποιῶν παραλήψεις ἢ ἐπιμαρτυρίας, ἀπαράμονον δὲ τὴν κτῆσιν διὰ τὸ ἀφαιρετικὸν εὑρῆσθαι τὸν Δία καὶ ἰδίῳ ταπεινώματι. μετὰ δὲ τὸν Αἰγόκερω παραλαβόντος τοὺς χρόνους Ὑδροχόου Ἄρεος καὶ Ἑρμοῦ μαρτυροῦντος τῶν ἀγαθοποιῶν ἀποστρόφων ὄντων αὐτὸς μὲν τῶν πράξεων ἐπαύσατο, πολλὰ δὲ ἀφελῶς πιστεύσας ἀπώλεσεν, οἰκείοις δὲ καὶ δούλοις τὰς πίστεις ἐνεχείρησεν, ὧν δι’ ἀμέλειαν καὶ σπάνιν χρεωστίαις περιπεσὼν ἔκπτωτος εὑρέθη διὰ τὸ καὶ τὴν καθολικὴν ὑπόστασιν οὕτω φέρειν. αὐτὸς οὖν Ὑδροχόος ἔλαβεν ἔτη β′ μῆνας ς′, εἶτα Ζεὺς ἐνιαυτὸν α′, εἶτα Ἄρης ἐνιαυτὸν καὶ μῆνας γ′, εἶτα Ἀφροδίτη μῆνας η′, εἶτα Ἑρμῆς ἐνιαυτὸν α′ μῆνας η′· ἔκτοτε εἰς μείωσιν πολλὴν ἐχώρει τὰ πράγματα· εἶθ’ ἑξῆς Σελήνη παρέλαβε ἔτη β′ μῆνα α′· ἐν τούτοις ἔδοξέν τινα ἀπειληφέναι τὰ προπεπιστευμένα καὶ [εἰς] φίλων βοηθείας τετευχέναι. εἶτα ὁμοίως ἔλαβεν ὁ Ἥλιος ἐνιαυτὸν α′ μῆνας ζ′ ἐν Λέοντι καὶ Ἑρμῆς Παρθένῳ ἐνιαυτὸν α′ μῆνας η′· κακοποιῶν οὖν μαρτυρησάντων τοῖς τόποις καὶ τῷ Ἑρμῇ ἐν τούτοις τοῖς χρόνοις καθηρέθη· καὶ γὰρ ὁ κλῆρος ἐν ἀποκλίσει εὑρέθη καὶ ὁ κύριος τοῦ τριγώνου τῆς Σελήνης Ἄρης.

169 μετὰ δὲ τὸν τοῦ Ἑρμοῦ ἔλαβεν Ἀφροδίτη μῆνας η′, ἑξῆς Ἄρης ἐνιαυτὸν μῆνας γ′, εἶτα Τοξότης ἐνιαυτὸν α′· καὶ τὸ τέλος ἐγένετο. 〈θ′.〉 Περὶ κοσμικοῦ ἐνιαυτοῦ καὶ τοῦ πρὸς τὴν διαίρεσιν ἐνιαυτο ῦ , πόσων ἑκάτερος ἡμερῶν ἐστι καὶ πῶς δεῖ λογίζεσθα ι . Ἐπεὶ δὲ ὁ μὲν κοσμικὸς ἐνιαυτός ἐστιν ἡμερῶν 〈τ〉 ξε′ δ′, πρὸς δὲ τὴν διαίρεσιν ὁ ἐνιαυτὸς λζ′, τὰς ἀνὰ ε′ ἑκάστου ἔτους ἀφαιροῦντες καὶ τὸ τέταρτον τῶν ἐνιαυτῶν καὶ συναγαγόντες τὰ ἔτη τότε τὰς διαιρέσεις ποιησόμεθα· οὕτως γὰρ καὶ ἐπὶ τῆς προκειμένης γενέσεως ἐλογισάμεθα. οἷον ἔστω τινὰ κατὰ γένεσιν λγ′ ἔτη κατάγειν, γεγενῆσθαι δὲ Τυβὶ ιε′, ζητεῖν δὲ τοῦ λγ′ ἔτους Μεσωρὶ κ′. ἔλαβον τῶν λ′ ἐτῶν τὰς ἀνὰ ε′· γίγνονται ρν′· καὶ τῶν δύο τῶν πλήρων ι′ καὶ τὸ τέταρτον τῶν λβ′· γίνονται η′· γίνονται ὁμοῦ ρξη′. εἶτα ἔλαβον ἀπὸ τῆς ιε′ τοῦ Τυβὶ ἕως ἧς ζητοῦμεν ἡμέρας Μεσωρὶ κ′· γίνονται σιε′· ταύτας προσέθηκα ταῖς ρξη′· γεγόνασι τπγ′· ἐκ τούτων ἀφαιρῶ τξ′· λοιπαὶ κγ′. ἔσται οὖν ἡ γένεσις κατάγουσα ἔτη κατὰ τὴν διαίρεσιν πλήρη λγ′ καὶ ἡμέρας κγ′· ταῦτα τὰ ἔτη καὶ τὰς ἡμέρας ἐν τῇ τῶν χρόνων ἀφέσει ποιοῦμαι. 〈ι′.〉 Περὶ μερισμοῦ ἐτῶν καὶ μηνῶν καὶ ἡμερῶν πλειόνων καὶ ἐλαττόνων καὶ ὡρῶν ἑκάστου ἀστέρος καὶ τούτων χρήσεις εἰς τὰς γενέσει ς . Καθάπερ δὲ ἑκάστης περιόδου τὸ ιβ′ τῶν ἐτῶν λαβόντες ἐπιγνωσόμεθα, πόσας ἕκαστος ἡμέρας μερίζει. οἷον ἐπεὶ ὁ Κριὸς μερίζει ἔτη ιε′, τούτων τὸ ιβ′ εἰσὶ μῆνες ιε′· ὁμοίως τούτων τὸ ιβ′ ἡμέραι λζ′ ἥμισυ· καὶ πάλιν τούτων τὸ ιβ′ ἡμέραι γ′ ὧραι γ′. ταῦτα μερίζειν κατὰ τὸν ἐπιβάλλοντα χρόνον. καὶ τῶν ἄλλων ἀστέρων ὁ ἐπιμερισμὸς οὕτως εὑρεθήσεται, οἷον ἐάν τις τῇ διαιρέσει προσέχῃ καὶ πρὸς καθολικοὺς χρόνους καὶ ἐνιαυσιαίους καὶ μηνιαίους καὶ πρὸς ἡμέρας καὶ ὥρας εὕρῃ. λεπτομερέστερον οὖν ὑποτάξομεν τὰ ἐπιβάλλοντα ἑκάστῳ ἀστέρι πρὸς τὸ μὴ πλέκεσθαι τοὺς ἐντυγχάνοντας.

170 οἷον Ἥλιος ἔτη ιθ′ μῆνας ιθ′ ἡμέρας μζ′ ἥμισυ ἡμέρας γ′ ὥρας κγ′. Σελήνη ἔτη κε′ μῆνας κε′ ἡμέρας ξβ′ ἥμισυ ἡμέρας ε′ ὥρας ε′. Κρόνος ἔτη λ′ μῆνας λ′ ἡμέρας ο〈ε′〉 ἡμέρας ς′ ὥρας ς′. Αἰγόκερως ἔτη κζ′ μῆνας κζ′ ἡμέρας ξζ′ ἥμισυ ἡμέρας ε′ ὥρας 〈ι〉 ε′. Ζεὺς ἔτη ιβ′ μῆνας ιβ′ ἡμέρας λ′ ἡμέρας β′ ὥρας ιβ′. Ἄρης ἔτη ιε′ μῆνας ιε′ ἡμέρας λζ′ ἥμισυ ἡμέρας γ′ ὥρας γ′. Ἀφροδίτη ἔτη η′ μῆνας η′ ἡμέρας κ′ ἡμέραν α′ ὥρας ις′. Ἑρμῆς ἔτη κ′ μῆνας κ′ ἡμέρας ν′ ἡμέρας δ′ ὥρας δ′. Ἐπὰν οὖν εὕρωμεν γένεσιν ἐτῶν ν′ ἢ ξ′, τὴν ἄφεσιν τῶν ἐτῶν ποιησόμεθα ἀπὸ κλήρου τύχης ἢ δαίμονος ζῳδιακῶς, διδόντες ἑκάστῳ τὴν περίοδον τῶν ἐτῶν ἐφ’ ὅσον δύναται ὑπακούειν· εἶτα μῆνας δώσομεν, εἶτα ἡμέρας καὶ ὥρας. ἐὰν δὲ νηπίου ἡ γένεσις εὑρεθῇ, ἀπὸ τῆς ἀφέσεως πρῶτον ὥρας μεριοῦμεν, εἶτα ἡμέρας εἶτα μῆνας. Οἷον ἔστω ὑποδείγματος χάριν Ἥλιος Ἑρμῆς Αἰγοκέρωτι, Κρόνος Ζεὺς Λέοντι, Ἄρης Ἀφροδίτη Ὑδροχόῳ, Σελήνη Διδύμοις,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὡροσκόπος Λέοντι, ὁ κλῆρος τῆς τύχης Ἰχθύσιν, ὁ τοῦ δαίμονος Αἰγοκέρωτι· ἔνθεν καὶ ἡ ἄφεσις ἔστω τῆς τύχης ἀπὸ Ἰχθύων. ζητεῖν τοῦ τετάρτου ἔτους Μεσωρὶ ις′ σὺν ταῖς ἀνὰ ε′ ἑκάστου ἔτους. ἐπεὶ οὖν τοῖς Ἰχθύσι τὰ ιβ′ οὐδέπω ἐμέρισε, δέδωκα αὐτοῖς ἔτος α′, εἶτα Κριῷ ἔτος α′ μῆνας γ′, Ταύρῳ μῆνας η′· γίνεται ἔτη β′ μῆνες ια′. εἶθ’ ἑξῆς δώσει Ἑρμῇ ἔτος α′ μῆνας η′ ἕως συμπληρώσεως τῶν τεσσάρων ἐτῶν καὶ μηνῶν ζ′· οὐδέπω δ’ ἡ γένεσις πεπλήρωκε τοῦτον τὸν χρόνον. ἔστω οὖν χρονοκράτωρ Ἑρμῆς ἤδη ἔχων μῆνας η′ ἡμέρας ιε′· γίνονται ἡμέραι σνε′· ταύτας δέον ἐπιμερίσαι κατὰ τὸ ἑξῆς· ἐξ ὧν ἑαυτῷ πρῶτον Ἑρμῆς τουτέστι τοῖς Διδύμοις ἔδωκεν ἡμέρας ν′, εἶτα Καρκίνῳ ἡμέρας ξβ′ ἥμισυ, εἶτα Λέοντι ἡμέρας μζ′ ἥμισυ, εἶτα Παρθένῳ ν′, εἶτα Ζυγῷ κ′· γίνονται ἡμέραι σλ′· λοιπαὶ ἡμέραι κε′. ταύτας Ἄρης ἕξει ἐν Σκορπίῳ ἐκ τῶν τῆς Ἀφροδίτης ἡμερῶν καὶ μέχρι συμπληρώσεως τῶν λζ′ ἥμισυ· τὰς οὖν κε′ ἡμέρας ὁ Ἄρης ἐπιμερίσει τοῖς ἑξῆς· πρῶτον δὲ ἑαυτῷ ἡμέρας γ′ ὥρας γ′, εἶτα Τοξότῃ ἡμέρας β′ ἥμισυ, εἶτα Αἰγόκερῳ ἡμέρας ε′ ὥρας ιε′, εἶτα Ὑδροχόῳ ἡμέρας ϛ′ ὥρας ϛ′, εἶτα Ἰχθύσι ἡμέρας β′ ἥμισυ· Κριῷ ἡμέρας γ′ ὥρας λ′, Ταύρῳ εἰς συμπλήρωσιν τῶν κε′ ἡμερῶν τὰς λοιπάς. καθολικὸς οὖν κοσμοκράτωρ Ζεύς, δεύτερος Ἑρμῆς ἀπὸ Διὸς παραλαβών, τρίτος Ἄρης ἀπὸ Ἑρμοῦ, τετάρτη Ἀφροδίτη ἀπὸ Ἄρεος.

171 σκοπεῖν οὖν δεήσει τούτους ἐπὶ γενέσεως, πῶς εἰσι κείμενοι καὶ πῶς πρὸς ἀλλήλους σχηματίζονται, καὶ οὕτως ἀποφαίνεσθαι. Τινὲς μὲν οὖν καὶ τὰς ἡμέρας κατὰ τὸ τρίγωνον ἐπιμερίζουσιν· ὅθεν ἐπί τινων γενέσεων καθολικὸς μὲν εὑρεθεὶς ἀγαθοποιὸς κοσμοκράτωρ ἢ καὶ Ἥλιος ἢ καὶ Σελήνη δόξαν καὶ ἡγεμονίαν περιεποίησεν ἢ καὶ ἀρχὰς ἐπισήμους καὶ ὠφελείας καὶ συστάσεις μειζόνων. ἐν οἷς χρόνοις κατ’ ἐπιμερισμὸν κακοποιὸς παραλαβὼν τὴν ἐπιδιαίρεσιν ἀσθενείας σωματικὰς ἢ καὶ κινδύνους ἐποίησεν ἢ καὶ ἄλλως ἡμέρας παραλαβὼν καὶ ἐναντιωθεὶς τῷ καθολικῷ χρονοκράτορι ἢ ἀνοικείως σχηματισθεὶς κατὰ γένεσιν καὶ κατὰ πάροδον ταραχὰς καὶ φόβους καὶ ζημίας κατεσκεύασε. καὶ ἐὰν μὲν ὁ καθολικὸς χρονοκράτωρ ἐπὶ γενέσεως κακῶς τύχῃ κείμενος ἢ ὑπὸ κακοποιῶν κατοπτευόμενος, ἐν ταῖς τούτων κατ’ ἐπιδιαίρεσιν ἡμέραις καθαιρεθήσονται ἢ κινδυνεύσουσιν ἢ ἐναντία γενήσονται. ἐὰν δὲ τούτων παραλαβόντων ὁ καθολικὸς χρονοκράτωρ ἐν χρηματιστικοῖς ζῳδίοις εὑρεθῇ ὑπὸ ἀγαθοποιῶν μαρτυρούμενος παροδικῶς, ἐπισκυλέντες τῷ βίῳ καὶ τῇ δόξῃ ἄπταιστοι διαμενοῦσι. δεῖ δὲ καὶ ἐπὶ τῶν ἡμερησίων διαιρέσεων συνδέσμου λύσιν μετὰ τὸ συμπληρωθῆναι τοῦ κύκλου ἡμέρας φκη′ τὰς λοιπὰς ἐν τῷ διαμέτρῳ τῆς ἀφέσεως ποιεῖσθαι ἐφεξῆς· ὡσαύτως δὲ καὶ ἐπὶ τῶν κατὰ λεπτομέρειαν ἡμερῶν καὶ ὡρῶν μετὰ τὸ συμπληρωθῆναι τοῦ κύκλου ἡμέρας μδ′ τὰς λοιπὰς ἐκ τοῦ διαμέτρου κατὰ τὸ ἑξῆς ἀπολύειν. 〈ια′.〉 Περὶ ἐνιαυτοῦ χρηματιστικοῦ καὶ μερικῆς ἀγωγῆ ς . Τῶν καθολικῶν καὶ χρονικῶν διαιρέσεων κατ’ οἰκειότητα οὕτως διατεταγμένων νῦν καὶ περὶ ἐνιαυτοῦ χρηματιστικοῦ καὶ τῆς τούτων ἀκολουθίας λεκτέον. ὀλίγα δέ τινα πρότερον εἰπεῖν πρὸς τοὺς τὰ τοιαῦτα γεγραφότας ἀναγκαῖον. οἱ πολλοὶ τὴν τῶν χρόνων διαίρεσιν ποικίλως καὶ ἐπιφθόνως ἐκθέμενοι οὐδεμίαν ἀληθείας αἵρεσιν παρέδωκαν, ἱκαναῖς δ’ ἀγωγαῖς τὸν τόπον καθείρξαντες πλάνην μεγίστην καὶ ἀΐδιον ζήτησιν τοῖς ἐντυγχάνουσι κατέλιπον. τινὲς μὲν γὰρ ἀπειρίᾳ ἐνεχθέντες διὰ τῆς τῶν λόγων ὕλης ψευδεῖς αἱρέσεις εἰσενεγκάμενοι ἐξηπάτησαν πολλούς, ἕτεροι δὲ τὴν δύναμιν τῆς πραγματείας ἰδόντες καὶ τὰς ἀρχὰς ἐκθέμενοι τὰς ἐπιλύσεις οὐκ ἐποιήσαντο διὰ τὸν φθόνον.

172 ἡμεῖς δὲ πολλὴν μὲν χώραν διοδεύσαντες καὶ τὴν Αἴγυπτον διελθόντες διδασκάλοις φιλαργύροις περιπεσόντες τὰς μὲν τῶν χρημάτων δόσεις ἐποιησάμεθα διὰ τὴν περὶ τὸ ἔργον ἐπιθυμίαν, τῆς δ’ ἀληθείας μὴ τυγχάνοντες ἐγκρατέστερον καὶ αὐτάρκη ἑλόμενοι βίον περὶ ἕτερα ἠσχολήμεθα. ἐπεὶ δὲ τὸ πρόβλημα τῶν πλείστων καὶ μαθημάτων καὶ τῶν καθολικῶν χρόνων διαίρεσις ἀνθεῖλκον ἡμᾶς καὶ μείζω τὴν ἐπιθυμίαν κατεσκεύαζον, ἀνάγκῃ τὴν ἐπιμονὴν ἐποιούμεθα. διαβολῆς δὲ γενομένης περὶ τὰς καθολικὰς τῶν διαιρέσεων ἀγωγάς, αἷς

τινες μὲν ἐχρήσαντο πρὸς τὰς τῶν ὁρίων ἀκολουθίας, ἕτεροι δὲ πρὸς τὰς μικρὰς περιόδους, οἱ δὲ πρὸς τὰ δωδεκατημόρια, ἃ συνάγεται ἔτη ι′ καὶ μῆνες θ′, ἄλλοι δὲ πρὸς τὰ ὑψώματα, αἱ δὲ τούτων ἐπιδιαιρέσεις τὰς ἐκβάσεις ψευδεῖς ἐσήμαινον—ἔδοξεν καὶ ἡμῖν αἴσχιστον ὑπάρχειν διορίζεσθαι ἀποτέλεσμα ἔτεσι β′ ἢ ι′ ἢ ζ′, ἀλλὰ ζητῆσαι μεριστικοὺς καὶ ἐνιαυσιαίους χρόνους. καὶ δὴ πολὺν μὲν χρόνον ἀνιαρῶς διήγομεν καὶ ἐπιλύπως τὰς μεταβολὰς τῶν τόπων ποιούμενοι τοῖς περὶ τὰ τοιαῦτα ἐσπουδακόσι συμμίσγοντες διάπειραν ἐλαμβάνομεν, μέχρις οὗ τὸ δαιμόνιον βουληθὲν διά τινος προνοίας τὴν παράδοσιν ἔν τινι τόπῳ πεποίηται διά τινος φιλομαθοῦς ἀνδρός. ἀρχὴν οὖν λαβόμενοι καὶ πολὺν πόνον εἰσενεγκάμενοι κατελαβόμεθα τοῦ σκοποῦ, ὃν καὶ ἐκτησάμεθα ἐπεισενεγκάμενοι καὶ αὐτοὶ πολλὰς δυνάμεων εὐχρηστίας. ἐκ γὰρ τῆς καθημερινῆς τριβῆς καὶ πολυάνδρου συμβολῆς καὶ τῆς τῶν παθῶν αὐτοψίας ἱερὰν μὲν καὶ ἀθάνατον τὴν θεωρίαν ἐκρίναμεν, ἄφθονον δὲ τὴν μετάδοσιν ποιησόμεθα, ἐπειδὴ δοκεῖ συνεκτικώτατον κεφάλαιον παρὰ τὰ λοιπὰ ὑπάρχειν. τούτου γὰρ ἄνευθεν οὐδὲν οὔτε ἔστιν οὔτε ἔσται· ἀρχὴν γὰρ καὶ τέλος ἔχει προγινωσκόμενον. Ὁρκίζω σε, ἀδελφέ μου τιμιώτατε, καὶ τοὺς μυσταγωγουμένους ταύτῃ τῇ συντάξει οὐρανοῦ μὲν ἀστέριον κύτος καὶ κύκλον δυοκαιδεκάζῳδον Ἥλιόν τε καὶ Σελήνην καὶ τοὺς πέντε πλανήτας ἀστέρας, δι’ ὧν ὁ πᾶς βίος ἡνιοχεῖται, αὐτήν τε τὴν πρόνοιαν καὶ τὴν ἱερὰν ἀνάγκην, ἐν ἀποκρύφοις ταῦτα συντηρῆσαι καὶ μὴ μεταδοῦναι τοῖς ἀπαιδεύτοις, εἰ μὴ τοῖς ἀξίοις καὶ δυναμένοις διαφυλάσσειν καὶ ἀμείβεσθαι δικαίως, αὐτῷ τε ἐμοὶ Οὐάλεντι τῷ εἰσηγησαμένῳ ἀείμνηστον καὶ ἀγαθὴν φήμην ἀπονέμειν, καὶ μάλιστα ἐπιγνόντας τὸ ἄφθονον καὶ τὸ τῆς ἀληθείας μέρος ὡς ὑπὸ οὐδενὸς ἀνδρὸς ἐπιλελυμένον αὐτὸς ἐφώτισα, μηδὲ παρέντας τὸ ἐμὸν ὄνομα ἑτέρους ἐπεισφέρειν ταύτῃ τῇ συντάξει μηδὲ λωβῆσαί τι τῶν προγεγραμμένων ἢ μελλόντων λέγεσθαι πρὸς τὸ ἀθετῆσαι τοὺς ἐντυγχάνοντας καί μοι ψόγον ἐπενέγκαι.

173 καὶ ταῦτα μὲν διαφυλάσσουσιν οἱ προειρημένοι θεοὶ πάντες εὐμενεῖς ἔσοιντο καὶ βίος εὐσταθὴς καὶ καταθύμιος λογισμῶν συντέλεια, ἐπιορκοῦσι δὲ τὰ ἐναντία, μήτε γῆ βατὴ μήτε θάλασσα πλωτὴ μήτε τέκνων σπορά, τυφλός τε νοῦς καὶ πεπεδημένος ὑπάρχων ἀσχήμονα βίον καὶ ἀνεπίτευκτον ἀγαθῶν ἐπάγοι. ἐὰν δέ τις καὶ μετὰ θάνατόν ἐστι κακῶν τε καὶ καλῶν ἀμοιβή, κἀκεῖ τῶν ὁμοίων μεταλάβοιεν. ὅθεν 〈εἰ〉 καὶ μετὰ τὴν ἐπίγνωσίν τις τῆς ἐνθάδε διδασκαλίας ἐν ἑτέρῳ συντάγματι αἰνιγματωδῶς εὕροι προκειμένην τὴν αἵρεσιν, οὐκ ἐκείνῳ δεῖ ἐγκώμιον ἀπονέμειν, ἀλλὰ ἡμῖν χάριν ὁμολογεῖν ὡς οὐ μόνον προμηνυταῖς ἀλλὰ καὶ εὑρεταῖς πολλῶν γενομένοις καὶ συγκοσμήσασι τὴν αἵρεσιν· καὶ γὰρ πολλοὶ ἀφθόνως τινὰ παραλαμβάνοντες μετὰ φθόνου συνέταξαν. διὸ προτρέπομαι τοὺς μάλιστα ἐντυγχάνοντας ταύτῃ τῇ συντάξει καὶ εἰς ἀθάνατον χῶρον εἰσερχομένους ἐπί τινας χρόνους καὶ θεῶν χορείας καὶ μυστήρια κατοπτεύσαντας ἰσόθεον δόξαν ἐπαναιρουμένους ἀποτίθεσθαι μὲν τὰς πολλὰς τῶν αἱρέσεων καὶ βίβλων ἀγωγάς, ἐγγυμνασθέντας δὲ τῇ πινακικῇ καὶ φυσικῇ τῶν ἀστέρων καὶ ζῳδίων θεωρίᾳ καὶ τῶν πρὸς τὰ φαινόμενα κανόνων πραγματείᾳ ταύταις ταῖς ἀγωγαῖς προσέχειν καὶ ταῖς προσυντεταγμέναις· καὶ πρὸς μὲν μοιρικὴν διάκρισιν μοιρικῶς τοὺς ἀστέρας συνορᾶν, πρὸς δὲ ζῳδιακὴν ὁμοίως, ἵνα καὶ τὸ λεγόμενον μετ’ ἀληθείας λέγηται. πολλάκις γὰρ αὐτὸς ἐγὼ κατελαβόμην κατὰ μὲν τὴν τῶν ἐκβάσεων χρονογραφίαν ἐν ἑτέροις ζῳδίοις ὄντας τοὺς ἀστέρας καὶ κατὰ τὰ φαινόμενα ἐν ἑτέροις, καὶ μάλιστα ὅταν ἐν ἀρχῇ ἢ ἐπὶ τέλει τῶν ζῳδίων ὦσιν, ὁμοίως δὲ καὶ ἐν τοῖς στηριγμοῖς καὶ ἐν ταῖς ἀκρωνυχίαις διαπταίοντας. δεῖ οὖν ἀκριβῶς ἐπιγνόντας, ἐν ποίοις τε εἰσὶ ζῳδίοις ἢ μοίραις, καὶ μάλιστα τὸν ὡροσκόπον τὴν διάκρισιν ποιεῖσθαι. Ἀρχὴ δὲ τῆς ὑφηγήσεως ἔστω ἐντεῦθεν.

174 τὰ καταγόμενα ἔτη τῆς γενέσεως σκοπήσαντες ἐκκρούομεν ὁσάκις δυνάμεθα δωδεκάδας, τὸν δὲ περιλειπόμενον ἀριθμὸν ἐπὶ τὸν δυνάμενον παραλαβεῖν ἀποδόντες ἐπιγνωσόμεθα, τίνι παραδίδωσι τὸ ἔτος. τὸ δὲ λεχθὲν σύντομον μὲν ἔχει τὴν κατάληψιν, τὴν δὲ διάκρισιν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ποικίλην. πάντες οὖν οἱ ἀστέρες καὶ ὁ ὡροσκόπος καὶ Ἥλιος καὶ Σελήνη παραδώσουσιν ἀλλήλοις καὶ ἀντιπαραλήψονται. ἔστω δὲ ἐπὶ ὑποδείγματος, ἵνα σοφωτέραν τὴν εἴσοδον ποιησώμεθα, Ἥλιος Ἑρμῆς Ὑδροχόῳ, Σελήνη Σκορπίῳ, Κρόνος Καρκίνῳ, Ζεὺς Ζυγῷ, Ἀφροδίτη Αἰγόκερῳ, Ἄρης ὡροσκόπος Παρθένῳ· ζητοῦμεν ἔτος λε′. ἀφεῖλον δωδεκάδας δύο, ἅ ἐστιν κδ′· λοιπὰ ια′· λογιζόμεθα οὖν τὰ ια′ ἀπὸ ποίου ἀστέρος ἐπὶ ποῖον φθάνει· εὕρομεν οὖν ἀπὸ τοῦ ὡροσκόπου καὶ Ἄρεος ἐπὶ Κρόνον ἐν Καρκίνῳ καὶ πάλιν ἀπὸ Σελήνης ἐπὶ Ἄρεα τὰ ια′ καὶ ἀπὸ Ἀφροδίτης ἐπὶ Σελήνην. αὗται πᾶσαι αἱ παραδόσεις ἐνεργοῦσιν ἐν τῷ λε′ ἔτει· καὶ καθ’ ἣν ἕκαστος τῶν ἀστέρων ἀποτελέσματος δύναμιν ἔχει, ἀποτελέσει ἤτοι ἀγαθὴν ἢ φαύλην ἐν ταῖς παραδόσεσιν, ἃς ἐν τῷ προϊόντι λόγῳ σημανοῦμεν. Συγκρίνειν οὖν δεῖ καὶ ὁπόταν πολλαὶ παραδόσεις γένωνται, πότερον αἱ τῶν ἀγαθοποιῶν ἢ τῶν κακοποιῶν πλεονάζουσι, κἀκείνοις τὸ βραβεῖον ἀπονέμειν· ἐὰν δὲ ἐξ ἴσου, ἀνώμαλον καὶ ποικίλον τὸ ἔτος κριθήσεται. καθολικῶς μὲν οὖν ἐπὶ πάσης γενέσεως δεήσει ἀπὸ Ἡλίου καὶ Σελήνης καὶ ὡροσκόπου διεκβάλλειν τοὺς ἐνιαυτούς, καὶ ἐὰν εἰς κενοὺς τόπους ἐκπέσωσι, τοῖς κυρίοις τῶν ζῳδίων ἔσονται παραδεδωκότες. αὗται αἱ τρεῖς ψῆφοι πολλὴν δύναμιν ἔχουσι, πότερον εἰς ἀγαθοποιοὺς ἡ παράδοσις γέγονεν ἢ εἰς κακοποιοὺς ἢ καὶ εἰς ἐπικέντρους ἢ χρηματιστικοὺς τόπους ἢ ἐκκέντρους. εἶθ’ οὕτως σκοπεῖν καὶ τὴν τῶν ἄλλων ἀστέρων παράδοσιν· ἐὰν γὰρ κακοποιοὶ τὸ ἔτος διακρατῶσιν, αἱ δὲ τρεῖς ἀφέσεις ἀγαθοποιΐας δύναμιν ἔχωσιν, ἔστι μὲν τὸ ἔτος πρακτικὸν καὶ ἐπίσημον, μετὰ δέ τινος ἀμφιλογίας καὶ φόβων καὶ σκυλμῶν. ἐὰν δὲ μηδεὶς τῶν ἀστέρων ἀστέρι παραδώσῃ, ἀλλ’ εἰς κενοὺς τόπους ἡ διαίρεσις φέρηται, δεῖ καὶ τοῖς κενοῖς τόποις προσέχειν· καὶ μάλιστα ἐὰν κατ’ ἐπέμβασιν ἐπῶσί τινες, παραλήψονται· καὶ ἀπὸ τοῦ κλήρου τῆς τύχης δεῖ ἐκβάλλειν καὶ ἀπὸ τοῦ δαίμονος καὶ ἔρωτος καὶ ἀνάγκης· ἐκ τούτων γὰρ καὶ τὰ καιρικὰ πάθη καὶ αἱ εὐεργεσίαι καὶ οἱ κίνδυνοι παραλαμβάνονται. φυσικώτερον δὲ καὶ ἀπὸ τῶν κέντρων δεῖ ἐκβάλλειν· καθάπερ γὰρ καὶ ἐπὶ τῶν καθολικῶν καὶ κοσμικῶν, εὑρίσκεται τὸ ὅμοιον καὶ ἐπὶ τῶν ἀνθρώπων.

175 ἐκ γὰρ τῆς τοῦ κυνὸς ἐπιτολῆς τὸ ἔτος καὶ τὰ δ′ κέντρα ἀνακυκλεῖται διὰ τῆς τετραετηρίδος, πλὴν ἐν διαφόροις οἱ ἐνιαυτοὶ γίνονται παρὰ τὰς τῶν ἀστέρων σχηματογραφίας καὶ φάσεις καὶ τὰς κατὰ καιρὸν ἐπεμβάσεις. ὁμοίως δὲ καὶ ὁ Ἥλιος τετραγωνίσας ποιεῖ κινήσεις μεγίστην ἐλαχίστην δύο μέσας καὶ τὸν κύκλον διὰ δ′ τροπῶν διευθύνει· ἔστι δὲ καὶ Σελήνης σχήματα φυσικὰ δ′, σύνοδος διχότομος πανσέληνος διχότομος β′· καὶ αὐτὸ δὲ τὸ κοσμικὸν καὶ ἐπίγειον κατάστημα ἐκ δ′ στοιχείων καὶ ἐκ δ′ ἀνέμων συνέστηκεν. εἰ οὖν ταῦτα οὕτως ἔχει, ἀναγκαῖον καὶ ἐπὶ τῶν γενέσεων τὰ δ′ κέντρα χρηματίζειν καὶ ἀπολύειν ἀπ’ αὐτῶν τοὺς ἐνιαυτοὺς καὶ συγκρίνειν τούς τε κατὰ γένεσιν ἀστέρας καὶ τὰ ἰδιώματα τῶν κέντρων καὶ τῶν ζῳδίων. δεῖ δὲ καὶ τὴν κοσμικὴν σύνοδον προγινώσκειν καὶ τὴν τοῦ κυνὸς ἐπιτολὴν καὶ τὴν ὥραν, εἰ τροπικῶς ὡροσκοπεῖ, καὶ τὸν τῆς τοῦ κυνὸς ἀνατολῆς κύριον· οὕτως γὰρ καθολικὸς ὁ τοῦ ἔτους οἰκοδεσπότης κριθήσεται, κυκλικοὶ δὲ οἱ τῶν τόπων κύριοι. ὁμοίως δὲ καὶ ἐπὶ ἑκάστης γενέσεως καὶ ἀντιγενέσεως καθολικὸς μὲν ὁ τοῦ ἔτους κύριος, κυκλικὸς δὲ ὁ τῶν συνόδων ἢ πανσελήνων. δεῖ οὖν συγκρίνειν, εἰ ὁ καθολικὸς καὶ κοσμικὸς τῷ τῆς γενέσεως καθολικῷ προσοικείωται ἢ ὁ αὐτός ἐστιν, ὁμοίως δὲ καὶ εἰ οἱ κοσμικοὶ κυκλικοὶ τῆς γενέσεως σύμφωνοι ἢ οἱ αὐτοί. πρὸς ἐπὶ τούτοις δὲ καὶ τὰς ἐκλείψεις παρατηρητέον, ἐν ποίοις τόποις τῆς γενέσεως γεγόνασιν, ἤτοι χρηματιστικοῖς ἢ ἀχρηματίστοις, ἔτι δὲ καὶ τὰς ἀνατολὰς καὶ τὰς φάσεις τῶν ἀστέρων· ἐκ γὰρ τούτων καὶ ἐπίσημοι γενέσεις καὶ ἡγεμονικαὶ καὶ βασιλικαὶ τὴν διάκρισιν καὶ τὴν μεταβολὴν τῆς πράξεως ἢ καὶ τῆς δόξης ἕξουσι, μεγάλα τε καὶ θαυμαστὰ ἀποτελέσματα συμβαίνειν εἴωθεν, τινὰ μὲν εἰς ἀνυπέρβλητον τύχην ὑψούμενα, τινὰ δὲ εἰς ταπεινὴν καὶ εὐκαθαίρετον τύχην χωροῦντα. Ὅθεν μή τις ἡμᾶς δόξῃ πολυλογεῖν ἢ διαπλέκειν τὴν αἵρεσιν, ἀλλὰ δι’ ἀσφάλειαν ταῦτα αὐτὰ ποιεῖν, ἵνα ἄπταιστος ἡ διαίρεσις γένηται εἴς τε τὰς λαμπρὰς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ τὰς μετρίας γενέσεις. ἄλλως τε ἐπὰν ζητῶμεν περὶ ζωῆς ἢ σωματικῶν πράξεων ἢ ψυχικῶν, ἀπὸ τοῦ ὡροσκόπου διεκβαλοῦμεν· ἐπὰν δὲ περὶ δόξης καὶ προεδρίας καὶ φαντασίας καὶ πατρὸς καὶ μειζόνων προσώπων καὶ ὅσα ποτὲ ἡ φύσις τοῦ Ἡλίου εἴωθεν ἀποτελεῖν, ἀπ' αὐτοῦ τὴν ἄφεσιν τῶν ἐτῶν ποιησόμεθα· ὅταν δὲ περὶ σωματικῶν κινδύνων καὶ παθῶν καὶ αἱμαγμῶν ἢ μητρός, ἀπὸ Σελήνης· ἐπὰν δὲ περὶ πράξεως καὶ βίου καὶ τέχνης, ἀπὸ τοῦ μεσουρανήματος· ὅταν δὲ περὶ εὐτυχίας καὶ περιποιήσεως τοῦ βίου, ἀπὸ τοῦ κλήρου τῆς τύχης· ὅταν δὲ περὶ θανατικῶν ἢ μεταβολῆς ἢ σκυλμῶν, ἀπὸ τοῦ δυτικοῦ· ὅταν δὲ περὶ θεμελίων ἢ κτημάτων ἢ ἀποκρύφων ἢ περὶ νεκρικῶν, ἀπὸ τοῦ ὑπογείου· ὅταν δὲ περὶ γυναικὸς ἢ ἐπιπλοκῆς ἢ συνηθείας ἢ εἰδῶν γυναικείων, ἀπὸ τῆς Ἀφροδίτης· ὅταν δὲ περὶ στρατείας ἢ δημοσίων πραγμάτων, ἀπὸ Ἄρεως· ὅταν δὲ περὶ ἀνασκευῆς πραγμάτων ἢ κτήσεως ἢ παθῶν ἀποκρύφων ἢ κληρονομίας πατρικῶν, ἀπὸ Κρόνου· περὶ δὲ δόξης καὶ φιλίας καὶ συστάσεως καὶ κτήσεως ἀπὸ τοῦ Διός· ὅταν δὲ περὶ κοινωνίας ἢ δουλικῶν ἢ σωματικῶν ἢ δόσεως ἢ λήψεως ἢ γραπτῶν, ἀπὸ Ἑρμοῦ.

176 καὶ ταῦτα μὲν ὡς πρὸς μονοειδεῖς παραδόσεις ἢ παραλήψεις· ἐπὰν δὲ δύο ἢ τρεῖς ἢ πλείους παραδιδόντες ἢ παραλαμβάνοντες τύχωσιν, ἑκάστου ἀστέρος τὴν δύναμιν δεῖ συνεπικρίνειν πρὸς τοὺς παρόντας. κατὰ γὰρ τὴν ἐξ ἀρχῆς ἑκάστης γενέσεως ὑπόστασιν οἵ τε ἀγαθοποιοὶ καὶ οἱ κακοποιοὶ ἀποτελεστικοὶ γενήσονται, καὶ ὅπερ εἶχεν σχῆμα καθολικὸν ἕκαστος πρὸς τὸν ἐπιμαρτυροῦντα ἢ συσχηματιζόμενον, τὸ ὅμοιον ἀποτελέσει παραλαβὼν παρ' ἐκείνου τοὺς χρόνους ἢ καὶ αὐτὸς παραδεδωκώς. Ἵνα δὲ ἀκριβὴς καὶ ἐνεργεστέρα ἡ παράδοσις ἡμῶν ὀφθῇ, παραγγελίας τινὰς καὶ νόμους ἐκθησόμεθα, οὓς φυλάσσοντες εὐκατάληπτον τὴν αἵρεσιν ἕξομεν. πρότερον μὲν οὖν χρὴ σκοπεῖν, εἰ ἀπὸ ἐπικέντρων τόπων εἰς ἐπικέντρους ἡ παράδοσις γένηται ἢ ἀπὸ τοῦ ἀγαθοῦ δαίμονος εἰς τὸν κλῆρον ἢ χρηματιστικὸν τόπον, ἵνα καὶ τὸ σημαινόμενον πρακτικὸν ἢ ἔνδοξον ᾖ, εἴτ' οὖν καὶ ἀπὸ τῶν ἀποκλιμάτων εἰς τὰ κέντρα ἢ καὶ ἀπὸ κακοῦ δαίμονος ἐπ' ἀγαθὸν δαίμονα. χρηματιστικὰ μὲν οὖν καὶ ἐνεργητικὰ ζῴδιά ἐστιν ὡροσκόπος [ἢ] μεσουράνημα ἀγαθὸς δαίμων ἀγαθὴ τύχη κλῆρος τύχης δαίμων ἔρως ἀνάγκη, μέσα δὲ θεὸς θεὰ καὶ τὰ λοιπὰ δύο κέντρα, μέτρια δὲ καὶ κακωτικὰ τὰ λοιπά. παρὰ δὲ τοὺς ἐπόντας ἢ μαρτυροῦντας ἀγαθοποιοὺς ἢ κακοποιοὺς ἡ τῶν τόπων δύναμις ἐξασθενεῖ ἢ καὶ ἐνεργεστέρα καθίσταται· ἡ μέντοι κακὴ τύχη τοῦ κακοῦ δαίμονος δοκεῖ βελτίων εἶναι, καθ' ὃ τριγωνικὸν σχῆμα πρὸς τὸ μεσουράνημα κέκτηται. ἐὰν δέ πως ἐπὶ γενέσεως μία παράδοσις εὑρεθῇ πάντων τῶν ἀστέρων ἐν ἑνὶ ζῳδίῳ τετευχότων, παραδώσουσι μὲν αὐτοὶ ζῳδιακῶς· ὃ ἐὰν δὲ ἡ σύγκρασις καθολικῶς δηλοῖ ἐπὶ τῆς γενέσεως, ἐκεῖνο καὶ μεθέξει δὴ παντός· ἐὰν δὲ ἐν ἑνὶ ζῳδίῳ εὑρεθῶσιν γʹ ἢ δʹ ἀστέρες, ἐν ἑτέρῳ δὲ εἷς ἢ δύο, ὁ πρῶτος καθυπερτερῶν μοιρικῶς πρότερον καὶ μεριεῖ τοὺς χρόνους· τουτέστι προτέρως ὁ πλείστας ἔχων μοίρας παραλαμβάνει καὶ τότε οἱ ἐφεξῆς· τὸ δ' ὅμοιον καὶ οἱ παραλαμβάνοντες.

177 ποικίλης δὲ τῆς διαιρέσεως οὔσης ἐάν τις προσέχῃ οὐ διαμαρτήσει. ἐπεὶ γὰρ δὴ δωδεκαετίας αἱ αὐταὶ παραδόσεις σημαίνονται, οὐ τὴν αὐτὴν ἐνέργειαν τῶν ἀποτελεσμάτων ἐφέξουσιν ἀλλὰ διάφορον. ὅταν ἐπί τινος κύκλου παράδοσιν ἤτοι ἀφ' ἑνὸς ἢ πλειόνων εὕρωμεν, σκοποῦμεν κατ' ἐκεῖνο τὸ ἔτος τὴν ἀντιγένεσιν καὶ τὰς ἐπεμβάσεις τῶν ἀστέρων εἰ ὅμοιον σχῆμα ἔχωσιν, ὁποῖον καὶ ἐπὶ γενέσεως, ἢ πρὸς τοὺς παραδιδόντας ἢ παραλαμβάνοντας, καὶ εἰ τὰς αὐτὰς φάσεις πρὸς τὸν Ἥλιον ποιοῦνται. ἐὰν γὰρ οὕτως εὕρωμεν, λέγομεν καὶ τὸ ἀποτέλεσμα βέβαιον. εἰ δὲ ἀλλότριον καὶ ἀνόμοιον, οὐκέτι ὁλοτελές· ἃ μὲν γὰρ καθολικῶς γίνεται ἃ δὲ μοιρικῶς. οἷον ἐὰν Κρόνου καὶ Διός τις καθολικοὺς χρόνους κατάγῃ καλῶς κειμένων, συμπέσῃ δὲ ἐν τούτῳ τῷ κύκλῳ τὸν αὐτὸν κατάγειν τοὺς χρόνους, κληρονομήσει ἢ ἀπὸ νεκρικῶν εὐεργετηθήσεται. ἐὰν δὲ τὸ δεύτερον ἢ τρίτον κύκλον *** Κρόνου καὶ Διὸς ἐπικρατούντων τὸ ἔτος, οὐ κεῖνται δὲ καθολικῶς, κληρονόμος μὲν οὐκ ἔσται, κατάλειψις δὲ καὶ διὰ νεκρικῆς

ὠφελείας ἢ τοιαῦται προσδοκίαι ἢ καὶ ἀγορασμοὶ κτημάτων θεμελίων καὶ ἑτέρας ἐπικτήσεως. ὁμοίως δὲ καὶ τὰ ἄλλα ἐν τοῖς καθολικοῖς χρόνοις κατὰ τὸν τῆς δωδεκαετίας κύκλον βέβαια τὰ ἀποτελέσματα γενήσονται, ἐξ ὑστέρου δὲ ἢ πρότερον οὐδαμῶς, πλὴν εἰ τὰς ἐννοίας τῶν ἀποτελεσμάτων οἱ ἀστέρες ἐνδείξονται. Οἷον ἔστω τινὰ τῷ πρώτῳ κύκλῳ γεγαμηκέναι τῆς γενέσεως καταγούσης ἔτος λδʹ· δεῖ γὰρ κατὰ τὰς ἡλικίας καὶ τὰ ἀποτελέσματα συγκρίνειν· τῷ ἑτέρῳ κύκλῳ περὶ συνηθείας ἢ καὶ ἑτέρου γάμου ἢ ὅσα ποτὲ γυναιξὶν ἀνῆκε τὴν φροντίδα ποιήσει. ἕτερος δὲ ἐστρατεύσατο· πάλιν τῆς αὐτῆς παραδόσεως γενομένης περὶ προκοπῆς ἢ μεταβολῆς ἢ στρατιωτικῆς πράξεως ἐνεργήσει.

178 ἐὰν οὖν καὶ ἡ καθολικὴ ὑπόστασις προκοπτικὴ τυγχάνῃ, κατ' ἐκείνους τοὺς καιροὺς προκόψει μάλιστα, ἐὰν ἀγαθοποιοὶ διακρατῶσι· μεγάλης δὲ τῆς γενέσεως οὔσης καὶ ἡγεμονεύσει ἢ ἐπιτροπεύσει ἢ ἐξουσιαστικῆς τάξεως μεθέξει. κατὰ δὲ τὴν ἀκολουθίαν τῆς γενέσεως συναρμόζεσθαι δεῖ τὰ ἀποτελέσματα. ἕτερός τις ἐτέκνωσε κατά τινας χρόνους· τῆς αὐτῆς παραδόσεως γενομένης καὶ τῆς ἀκμῆς ἢ τῆς ἡλικίας ἐπιτρεπούσης πάλιν τέκνωσιν ἢ σωμάτων ἀγορασμὸν ποιήσεται ἢ ἀναθρέψει τινὰς ἐν τέκνων μοίραις ἢ καὶ ἀλλοτρίων τέκνων φροντίδα ποιήσεται. ἄλλος δέ τις ἐν ἀρχῇ καὶ προστασίᾳ ὄχλων ἐγένετο· τῆς αὐτῆς χρονογραφίας γενομένης καὶ τῆς γενέσεως καλὴν ὑπόστασιν ἐχούσης μεγάλας τὰς ἀρχὰς καὶ ἐπισήμους ἀναδέξεται, μετρίας δ' οὔσης μετὰ τῶν τοιούτων ἀναστρέψει ἢ φαντασίαν ἕξει ἀρχῆς ἢ προεδρίας. ὁμοίως τις ἐν καταδίκῃ ἢ συνοχῇ ἐγένετο· τῆς αὐτῆς παραδόσεως γενομένης ἀγαθοποιῶν μὲν ἐπιμαρτυρησάντων τῆς συνοχῆς ἢ αἰτίας ἀπαλλαγήσεται, κακοποιῶν δὲ διά τινα κακουργοτέραν ἐγχείρησιν ἢ κατηγορίαν ἐπίφθονον τῇ αἰτίᾳ ἐπιμενεῖ ἢ καὶ χειρόνως διάξει. καὶ τὰ λοιπὰ δέ, ὅσα ποτὲ ἐν βίῳ συντελούμενα τυγχάνει, γενήσεται κατὰ τὰς παραδόσεις, ἐνδιάφορα δὲ διὰ τὰς καθολικὰς χρονογραφίας καὶ τὰς ἀντιγενέσεις καὶ τὰς ἐπεμβάσεις καὶ φάσεις τῶν ἀστέρων τάς τε πρὸς ἑκάτερον ἀνομοίους σχηματογραφίας. ἐπὰν γὰρ ἐπεμβῶσιν οἱ κατὰ καιρὸν ἀστέρες ἐπὶ τοὺς παραδιδόντας κατὰ γένεσιν ἢ παραλαμβάνοντας ἢ εἰς τὰ κέντρα, ἐκ τῆς ἰδίας φύσεως συνεπιμερίζουσι καὶ αὐτοὶ ἤτοι ἀγαθὸν ἢ φαῦλον ἢ καὶ ἐνεργέστερον τὸ ἀποτέλεσμα ἢ κωλυτικὸν ποιήσουσι. τὸ δὲ βέβαιον κρινοῦμεν, ὅταν σύμφωνον σχῆμα ὁ κατ' ἐπέμβασιν πρὸς τὸν παραδιδόντα ἔχῃ ἢ οἱ αὐτοὶ οἱ παραδιδόντες τοῖς παραλαμβάνουσιν *** ὅμοιον σχῆμα οἷον καὶ ἐπὶ γενέσεως. εἰ δὲ τὰ χρονικὰ ἄλλο τι σημαίνοιεν, ὁ δὲ ἐνιαυτὸς καὶ ἡ ἐπέμβασις ἄλλο, μεσότης τῶν τελουμένων ἔσται. καθολικῶς δὲ πᾶς ἀστὴρ ἐν τῇ παραδόσει ἢ τῇ παραλήψει δύνων ἄπρακτος καὶ κωλυτικὸς καθίσταται· καὶ ἐὰν ἀγαθοποιὸς εὑρεθῇ, φαντασίας μόνον παρέχει· ἐὰν δέ πως καὶ αἱ τρεῖς ἀφέσεις Ἡλίου καὶ Σελήνης καὶ ὡροσκόπου ἀνόμοια σημαίνοιεν, ποικίλον ἔσται τὸ ἔτος. πολλάκις μὲν οὖν ἐπὶ τῆς αὐτῆς αἱρέσεως παραδόσεως μὴ οὔσης οἱ καθολικοὶ χρόνοι μεγάλα καὶ ἐπίσημα ἀποτελέσματα ἐμήνυσαν· ὅθεν τὴν ἀρχὴν ἐκεῖθεν λαβόντας τότε ἐπὶ τοὺς ἐνιαυσιαίους χρόνους δεῖ χωρεῖν. Ἐπεὶ δέ τινες τῶν συνταγματογράφων ᾐνίξαντο τὴν προκειμένην αἵρεσιν, οἱ δὲ μέλλοντες ἐντυγχάνειν τῇδέ μου τῇ συντάξει μνησθήσονται κατ' ἀρχὰς ὡς μηδεμιᾶς τινος ἐπεξειργασμένης ἀγωγῆς, ἀναγκαῖον καὶ τὰς κλεῖδας ἐπιδεῖξαι, δι' ὧν ἡ παράδοσις κατὰ τὸ εἶδος τοῦ ἀποτελέσματος ἐνεργεστέρα γενομένη θαυμαστὸν ὅσον ἀποτελεῖ· ἐὰν οὖν τις νηπτικῶς προσέχῃ τοῖς μέλλουσι λέγεσθαι τόποις ἐν ταῖς παραδόσεσι διὰ τῆς συγκρατικῆς θεωρίας τῆς τε τοῦ ἀστέρος καὶ τοῦ ζῳδίου ἐνεργείας, ἄπταιστος διαμενεῖ.

179 〈ιβʹ.〉 Περὶ τῶν ὀνομασιῶν τῶν ιβʹ τόπων καὶ περὶ τῆς δωδεκατρόπο υ . Ἀρχὴ δὲ ἔστω ἀπὸ τοῦ ὡροσκόπου, ὅς ἐστι ζωὴ οἴαξ σῶμα πνεῦμα· βʹ βίος, Ἅιδου πύλη, κατάσκιον δόσις λῆψις κοινωνία, γυναικὸς ἐπιπλοκή, συναλλαγὴ πρᾶξις, ἐκ νεκρικῶν ὠφέλεια, διαθήκης τόπος. γʹ ἀδελφοὶ ξενιτεία βασιλεία ἐξουσία φίλοι συγγενεῖς ἐπικαρδία δοῦλοι. δʹ δόξα τέκνα, γυνὴ ἰδία καὶ πρεσβύτερα πρόσωπα, πρᾶξις πόλις οἰκία κτήματα μοναὶ μετατροπαὶ μεταβολαὶ τόπων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κίνδυνοι θάνατος συνοχὴ μυστικὰ πράγματα. ε′ τέκνων τόπος φιλίας κοινωνίας σωμάτων ἀπελευθέρων ἐκποιήσεως ἀγαθοῦ τινος ἢ εὐεργεσίας. ς′ δούλων σίνους ἔχθρας πάθους ἀσθενείας *** . η′ θανάτου νεκρῶν ὠφελείας, ἀργὸς τόπος, δίκης ἀσθενείας. θ′ φιλίας ἀποδημίας ξένων ὠφελείας θεοῦ βασιλέως δυνάστου ἀστρονομίας χρηματισμῶν, θεῶν ἐπιφανείας, μαντείας, μυστικῶν ἢ ἀποκρύφων πραγμάτων κοινωνίας. ι′ πράξεως δόξης προκοπῆς τέκνων γυναικὸς μεταβολῆς καινισμοῦ πραγμάτων. ια′ φίλων ἐλπίδων δωρεᾶς τέκνων σωμάτων ἀπελευθέρων. ιβ′ ξένης ἔχθρας δούλων σίνους κινδύνων κριτηρίων πάθους θανάτου ἀσθενείας. Ἕκαστος μὲν οὖν τόπος καθὸ σημαίνει ἰδίως ἀποτελέσει, συνεργήσει δὲ καὶ ἡ τοῦ διαμετροῦντος τόπου φύσις. ἐπὰν οὖν παράδοσις ἐνιαυτοῦ εὑρεθῇ, σκοποῦμεν ἐπὶ ποίου τόπου ὁ παραδιδοὺς τυγχάνει καὶ ἐπὶ ποίου ὁ παραλαμβάνων κατὰ τὴν προκειμένην δωδεκάτροπον, καὶ κατὰ τὴν οἰκειότητα τοῦ ζῳδίου καὶ τοῦ τόπου τὸ ἀποτέλεσμα ἀποφαινόμεθα, τῆς παραδόσεως τῶν ἀστέρων ἰδίαν ἀποτελεσμάτων δύναμιν ἐχούσης, ἣν ἐν τῷ τέλει τῶν διαιρέσεων τάξομεν.

180 οἷον ἐὰν Κρόνος ἢ Ἄρης ἐπὶ τοῦ ὡροσκόπου ὄντες παράδοσιν ἢ παράληψιν ποιήσωνται, ἐροῦμεν κατʼ ἐκεῖνο τὸ ἔτος σωματικὴν ὄχλησιν ἢ κίνδυνον ἢ αἱμαγμόν· ἐὰν δὲ ἐν τῷ ζ′ ἀπὸ ὡροσκόπου, παρατροπὴν διὰ γυναῖκα ἢ κίνδυνον γυναικὸς ἢ διὰ γάμον ἐπιταράχους αἰτίας· ἐὰν δὲ ἐν τῷ θ′ ἀπὸ ὡροσκόπου, ξενιτείαν ἐπισφαλῆ καὶ ἐπὶ ξένης σκυλμὸν ἢ ἀπὸ ξένων προδοσίας· ἐὰν δὲ ἐν τῷ ιβ′, διὰ δούλους λύπην ἢ ἐχθρῶν ἐπαναστάσεις· ἢ ὅσα ἕκαστος τόπος ἀποτελεῖ, περὶ ἐκεῖνα ὁ ἀστὴρ ἐνεργήσει. ἐὰν δὲ ἀγαθοποιοὶ ἐπῶσι τοῖς τόποις, ἀγαθόν τι σημαίνουσιν, οἷον δόξας ὠφελείας ἀγορασμοὺς καταθυμίους ξενιτείας· κατὰ δὲ τοὺς παραλαμβάνοντας καὶ ἐπιμαρτυροῦντας τοῖς τόποις καὶ αἱ διακρίσεις ἔσονται, πλὴν ἔκ τε τοῦ παραδιδόντος καὶ τοῦ παραλαμβάνοντος καὶ τῶν τόπων τὸ εἶδος τοῦ ἀποτελέσματος καὶ ἡ ἔκβασις τῶν πραγμάτων κριθήσεται. προβλέπειν δὲ δεῖ καὶ τὸν κύριον τοῦ παραδιδόντος ἢ παραλαμβάνοντος, ἐν ὁποίῳ ζῳδίῳ τέτευχε· καὶ οὗτος γὰρ ἐνεργήσει 〈καὶ〉 πρὸς τὸ εἶδος καὶ τὸ ἀποτέλεσμα ἔσται. τὸ δὲ δεύτερον ζῴδιον τὸ ἀπὸ ὡροσκόπου καὶ τὸ η′ ἀργὸν καὶ θανατικὸν κριθήσεται· ἐν τούτοις παράδοσις ἢ παράληψις ὅταν γένηται, ἐκ θανατικῶν προφάσεων ὠφελοῦνται, καὶ μάλιστα ὅταν ἀγαθοποιοὶ ἐπῶσιν ἢ μαρτυρῶσι, μείζονες ὠφέλειαι γενήσονται· εἰ δὲ καὶ κακοποιοί, κρίσεις ἀμφιλογίαι ἔσονται ἕνεκα τῆς καταλείψεως καὶ ἐπικίνδυνον τὸ ἔτος καὶ ἐπίλωβον ἢ ἄπρακτον. ἔσθʼ ὅτε μὲν οὖν τῶν κακοποιῶν μόνων ἐπόντων ἢ σὺν Ἡλίῳ ἢ Σελήνῃ ἢ Ἑρμῇ, καὶ φονικὰ ἐγκλήματα ἀναλαμβάνουσι καὶ καθʼ ἑαυτῶν κινδυνῶδές τι μηχανῶνται. ἐὰν δὲ καὶ ὁ τῆς Ἀφροδίτης ἐπῇ ἢ μαρτυρῇ, ἕνεκα φαρμακείας ἐπιταράσσονται ἢ ὡς ἐπίβουλοι διαβάλλονται. πλὴν θανάτου καὶ καταλείψεως δηλωτικοὶ οἱ τόποι τοῦ Κρόνου, κατὰ τὴν πρὸς Δία παράδοσιν κληρονομίας καὶ ὠφελείας ἐκ νεκρῶν ἀποτελοῦντες· ἐὰν οὖν καὶ αὕτη ἡ παράδοσις συνδράμῃ τῇ πρώτῃ χρονογραφίᾳ, ἀπαραβάτως κληρονομίαι καὶ μεγάλαι ὠφέλειαι ἔσονται κατὰ τὴν τῆς γενέσεως ὑπόστασιν. ἐὰν δὲ τῆς διαιρέσεως οὔσης ἐν ταῖς Ἅιδου πύλαις τύχῃ ἡ αὐτὴ παράδοσις ἀπὸ Κρόνου καὶ εἰς Διὸς οἶκον, κληρονομία ἔσται. ἐὰν δὲ κατὰ μόνας ἡ παράδοσις ἔλθῃ, καὶ ὠφέλεια ἀπὸ νεκρικῶν· ὁμοίως δὲ κἂν ἐν τῷ αὐτῷ ζῳδίῳ ὄντες Κρόνος καὶ Ζεὺς παράδοσιν ἢ παράληψιν ποιήσωνται.

181 ἀπὸ ἀγαθοῦ δαίμονος ἢ ἀγαθῆς τύχης ἢ κλήρου ἐὰν γένηται παράδοσις ἀγαθοποιῶν ἐπόντων, ἔσονται κληρονομίαι ἢ δωρεὰ ἢ ἀγαθοῦ τινος πρόφασις. ἐὰν δέ πως οἱ θανατικοὶ τόποι τοῖς ἀποκλίμασι τὴν παράδοσιν ποιήσωνται ἢ καὶ τὰ ἀποκλίματα τοῖς θανατικοῖς, ἐπὶ ξένης ἢ ἀπὸ ξένης θάνατόν τινος ἀκούσονται· τὰ γὰρ δ′ ἀποκλίματα ξένων καὶ δούλων τόπον σημαίνουσιν. ὁμοίως δὲ καὶ οἱ Δίδυμοι καὶ ὁ Τοξότης καθολικῶς ἐπὶ πάσης γενέσεως τὸν περὶ δούλων τόπον σημαίνουσι διὰ τὸ κοσμικόν· ὡροσκοποῦντος γὰρ Καρκίνου ὁ περὶ δούλων ἐν τούτοις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καταλήγει. ἐὰν οὖν ἐν ἑτέρῳ τις ζῳδίῳ τὸν περὶ δούλων τόπον ἔχῃ, ἐν δὲ τούτοις εὑρεθῶσι κακοποιοί, ἀπὸ δούλων ταραχὰς καὶ ἀδικίας ὑπομενοῦσιν, ἔτι δὲ καὶ ζημίας καὶ θανάτους καὶ δρασμούς, καὶ μάλιστα τοῦ Κρόνου γενομένου κατὰ τούσδε τοὺς τόπους· ἐὰν δὲ ἀγαθοποιοὶ ἐπῶσιν, εὐνοηθήσονται καὶ ἐκ τῶν τοιούτων ὠφελείας παραδέξονται καὶ αὐτοὶ δὲ εὐεργέται εἰς αὐτοὺς γενήσονται ἢ καί τινας ἀναθρέψουσιν ἐν τέκνων μοίραις. τὸ αὐτὸ δὲ καὶ ἐπὶ τῶν λοιπῶν ἀποκλιμάτων νοείσθω. 〈ιγʹ.〉 Περὶ τῆς ἀπὸ ὑψώματος εἰς ὕψωμα παραδόσεω ς . Ἀπὸ δὲ ὑψώματος εἰς ὕψωμα παράδοσις γινομένη ἀγαθοποιῶν ἐπόντων ἢ μαρτυρούντων δοξαστικὴ καὶ ἐπωφελής, καὶ μάλιστα ἐὰν ἰδίῳ τόπῳ ὦσιν οἱ κύριοι. ὁμοίως δὲ καὶ ἀπὸ ἰδίων οἴκων εἰς ὑψώματα παραδιδόντες ἢ καὶ ἀπὸ ὑψωμάτων εἰς οἴκους τῶν κυρίων ἐπόντων ἐνεργέστερα τὰ ἀποτελέσματα καὶ ἐπίδοξα δηλοῦσιν· ἀπὸ δὲ ταπεινωμάτων εἰς ταπεινώματα παραδιδόντες μέτριοι καὶ ἀνώμαλοι γίνονται. Κρόνος δὲ ἢ Ἄρης οἰκείως σχηματισθέντες καὶ ἀπὸ ἰδίων οἴκων ἢ ὑψωμάτων ἢ καὶ χρηματιστικῶν τόπων παραδιδόντες καὶ παραλαμβάνοντες μεγάλας εὐεργεσίας καὶ δόξας ἀποτελοῦσιν. ὁ μὲν οὖν τοῦ Κρόνου κληρονομίας, ἐγγείων κτημάτων, θεμελίων ἐπικαρπίας διοικήσεως παρεκτικὸς καὶ μυστικῆς ἐγχειρήσεως καὶ παλαιῶν πραγμάτων κατορθωτικός, ὁ δὲ τοῦ Ἄρεος ἡγεμονικός. τηρούντων δὲ τῶν ἀγαθοποιῶν καὶ Ἡλίου καὶ Σελήνης οἰκείως ἐσχηματισμένων πρὸς αὐτοὺς μεγάλας τὰς προφανείας καὶ ὠφελίμους ἀποτελοῦσιν. ἀπόντων δὲ τῶν ἀγαθῶν καὶ τῶν φώτων ἐναντιουμένων καὶ ἀνοικείως ἐσχηματισμένων, Ἑρμοῦ δὲ παρεμπλεκομένου κατηγορίας καὶ ἐναντιώματα καὶ μεγάλους κινδύνους καὶ ἐπιβουλὰς καὶ θορύβους καὶ καθαιρέσεις ἐπάγουσιν.

182 ἐὰν δέ πως ἐπ’ ἀλλοτρίων ὑψωμάτων ἢ ἰδίων ἀνοικείως παράδοσιν ἢ παράληψιν ποιήσωνται, ἀπὸ ὕψους ἢ τετραπόδων καταρριπτοῦσι τραύμασί τε καὶ αἱμαγμοῖς ἢ ἐπικινδύνοις νόσοις περιτρέπουσιν ἐμπρησμοῖς τε ἢ ναυαγίοις περιτρέπουσι· τῆς δὲ γενέσεως βοηθουμένης καὶ ὑπόστασιν χρόνων ἐχούσης τῷ βίῳ καθαιροῦσιν ἢ τῇ δόξῃ. παρατηρητέον οὖν, 〈εἰ〉 οἱ τῆς αἱρέσεως ἡμερινῆς ἢ νυκτερινῆς ὄντες τοῖς λοιποῖς σχηματίζονται· ἐνεργέστεροι γὰρ πρὸς τὸ ἀγαθὸν καὶ αὐτοὶ ὑπάρχουσι τῶν λοιπῶν ἀστέρων καὶ κατὰ τὰς οἰκείας παραδόσεις ἢ ἐπεμβάσεις μεγάλων ἀγαθῶν αἴτιοι καθίστανται· εἰ δὲ ἄλλως, κωλυτικοὶ καὶ ἐγκοπτικοὶ δόξης καὶ ὠφελείας. κατὰ τοῦτο δὲ κακοποιοὶ ὠνομάσθησαν, ἐπεὶ ζωῆς παραιρέται εἰσί, πρὸς δὲ τὰ λοιπὰ εὐεργετικοί· ἐπεὶ καὶ ὁ τοῦ Διὸς καὶ ὁ τῆς Ἀφροδίτης ἐν ταῖς παραδόσεσιν ἢ ἐπεμβάσεσι δυτικοὶ καταλαμβανόμενοι ἢ ἀνοικείως ἢ παραπεπτωκότες ἐπιτάραχον τὸν χρόνον καὶ δύσπρακτον καὶ ὑπερθετικὸν ἀποτελοῦσι καὶ τῶν προσδοκωμένων ἐλπίδων ἢ ὠφελειῶν παραιρέται γίνονται, πρὸς ἐπὶ τούτοις δὲ καὶ ζημίας ἐπάγουσι καὶ ψυχικὰς βασάνους καὶ ἐν τοῖς διαπρασσομένοις κακίσεις. 〈ιδʹ.〉 Περὶ φάσεως τῶν ἀστέρων καὶ ἐπεμβάσεω ς . Καθολικῶς οὖν ἐπὶ πάντων τῶν ἀστέρων παρατηρητέον· ἐπὰν γὰρ ἀνατολικοὶ εὑρεθῶσι παραδιδόντες ἢ παραλαμβάνοντες καὶ τοῦ ἔτους κυριεύοντες ἢ τῶν καθολικῶν χρόνων, κατὰ δὲ τὴν ἐπέμβασιν εἰς τοὺς χρηματιστικοὺς τόπους γένωνται καὶ τὴν ἀνατολὴν ποιήσωνται, προφανῶς τὰς πράξεις ἀποτελοῦσι· ἡ γὰρ δύναμις αὐτῶν τότε διεγείρεται καὶ κατὰ τὴν ἰδίαν φύσιν ἕκαστος τὸ ἴδιον ἀποτελεῖ. ὁποίας γὰρ δυνάμεως καὶ ἀποτελέσματος κυριεύει κατὰ γένεσιν ἢ ὃ δηλοῖ ὁ ἐνιαυτὸς ἐφ’ οὗ ἐστι ζῳδίου, ἐκείνου ἐνεργήσει τὸ ἀποτέλεσμα. ἐὰν δὲ τὸν πρῶτον στηριγμὸν ἐπέχωσι καὶ ἀναποδιστικοὶ εὑρεθῶσι, τά τε προσδοκώμενα καὶ τὰ πράγματα καὶ τὰς ὠφελείας καὶ τὰς ἐγχειρήσεις ἐν ὑπερθέσει ποιοῦσιν. ὁμοίως δὲ καὶ ἐν ταῖς ἀκρωνυχίαις ἀσθενέστεροι καὶ ἐμποδιστικοὶ γενήσονται, φαντασίας μόνον καὶ ἐλπίδας προδεικνύντες.

183 εἰ δέ πως τὸ δεύτερον στηρίζοιεν, τὰς μὲν ὑπερθέσεις διεκλύουσι καὶ εἰς τὰς αὐτὰς πράξεις ἀποκαθιστῶσι καὶ εἰς εὐστάθειαν καὶ κατόρθωσιν τοῦ βίου ἄγουσιν· ἐὰν δὲ ὑπὸ δύσιν φέρωνται, ἐγκοπὰς καὶ λύπας ἐν τοῖς διαπρασσομένοις ἐπάγουσιν, ἔτι δὲ καὶ σωματικοὺς κινδύνους καὶ ἀσθενείας καὶ κρυπτῶν τόπων πόνους. πολλάκις δὲ καὶ δόξας ἢ μεγάλας ἐλπίδας

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προδείξαντες ἐπὶ τὸ χεῖρον ἐτράπησαν. ἐπὰν οὖν κακοποιοῦ τι κατὰ γένεσιν ἀποτελοῦντος καὶ τὸν ἐνιαυτὸν ἔχοντος κατ’ ἐπέμβασιν κακοποιὸς ἐπεμβῇ, ἐπίτασιν τοῦ κακοῦ ποιήσεται· εἰ δὲ ἀγαθοποιός, παρηγορίαν τινὰ καὶ βοήθειαν. τὸ ὅμοιον δὲ καὶ ἐπὶ τῶν ἀγαθοποιῶν νοείσθω· ἐπὶ πάσης δὲ γενέσεως ἐξαιρέτως ὁ τοῦ Διὸς ἀστὴρ κατ’ ἐπέμβασιν γενόμενος ἐπὶ τοὺς ἐνιαυτοὺς ἢ τὰ τούτων τετράγωνα ἢ διάμετρα καλῶς μὲν ὄντων τῶν χρόνων ἢ ἐν χρηματιστικοῖς τόποις μεγάλας εὐεργεσίας καὶ δόξας ἀποτελεῖ, καὶ μάλιστα ἀνατολικὸς γενόμενος μᾶλλον ἐπισχύσει τῶν δοκούντων ἐπικρατεῖν τοὺς χρόνους· κακῶν δὲ ὄντων καὶ αὐτὸς κατ’ ἐπέμβασιν γενόμενος ἀσθενέστερος γενήσεται καὶ τὰς εὐεργεσίας καὶ δόξας ὑπερθέμενος μετέωρος γενήσεται· εἰ δὲ ἀνατολικὸς τύχῃ, μετρίως παρηγορήσει ἢ ὠφελήσει. 〈ιε′.〉 Περὶ τρίτου καὶ ἐνάτου τόπου ἀπὸ ὡροσκόπο υ . Ὁ γ′ ἢ ὁ θ′ τόπος ἀπὸ ὡροσκόπου παραδιδοὺς ἢ παραλαμβάνων ἀγαθοποιῶν ἐπόντων ξενιτείας ἐπ’ ἀγαθῷ ἀποτελεῖ ἢ ἐπὶ ξένης ἢ ἀπὸ ξένων πράξεις καὶ συστάσεις ἀποτελοῦσι· κἂν δισώματος ὁ τόπος τύχῃ, πλειστάκις ὠφεληθήσονται ἢ πολλὰ ξενιτεύσουσι. τινὲς μὲν οὖν ἐν τούτοις τοῖς τόποις χρηματίζονται ἀπὸ θεοῦ καὶ τὰ μέλλοντα προγινώσκουσι καὶ θεῷ ἐκθυσίας ἢ εὐχὰς ἢ ἀναθήματα κατασκευάζουσι, τινὲς δὲ καὶ διὰ θεοῦ πρόνοιαν ἀσθένειαν ἢ συνοχὴν ἢ αἰτίαν ἢ πάθος ἢ κίνδυνον [οἱ] ἐκφυγόντες θεῷ εὐχαριστοῦσιν. ὑποστάσεως δὲ μεγάλης οὔσης καὶ τῶν καθολικῶν χρόνων συνεπισχυόντων ἀπὸ βασιλέως δωρεὰς λαμβάνουσι καὶ πίστεις ἡγεμονικὰς ἢ ἐξουσίας, ἢ πραγμάτων καὶ αἰτίας διὰ βασιλικῆς τύχης ἐκπλοκὴν ποιησάμενοι ἐπίδοξοι καθίστανται· οἱ δὲ καὶ ναοῦς ἢ ἱερὰ ἢ βασιλέων τύπους κατασκευάσαντες ἀείμνηστον φήμην ἀναλαμβάνουσι. κακοποιῶν δὲ ἐπόντων ἢ μαρτυρούντων τοῖς τόποις ἐπηρεάζονται ἐπὶ ξένης καὶ ζημίαις ἢ ἐνδείαις περιπίπτουσι καὶ οὐ διευθύνουσι κατὰ τὴν ξένην, πλάναις δὲ καὶ κινδύνοις περιτρέπονται καὶ ὡς ἀπὸ θεοῦ μῆνιν ἔχοντες διατελοῦσι μεμφόμενοι τὴν ἰδίαν εἱμαρμένην.

184 τινὲς δὲ καὶ κατ’ ἐκείνους τοὺς χρόνους ἀρνοῦνται τὰ θεῖα καὶ ἑτεροσεβοῦσι ἢ ἀθεμιτοφαγοῦσιν· οἱ δὲ καὶ ἐν προγνώσει γίνονται καὶ χρησμοδοσίαις ἢ μαντείαις ἢ ὡς μανιώδεις διαλαμβάνονται· οἱ δὲ καὶ ἐν μείζονι τύχῃ καὶ δόξῃ καθεστῶτες ἀπὸ ξένης ἢ ἀπὸ ξένων ταραχὰς ἀναδέχονται περιβοησίας τε καὶ ὄχλων ἐπαναστάσεις ἢ πόλεων, ὧν χάριν κίνδυνον οὐ τὸν τυχόντα διὰ τὴν περὶ αὐτῶν πίστιν ὑπομένουσιν ἔχθρας τε καὶ προδοσίας· ἔσθ’ ὅτε μὲν οὖν καὶ κατηγορίαις περιπεσόντες καὶ βασιλικοῖς φόβοις καθαίρεσιν δόξης καὶ βίου κομίζονται. 〈ις′.〉 Περὶ ἀνωμαλίας γενέσεω ν . Πρὸ πάντων οὖν ἀναγκαῖον πάσης γενέσεως τὴν ὑπόστασιν καὶ τὴν τάξιν ἐπιγνόντας οὕτως καὶ τὰς τῶν ἀστέρων καὶ τῶν ζῳδίων ἁρμόζεσθαι φύσεις, ἵνα μὴ τὸ αὐτὸ ἀποτέλεσμα ἐπὶ τῶν μετρίων καὶ ἐνδόξων λέγηται, ἀλλὰ διάφορον. καὶ γὰρ ἕκαστος ἀστὴρ καὶ ἕκαστον ζῴδιον καὶ μετρίαν ἔχει φύσιν εὐεργεσίας ἢ κακώσεως καὶ ἔνδοξον ἐπέχει ἢ μείζονα κάκωσιν· ὅθεν καὶ μεγάλων ἀγαθῶν αἴτιοι καθίστανται, ὁτὲ δὲ κακῶν. ἐπὰν οὖν ἐπίσημον καὶ λαμπρὰν ὑπόστασιν εὕρωμεν διαφυλασσομένην ὑπὸ τῆς τῶν ἀγαθῶν μαρτυρίας ἐν ταῖς χρονικαῖς παραδόσεσι κακοποιῶν ἐχόντων τοὺς χρόνους ἢ καὶ κατὰ τὴν ἐπέμβασιν τοῖς κέντροις ἢ χρηματιστικοῖς τόποις ἐπεληλυθότων, οὐδὲν λέγομεν ἄτοπον πείσεσθαι τὴν γένεσιν· τὰς δὲ οἰκονομίας [ὡς] παντελῶς ἀτάκτως διοικήσει καὶ περιβοησίας ἢ ψόγους ἀναδέξεται ἔν τε θορύβοις καὶ φόβοις γενήσεται. ἐὰν δέ πως ὁ Ἥλιος ἢ ἡ πανσέληνος κακωθῇ, παράνομόν τι καὶ βίαιον διαπραξάμενοι ταραχάς τε καὶ πολυθρυλλήτους 〈κινδύνουσ〉 ὑπομενοῦσι καὶ πόλεων ἢ ἐχθρῶν ἐπαναστάσεις, ὧν χάριν ἐπιθορύβως διάγουσιν. ἐπὶ τῶν οὖν τοιούτων συγκρίνειν δεήσει τὴν τῶν ἀγαθοποιῶν συμπαρουσίαν ἢ μαρτυρίαν, ἵνα αἱ αἰτίαι παρεκδράμωσιν, ἤγουν καθαιρέσεις καὶ ἀτιμίας προλέγειν.

185 ἐὰν δὲ μόνη ἡ Σελήνη ἢ ὁ ὡροσκόπος κακωθῇ, διὰ σκυλμοὺς σωματικοὺς καὶ ἐπισφαλεῖς νόσους ἀφαντασιώτως ἡ τῆς ἀρχῆς δόξα γενήσεται ἀνιαρά τε καὶ ἐπώδυνος τοῖς κεκτημένοις.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐὰν δέ πως ἡ ὑπόστασις τῆς γενέσεως ἄπρακτον καὶ ἰδιοπράγμονα βίον διάγουσα εὑρεθῇ, οὔτε ἐν ταῖς τῶν χρόνων παραδόσεσιν οὔτε ἐν ταῖς τῶν κατ' ἐπέμβασιν σχηματογραφίαις χρὴ λέγειν ποικίλα καὶ παράδοξα πράγματα οὔτε καινοποιίας πράξεων ἢ μεταβολάς, οὔτε τοὺς πάνυ εὐδαίμονας οἱ κακοποιοὶ ἐπεμβάντες εἰς τοὺς χρηματιστικοὺς τόπους καταβλάψουσιν οὔτε μὴν οἱ ἀγαθοποιοὶ τοὺς μετρίους ὠφελήσουσι διὰ τὸ πρόληψιν καθολικὴν ὑπάρχειν, ἣν ἀλλάξαι τὰ κατὰ μέρος οὐ δύνανται. εἰσὶ μὲν οὖν πολλαὶ γενέσεις ἀπὸ μεγάλης τύχης καὶ δόξης εἰς ταπεινότητα κατερχόμεναι, ἄλλαι δὲ ἀπὸ μετρίας τύχης καὶ ἀπὸ γένους ἀδόξου εἰς εὐδαιμονίαν καὶ περιφάνειαν καταντῶσαι. ἐπὰν οὖν εἰς ὕψος φερομένη ἡ γένεσις εὑρεθῇ ἐκ τῶν καθολικῶν αἱρέσεων, ἐν ταῖς κατὰ μέρος χρονογραφίαις ἀγαθοποιῶν μὲν ἐχόντων τοὺς χρόνους λαμπραὶ ἐπισημασίαι καὶ ὠφέλειαι καὶ προκοπαὶ παρακολουθήσουσι, κακοποιῶν δὲ ἐχόντων μετεωρισμοὶ καὶ ταραχαὶ καὶ ἐνοχλήσεις σωματικαί, ἡ δὲ ὑπόστασις ἀκαθαίρετος διαμενεῖ. ἐὰν δέ πως ἡ γένεσις εἰς ταπεινότητα φέρηται ἐκ τῆς καθολικῆς ὑποστάσεως, οἱ μὲν ἀγαθοποιοὶ τοὺς ἐνιαυσίους χρόνους λαβόντες ἢ ἐπεμβάντες ἀσθενέστεροι εἰς τὸ εὐεργετεῖν γενήσονται, παραχωρήσουσι δὲ τοῖς κακοποιοῖς [εἰς] τὸ καταβλάψαι τὴν γένεσιν. οὕτως οὖν πάντοτε οὔτε οἱ ἀγαθοποιοὶ ἀγαθοποιὸν τόπον ἐπέχουσιν οὔτε μὴν οἱ κακοποιοὶ κακοποιόν, ἀλλὰ διὰ τῆς καθολικῆς ὑποστάσεως εἰς τὰς κατὰ μέρος χρονογραφίας ἐναλλασσόμενοι καὶ γινόμενοι ἀγαθοποιοὶ *** . Ἄλλως τε τὰς πράξεις ἑκάστης γενέσεως δεῖ ἐξετάζειν, πότερον ἀπὸ Ἑρμοῦ ἢ Ἄρεος ἢ Ἀφροδίτης ἢ Κρόνου τὴν ἐνέργειαν ἔχει ἢ ἀπὸ Ἡλίου καὶ Σελήνης καὶ Διός, ἵνα ἔνδοξος ἡ ὑπόστασις εὑρεθῇ. οὕτως γὰρ ἐν ταῖς παραδόσεσιν ἕκαστος τῶν ἀστέρων καλῶς σχηματισθεὶς ἢ κατὰ τὴν ἐπέμβασιν ἐπελθών, περὶ τὴν τῆς πράξεως ἀσχολίαν ὠφέλιμος καὶ δοξαστικὸς γενήσεται ὁ ἐνιαυτός. οἷον ἐὰν ἔλθῃ Κρόνος ἐπὶ Ἡλίου ἢ Σελήνης τόπους, περὶ ἃ δηλοῦσιν ἐκ τῆς ἰδίας φύσεως ὁ Ἥλιος ἢ ἡ Σελήνη ἢ οἱ τόποι, περὶ ἐκεῖνα καταβλάψει· ὁμοίως δὲ κἂν ἐπ' αὐτοῦ ὁ ἐνιαυτὸς 〈ᾖ〉 ἢ πρὸς αὐτὸν ἐκπέσῃ, ἤτοι ὅπου ἔκειτο κατὰ γένεσιν ἢ ὅπου κατὰ τὴν ἐπέμβασιν, περὶ ἐκεῖνα ἐροῦμεν τὰ ἀποτελέσματα.

186 καὶ οἱ λοιποὶ δὲ τῶν ἀστέρων καὶ ὁ Ἥλιος καὶ ἡ Σελήνη ἐν τῷ σχολαστικῷ τόπῳ γενόμενοι καὶ χρονοκρατοῦντες ἐνεργέστεροι καθίστανται, ἐναντιούμενοι δὲ ἐπιτάραχοι. ἐπὶ πάσης δὲ γενέσεως ὁ ἀπὸ Ἡλίου καὶ Σελήνης καὶ ὡροσκόπου ἐνιαυτὸς ἐάν τι μηνύῃ, ἀπαράλλακτον καὶ ἤτοι ἀγαθὸν ἢ φαῦλον. οἷον ἐὰν πρὸς Ἀφροδίτην ἢ Δία ἐκπέσῃ ἢ εἰς χρηματιστικοὺς τόπους, ἀγαθόν· εἰ δὲ πρὸς Κρόνον ἢ Ἄρεα ἢ κεκακωμένους τόπους, φαῦλον· ἐὰν δὲ πρὸς ἀμφοτέρους ἡ παράδοσις γένηται, ἃ δηλοῦσιν οἱ ἀστέρες ἢ οἱ τόποι, ἐν τῷ ἔτει γενήσονται· ἐὰν δὲ αἱ τρεῖς ψῆφοι ἀνόμοια δηλοῦσι, ποικίλον τὸ ἔτος καὶ ἀνώμαλον γενήσεται. βέλτιον μὲν οὖν καὶ τοῖς ἀγαθοποιοῖς τοὺς κακοποιοὺς παραδιδόναι ἢ τοῖς κακοποιοῖς τοὺς ἀγαθοποιούς· ἐὰν δὲ ἀστὴρ ἀστέρι παραδιδῷ ὄντι ἐν ἑνὶ ζῳδίῳ τουτέστιν οἰκοδέκτωρ γενόμενος ἐν τοῖς χρηματιστικοῖς τόποις, πρακτικὸν τὸν χρόνον ἀποτελεῖ. Δοκεῖ δὲ καὶ οὗτος ὁ λόγος φυσικὸς ὑπάρχειν, ἵνα ἀπὸ ἑκάστου τόπου σημαίνοντός τι ἡ ἄφεσις τῶν ἐτῶν γένηται, οἷον ἀπὸ τοῦ μεσουρανήματος ὅταν περὶ πράξεως ζητῶμεν, καὶ ἀπὸ τοῦ περὶ γάμων, ὅταν περὶ γυναικός, καὶ ἀπὸ τοῦ περὶ δούλων, ὅταν περὶ σωμάτων, καὶ ὁμοίως ἀπὸ τοῦ περὶ τέκνων. Ἐὰν οὖν εὕρωμεν εἰς τὸν καταλήξαντα τόπον ἀγαθοποιοὺς ἐπόντας ἢ μαρτυροῦντας ἢ καὶ χρηματιστικὸν τὸ ζῴδιον, ἐροῦμεν κατόρθωσιν ἢ ὠφέλειαν ἢ καταθυμίαν προαιρέσεως τὴν ἔκβασιν. ἐπὶ παντὸς δὲ εἴδους τὸν οἰκοδεσπότην τοῦ οἰκοδεσπότου συνθεωρεῖν δεήσει, ἐν ποίῳ ζῳδίῳ ἔπεστι καὶ πῶς ἐσχημάτισται· ἐὰν γὰρ ὁ οἰκοδεσπότης τοῦ ζῳδίου κακῶς πεσὼν αἴτιόν τι δηλοῖ, ὁ δὲ τούτου οἰκοδεσπότης καλῶς πέσῃ, ἀντανάλυσις τοῦ κακοῦ γενήσεται καὶ ἀπὸ μέρους ὠφέλεια ἢ τῶν προσδοκωμένων κατόρθωσις· λαμβάνουσι δὲ καὶ πίστεις τινὲς ἢ δωρεὰς ἀπὸ μειζόνων ἢ βασιλικῶν προσώπων, τῶν καθολικῶν χρόνων ὑπὸ Ἡλίου καὶ Σελήνης ἢ τῶν ἀγαθοποιῶν διακρατουμένων καὶ τῆς ἐπιδιαιρέσεως καλῆς γενομένης. μάλιστα δὲ καθολικῶς ἐπὶ γενέσεως,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐὰν Ζεὺς Κρόνον καθυπερτερῇ ἢ καὶ τετράγωνος ἢ τρίγωνος ἢ διάμετρος ὑπάρχῃ ἢ συμπαρῇ, ὁμοίως δὲ καὶ ἐὰν Ἄρης τρίγωνος ἢ τετράγωνος ἢ ἐν τῇ ἐπικαταδύσει εὑρεθῇ Διὸς ἐν τῷ ὑπογείῳ ὄντος, μείζονες αἱ δωρεαὶ καὶ ἐπωφελεῖς. ἐπὶ δὲ τῶν παρεχομένων ἑτέροις δωρεὰς ἢ φιλοδοξούντων εἰς δήμους καὶ ἀναλισκόντων εἰς ὄχλους, ἐὰν μὲν ὑπὸ Κρόνου καὶ Ἄρεως Ἑρμῆς εὑρεθῇ ἀκαταμαρτύρητος ἐπὶ γενέσεως ὑπὸ Διὸς καὶ Ἀφροδίτης μαρτυρούμενος, φιλόδοξοι γενήσονται καὶ πλείστης εὐφημίας μεθέξουσι καὶ τιμῆς· ἐὰν δὲ ὑπὸ Ἄρεως ἐπιθεωρηθῇ, μετάνοιαν καὶ μέμψιν καὶ ταραχὴν ἕξουσι καὶ εὐθρυλλήτους περιβοησίας, κἂν ἐκτενῶς εἰς τὰς ἀναλώσεις ὑπαχθῶσιν· ἐὰν δὲ ὑπὸ Κρόνου, πεφεισμένως καὶ ἐπιψόγως ἢ ἐπικινδύνως διατελοῦσιν· ἐὰν δὲ καὶ ὑπὸ ἀγαθοποιῶν, ἀμφότερα συμβήσεται.

187 Πᾶσα μὲν οὖν ἀστέρος μαρτυρία δυναστική, ἐξαιρέτως δὲ ἡ κατὰ τετράγωνον ἢ διάμετρον· κριθήσεται δὲ καὶ ἐν τοῖς ἰσαναφόροις· ἐν δὲ Ταύρῳ καὶ Παρθένῳ ἡ παράδοσις γινομένη ἀπὸ τούτων ἀβέβαια καὶ τὰ ἀποτελέσματα δηλοῖ καὶ ὑπερθετικὰ ἢ ἐπίδικα ἢ παν *** ἐν δὲ Τοξότῃ καὶ Αἰγόκερῳ αἰνιγματώδη καὶ ἐπιζήμια διὰ τὸ εἶναι ἀτελῆ τὰ ζῴδια. φυσικωτέρας δὲ τῆς διαιρέσεως οὔσης οὐ μόνον ἐπὶ γενέσεως σκοπεῖν δεήσει τὰς παραδόσεις, ἀλλὰ καὶ ἐπὶ καταρχῶν καὶ δραπετῶν ἐπιγνόντας τὴν ὥραν καὶ ἀστερίσαντας τῷ αὐτῷ τρόπῳ χρῆσθαι καθάπερ ἐπὶ γενέσεως καταρχῶν. ἐπὰν Κρόνος καὶ Ἄρης λόγον ἔχωσι πρὸς Ἥλιον καὶ Σελήνην ἢ τὸν ὡροσκόπον ἤτοι κατ’ ἐναντιότητα ἢ καθυπερτέρησιν ἢ κατὰ ἑτέραν κακώσεως δύναμιν, ἐὰν δέ πως γένεσις παιδὸς δοθῇ μηδέπω δυναμένου χωρεῖν ἀποτέλεσμα οἷον πράξεως ἀρχήν, παραδόσεις δὲ τῶν ἀστέρων εὑρίσκωνται, πρὸς τὸν πατέρα καὶ τὴν μητέρα γενήσεται τὰ ἀποτελέσματα, ἔσθ’ ὅτε καὶ πρὸς τὸν δεσπότην, ἕως ἂν τὸν τῆς ἀκμῆς χρόνον καταλαβὼν ὁ γεννηθεὶς αὐτὸς ἀναλάβῃ τὰ σημαινόμενα· μόνον δὲ τὰ δυνάμενα χωρεῖν αὐτῷ προσνέμειν οἷον δωρεὰν κατάλειψιν ἢ διωνυμίαν χάλασμα καὶ ἐξανθήματα καὶ τὰ λοιπά. ἔσθ’ ὅτε μὲν οὖν καὶ παράδοξά τινα ἀποτελέσματα τοῖς τοιούτοις εἴωθεν συμβαίνειν, ἅτινα πρόδηλα γίνεται ἐκ τῆς καθολικῆς [καὶ] συγκρίσεως τῶν ἀστέρων. δεῖ οὖν καὶ κατὰ τὰς ἡλικίας καὶ κατὰ τὰ ἔθη τῶν τόπων καὶ τοὺς νόμους καὶ τὰ ἀποτελέσματα συναρμόζεσθαι κατὰ τοὺς σημαινομένους χρόνους· οὕτως γὰρ ἀδιάψευστος ἡ πραγματεία κριθήσεται. πρὸς δὲ δοιοῖν γενέσεων ἤτοι ἀδελφῶν ἢ ἀνδρὸς ἢ γυναικὸς ἢ συγγενῶν ἢ ἄλλων φιλικῶν προσώπων δεῖ κατὰ γένεσιν τῷ προσοικειωμένῳ τὸ ἀποτέλεσμα ἀποφαίνεσθαι κατὰ τὸν ἐπιβάλλοντα χρόνον καὶ λέγειν ἐκείνῳ πρότερον ἢ ὕστερον συμβήσεσθαι, τῷ δ’ ἑτέρῳ ἐκ δευτέρου μέρους τὸν τρόπον ἀπονεῖμαι.

188 οἷον ἐάν τινι φέρῃ ὠφεληθῆναι ἀπὸ νεκρικῆς προφάσεως, ἑτέρῳ δὲ καθολικῶς κληρονομίαν, ἐξ ἧς ὁ προειρημένος προσδοκᾷ τὴν ὠφέλειαν, οὐκ ἐν τοῖς χρόνοις τούτοις γενήσεται ἡ ὠφέλεια ἀλλ’ ἐν τοῖς τοῦ τὴν κληρονομίαν προσδοκῶντος· ἐκ γὰρ τοῦ μεσουρανήματος καὶ τὸ ἀποτέλεσμα γενήσεται ἢ πολλάκις περὶ ἑνὸς μὲν τάχιον γέγονε τὸ ἀποτέλεσμα, περὶ δὲ τὸν ἕτερον μετὰ χρόνον τὸ αὐτὸ ἤτοι δι’ ἀποδημίαν ἢ κρίσιν ἢ κατηγορίαν ἢ ἑτέραν τινὰ αἰτίαν· τὸ δὲ ὅμοιον ἐπὶ δόξης καὶ δωρεᾶς καὶ ἀγορασμῶν καὶ πράσεως καὶ κοινωνίας καὶ συναρμογῆς ἢ ξενιτείας καὶ τῶν λοιπῶν τῶν ἐν βίῳ συντελουμένων νοείσθω. ἔνθεν ὁτὲ μὲν εἴωθεν προλαμβάνειν τὰ ἀποτελέσματα, ὁτὲ δὲ ἐπιβραδύνειν διὰ τὰς τῶν γενέσεων συμπαθείας ἢ καὶ ἐναντιότητας· καὶ καθάπερ δι’ ὀργάνου ἡ φύσις ἐκ τῆς τῶν ἀστέρων ἀνακυκλήσεως τὰς τῶν ἀποτελεσμάτων δυνάμεις ἀνήπλωσε, ὁτὲ μὲν αἰφνιδίως ἢ ἀπροσδοκήτως ἐπιφέρειν, ὁτὲ δ’ ἐπιτείνειν καὶ διακατέχειν μετ’ ἀνάγκης, μέχρις οὗ ὁ τὴν ἐναρμόνιον τῶν πραγμάτων κεκτημένος πρόφασιν παραλάβῃ τοὺς ἀστέρας. Δεῖ δὲ καὶ ἐκ τῶν κοσμικῶν τὰ τοιαῦτα ὑποδείγματα μαθόντας συγκρίνειν, ὅπου οὐ πάντοτε ὁ Ἥλιος ἐκ τῶν τροπικῶν μοιρῶν τὰς μεταβολὰς τῶν ἀέρων τὰς αὐτὰς ποιεῖται, ἀλλ’ ὁτὲ μὲν εἰς εὐκρασίαν προλαμβάνων τὸ κοσμικὸν κατάστημα ἄγει, ὁτὲ δὲ τὰς χειμερίους τροπὰς εὔδιος διελθὼν ἐξ ὑστέρου πολλὴν

ζάλην καὶ φοβερὰν ἀνέμων ῥοπὴν κατεσκεύασεν· οὔτε μὴν ἡ Σελήνη κατὰ τὰς δοκούσας φάσεις τὰς ἐπομβρίας συντελεῖ ἢ μετὰ τοὺς συνδέσμους ἀνίσχει τὸν ἀέρα, ἀλλ’ ὁτὲ μὲν προχειμάζει καὶ προλαμβάνει τὴν τῆς φύσεως αἰτίαν ὡς παρὰ προσδοκίαν σύγχυσιν οὐ τὴν τυχοῦσαν τῶν καιρῶν γίνεσθαι, ὁτὲ δὲ μηδ’ ὅλως ἐνδειξαμένη χειμερινὴν στάσιν ἐν αὐτῇ τῇ φάσει εὔδιον τὸν ἀέρα κατέστησεν, ἔσθ’ ὅτε δὲ παραλλάξασα τὴν τοῦ συνδέσμου λύσιν εἰς χειμέριον μεταβολὴν ἐχώρησεν. ὁμοίως δὲ καὶ αἱ λοιπαὶ ἐπισημασίαι τῶν ἀστέρων καὶ δύσεις οὐ κατὰ τὰ αὐτὰ γενήσονται, ἀλλ’ ὁτὲ μὲν προλήψονται ὁτὲ δὲ ἐξ ὑστέρου τὰς φάσεις ποιήσονται, ἔσθ’ ὅτε δὲ οὐδ’ ὅλως ἐνδείξονται. ταῦτα δὲ συμβαίνει ἐναλλάσσεσθαι παρὰ τὰς τοῦ ἔτους ἀνατολὰς καὶ συνόδους καὶ πανσελήνους καὶ ἐκλείψεις καὶ τετραετηρίδας καὶ καθολικοὺς καὶ κυκλικοὺς οἰκοδεσπότας καὶ πρὸς τὰς τῶν κατὰ καιρὸν ἐπεμβάσεων ἐναλλαγάς.

189 〈ιζʹ.〉 Περὶ παραδόσεως ἀστέρων καὶ ἀποτελεσμάτων καὶ ὡροσκόπο υ . Ἀκολούθως δὲ καὶ τὰς παραδόσεις τῶν ἀστέρων ὑποτάξομεν. Ἥλιος μὲν οὖν Κρόνῳ παραδιδοὺς πονηρὸν τὸ ἔτος ἀποτελεῖ· ἀπραγίας γὰρ καὶ ἐναντιώματα σημαίνει ἔχθρας δὲ ἢ ἀντιλογίας καὶ ἀπὸ ὑπερεχόντων ἢ πρεσβυτέρων κακώσεις καὶ ταγμάτων ἐπαναστάσεις νόσους τε ἢ ὀφθαλμίας ἀνωμαλίας τε βίου καὶ κινήσεις ἐπιφόβους ὑποτακτικῶν τε ἐπιθέσεις καὶ πατρὸς θάνατον ἢ ὁμοίου πατρός. κακῶς πεσὼν καταιτιασμοὺς ἀποτελεῖ καὶ συνοχάς. Ἥλιος Διὶ παραδιδοὺς τὸ ἔτος λαμπρὸν τὸ ἔτος δηλοῖ καὶ πατρὸς δόξαν τῷ ἔχοντι καὶ ὑπερεχόντων συστάσεις καὶ εὐημερίας καὶ δωρεὰς καὶ πράξεις ἐπισήμους ἢ ἀρχὰς ἢ σπορὰς τέκνων καὶ ἀγάμοις γάμον ἀποτελεῖ καὶ ἐν τοῖς διαπρασσομένοις ἐστὶν ἀνυστικὸς καὶ εὐκατόρθωτος ἀγαθὰς ἐλπίδας προσδεικνύων. —Ἥλιος Ἄρει νοσερὸν καὶ ἐπισφαλὲς τὸ ἔτος δηλοῖ καὶ πατρὸς κίνδυνον ἢ τοῦ ὑπὸ τοιοῦτον χαρακτῆρα· αὐτῷ ταραχοὺς ἐμπράκτους καὶ μετὰ πολλῆς ἀνακρίσεως κατορθώσεις πραγμάτων ἐξοδιασμούς τε καὶ ἀκαίρους ζημίας καὶ ἀπὸ μειζόνων προσώπων ἔχθρας ἢ πατρός, ὑποτακτικῶν τε κακώσεις τομάς τε καὶ αἱμαγμοὺς ἢ [δι’] αἵματος ἀναβολὴν καὶ τῶν ἡγεμονικῶν τόπων πόνους ἢ ἐπισκιασμοὺς ἐπιφθόνους τε αἰτίας καὶ ἐπηρείας. —Ἥλιος Ἀφροδίτῃ ἀγαθὸν καὶ προσφιλῆ τὸν χρόνον δηλοῖ· συστάσεις γὰρ καὶ φιλίας περιποιεῖ καὶ δωρεὰς καὶ τέρψεις συνηθείας τε καὶ γάμους καὶ τεκνώσεις ἢ ἀγορασμοὺς κόσμου ἢ σωμάτων, τοῖς δ’ ἐν ὑπεροχῇ ἀρχὰς καὶ δόξας ἐπισήμους καὶ μειζόνων ἐλπίδων ἐπόπτας πραγμάτων τε καὶ πάσης αἰτίας ἀπαλλακτικός. —Ἥλιος Ἑρμῇ ἀγαθὸς πρακτικὸς ἐπικερδὴς κοινωνικός, εἰς τὰ ὑποτακτικὰ πρόσωπα εὐεργετικός, περὶ τὰς δόσεις καὶ λήψεις ἀνυστικός. ἐὰν δέ πως ὑπὸ κακοποιῶν θεωρηθῇ, δίκας καὶ ταραχὰς ἐπάγει, χάριν ἀργυρικῶν ἢ γραπτῶν φόβους, δουλικῶν τε καὶ φιλικῶν καταγνώσεις ἀκαίρους τε ἐξοδιασμοὺς καὶ ζημίας. —Ἥλιος Σελήνῃ πρακτικὸς καὶ φιλάνθρωπος ἀποτελῶν περικτήσεις καὶ ἀπὸ ἀρρενικῶν καὶ θηλυκῶν ὠφελείας καὶ συστάσεις γάμους τε καὶ συνελεύσεις καὶ γονὰς ἐπισήμους καὶ ἀπὸ ξένων ἢ ἀπὸ ξένης εὐημερίας καὶ δωρεάς.

190 —Ἥλιος ἑαυτῷ ἐπιμερίσας καὶ καλῶς σχηματισθεὶς λαμπρὰς ἐπισημασίας καὶ πράξεις ἀποτελεῖ πρός τε ὑπερέχοντας καὶ μείζονας συστάσεις καὶ ἀπροσδοκήτους ὠφελείας. ἐὰν δὲ καὶ μετὰ ἀγαθοποιῶν τύχῃ ἢ μαρτυρηθῇ, μείζονας τὰς δόξας καὶ τὰς ὠφελείας ἐπάγει· νυκτὸς δὲ ἧσσον, ἢ ἐπιτάραχος γενήσεται ἔχθρας ἀποτελῶν καὶ κρίσεις ἢ ἐπιφθόνους αἰτίας. εἰ δὲ καὶ κακοποιὸς συμπέσῃ ἢ ἐπιμαρτυρήσῃ, μείωσιν βίου ἢ καθαίρεσιν δόξης ἐπάγει ξενίας τε ἐπισφαλεῖς καὶ πατρὸς ἔχθραν ἢ κίνδυνον καὶ πραγμάτων ταραχάς. Πρότερον μὲν οὖν χρὴ σκοπεῖν τὰς τῶν ἀστέρων φύσεις καὶ σχηματογραφίας· τῆς μὲν γὰρ οἰκείας αἱρέσεως ἕκαστος τυχὼν καὶ καλῶς σχηματισθεὶς κατὰ τὴν ὑπόστασιν τῆς γενέσεως τὰς τῶν ἀποτελεσμάτων δυνάμεις ἐνδείξεται, τῆς τῶν λοιπῶν μαρτυρίας καὶ τῆς ἐπεμβάσεως πολὺ δυναμένης θραῦσαι ἢ προσεπιτεῖναι τὸ κακὸν ἢ ὠφελῆσαι καὶ δοξάσαι. βέλτιον μὲν οὖν ἐν χρηματιστικοῖς ζῳδίοις εὑρίσκεσθαι αὐτοὺς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ ἀνατολικούς· ἐὰν δὲ ὑπὸ δύσιν τύχωσιν ἢ καὶ παραπέσωσιν ἀνοικείως κακωθέντες, εἰς τοὐναντίον τραπήσονται. 〈ιη′.〉 Ἐπιμερισμοὶ Σελήνη ς . Σελήνη ἑαυτῇ ἐπιμερίσασα ἀηδής· ἐπάγει γὰρ ἔχθρας καὶ ἀντιδικίας ἀπὸ μειζόνων προσώπων καὶ βίου αὐξο *** οἰκείων τε ἢ γυναικὸς ἀντικαταστάσεις· ἐὰν δὲ κακοποιὸς ἐπιθεωρήσῃ, σωματικὰς ἀσθενείας καὶ κινδύνους αἰφνιδίους ἀποτελεῖ. σκοπεῖν δὲ δεῖ ἐν τούτῳ τῷ χρόνῳ καὶ αὐτὸ τὸ ζῴδιον ἐν ᾧ ἔπεστι ἡ Σελήνη, μήπως κακοποιὸς ἐπεμβὰς χείρονά τινα ἀποτελέσει· εἰ δ’ ἀγαθοποιός, λύσιν τῶν αἰτιῶν, πλὴν ξενιτείας ἐπάγει καὶ μεταβολὰς τόπων, εἶθ’ οὕτως ἀπόροις κατόρθωσιν τῶν πραγμάτων καὶ τῶν φαύλων ἴασιν ἀποτελεῖ. —Σελήνη Ἡλίῳ ἐπιμερίσασα κένωσιν βίου καὶ ἐξοδιασμοὺς πλείστους ἀποτελεῖ καὶ μάλιστα, ἐὰν ὑπὸ κακοποιῶν θεωρηθῇ, ἐγκοπὰς τῶν πράξεων καὶ κενὰς ἐλπίδας προδείκνυσι καὶ στάσεις καὶ ταραχὰς οἰκείων τε ἀκαταστασίας καὶ θηλυκῶν ἐπιπλοκὰς ἢ γάμους· τοῖς δ’ ἐν εὐσταθείᾳ καὶ δόξῃ βίου ὑπάρχουσιν ἐξοδιασμοὺς εἰς ἀγορασμὸν ἢ κατόρθωσιν πραγμάτων καὶ προκοπὴν ἢ εἰς δωρεάς τινας καὶ εὐεργεσίας.

191 —Σελήνη Κρόνῳ ἐπιμερίσασα ποικίλον καὶ μετέωρον τὸ ἔτος καὶ μητρὸς ἀσθένειαν ἢ θάνατον, ἐὰν περιῇ, ἔχθρας τε καὶ ἀκαταστασίας πραγμάτων καὶ τόπων μεταβολὰς καὶ ψύξεις πράξεων καὶ σωματικοὺς κινδύνους καὶ κρυπτῶν πόνους ἢ αἰσθητηρίων καὶ μάλιστα λειψίφως οὖσα· ἀνατολῆς δὲ οὔσης ἧττον τὸ κακόν, πλὴν βλαβερὸς καὶ λυπηρὸς ὁ χρόνος. —Σελήνη Διὶ ἀγαθὸν καὶ πρακτικὸν τὸν χρόνον δηλοῖ ἐν περιποιήσει καὶ συστάσει μειζόνων, δόξας τε καὶ ἀρχὰς ἀπό τε θηλυκῶν ὠφελείας καὶ δωρεάς· ἀγάμοις γάμον, γεγαμηκόσι τέκνωσιν συνηθείας τε προσφιλεῖς ἢ μητρὸς αὔξησιν βίου ἢ δόξης τοῖς ἔχουσι κατόρθωσίν τε πραγμάτων καὶ προσδοκωμένων 〈καὶ〉 ἐλπίδων συντέλειαν. —Σελήνη Ἄρει παραδιδοῦσα, χαλεπὸς ὁ ἐνιαυτὸς καὶ μάλιστα ἐὰν ἀπὸ ἀνατολῆς φέρηται ἡμέρας· κινδύνους γὰρ καὶ ἀσθενείας ἀποτελεῖ, αἱμαγμοὺς καὶ πτώσεις ἢ πυρὸς ἐπιφορὰς ζημίας τε καὶ οἰκείων ἀκαταστασίας θηλυκῶν τε θανάτους ἢ χωρισμοὺς ἔχθρας τε καὶ κρίσεις συνοχάς τε καὶ ὄχλων ἐπαναστάσεις. ἐὰν δ’ ἀφαιρετικὴ τύχῃ ἡ Σελήνη ἢ ὑπὸ δύσιν φέρηται μάλιστα νυκτὸς πρὸς τὰ φαῦλα ἐπιόντων τῶν χρόνων, καὶ πρὸς τὰς ἐπιβολὰς 〈οὐκ〉 εὐκατόρθωτον ἀποτελεῖ μετὰ φόβων καὶ μόχθων. —Σελήνη Ἀφροδίτῃ εὐεπήβολον καὶ ἀνυστικὸν τὸν χρόνον δηλοῖ καὶ δόξας καὶ συστάσεις ἀπό τε ἀρρενικῶν καὶ θηλυκῶν συμπαθείας τε καὶ γάμους. ἐὰν δέ πως ἀνοικείως τύχωσιν ἢ ὑπὸ κακοποιῶν θεωρούμενοι, ἀηδίας καὶ φθόνους καὶ εἰς θηλυκὰ πρόσωπα δαπάνας καὶ ἀθετήσεις. καθολικῶς μὲν οὖν πάντοτε ἡ παράδοσις αὕτη ζηλοτυπίας καὶ στάσεις καὶ ἀκαταστασίας ἐπάγει ἔχθρας τε πρὸς συγγενικὰ ἢ οἰκεῖα καὶ φιλικὰ πρόσωπα. —Σελήνη Ἑρμῇ πρακτικὸν καὶ εὐκατόρθωτον πρός τε θηλυκὰ πρόσωπα καὶ τὰς συστάσεις, καὶ ἐὰν μάλιστα μετὰ ἀγαθῶν συσχηματίζηται· ἐὰν δὲ μετὰ κακοποιῶν, δίκας καὶ ταραχὰς ὑπομενοῦσι χάριν ἀργυρίων ἢ γραπτῶν ἢ ψηφικῶν πραγμάτων καὶ ἀγῶνα μέγαν ὑπομενοῦσι· καὶ ἐὰν μὲν ἐπιτόπως ὁ Ἑρμῆς εὑρεθῇ κείμενος, περιγίνονται· ἐὰν δὲ ἀτόπως, καταδικασθήσονται καὶ ἐξοδιασμοὺς πλείστους ποιήσονται. 〈ιθ′.

192 〉 Ἐπιμερισμοὶ ὡροσκόπο υ . Ὡροσκόπος ἐὰν κακοποιῷ παραδιδοῖ, κάκιστον τὸν χρόνον ἀποτελεῖ, μάλιστα Κρόνῳ νυκτός, ἡμέρας δὲ Ἄρει· κινδύνους γὰρ σωματικοὺς καὶ βιωτικὰς ἀνωμαλίας ἐπάγει φόβους τε καὶ αἰτίας ἐπιταράχους πτώσεις τε ἢ σίνη. —Ὡροσκόπος Διὶ λαμπρὸν καὶ περικτητικὸν τὸν χρόνον δηλοῖ καὶ δόξας καὶ τάξεις ἐπισήμους· οἱ δὲ ἀπὸ μειζόνων ὠφελοῦνται καὶ προάγονται, τινὲς δὲ καὶ κινδύνων ἢ αἰτιῶν ἀπαλλαγέντες εὐπαρηγόρητοι καθίστανται, οἱ δὲ καὶ ἐλευθερίας πειρῶνται. —Ὡροσκόπος Ἀφροδίτῃ ἀγαθὸν καὶ ἐπαφρόδιτον τὸν χρόνον δηλοῖ συστάσεις τε καὶ θηλυκῶν ἐπιπλοκὰς ἀγορασμούς τε καὶ εὐφροσύνην καὶ κακῶν ἀπαλλαγήν. — Ὡροσκόπος Ἡλίῳ πρὸς τὰ μείζονα καὶ ὑπερέχοντα συμπαθέστερον καὶ περιποιητικὸν τὸ ἔτος δηλοῖ· τοῖς δὲ ἐν δόξῃ μείζονας τὰς τάξεις καὶ προκοπάς. —Ὡροσκόπος Σελήνῃ ἀμετάβολον καὶ πρακτικὸν ἀπό τε θηλυκῶν ὠφελείας καὶ

συστάσεις καινισμοὺς πράξεις τε καὶ ξενιτείας εὐκατορθώτους, καὶ μάλιστα ἐὰν ἀγαθοποιοὶ μαρτυρήσωσιν, ἐπὶ ξένης εὐημερίας· ἐὰν κακοποιοί, τὰ ἐναντία, πρὸς ἐπὶ τούτοις δὲ καὶ ταραχάς. —Ὡροσκόπος Ἑρμῇ πρακτικὸν καὶ ἐπικερδῆ καὶ εὐκατόρθωτον· ἐὰν δ’ ὑπὸ κακοποιῶν βλάπτεται, ἐπίδικον καὶ ἐπιζήμιον. Ὁμοίως δὲ καὶ οἱ ἀστέρες τῷ ὡροσκόπῳ παραδιδόντες τὰ αὐτὰ ἀποτελοῦσι· κατὰ δὲ τὴν ἑκάστου οἰκείαν τοποθεσίαν ἢ ὡς ἐναλλὰξ καὶ τὸ ἀποτέλεσμα κριθήσεται εἴτε ἀγαθοποιὸν ἢ φαῦλον. 〈κʹ.〉 Ἐπιμερισμοὶ Κρόνο υ . Κρόνος ἑαυτῷ ἐπιμερίσας σκυλμοὺς καὶ ἀπραξίας σημαίνει καὶ ἀπὸ μειζόνων ἢ πρεσβυτέρων ἔχθρας καὶ ἀτιμίας πρός τε τὰς ἐπιβολὰς ἐγκοπτικὸς γενήσεται ἢ καὶ ἐάν τι πράξῃ ἀβέβαιον ἔσται. ἐὰν δὲ καὶ ὑπὸ Ἑρμοῦ καὶ Ἄρεως θεωρηθῇ, ἕνεκα γραπτῶν συκοφαντίας ἕξει καὶ κρίσεις καὶ παλαιῶν πραγμάτων ἢ θανατικῶν ἀνασκευὰς ἢ κακουργίας δόλους τε καὶ ὡς ἀπὸ θεοῦ μῆνιν ἔχων διατελέσει *** ἠπιώτερος γενήσεται καὶ μετὰ βραδυτῆτος καί τινων ἀνυστικός. —Κρόνος Ἡλίῳ πατρὸς κίνδυνον ἢ θάνατον, ἐὰν παρῇ ἤδη ἀσθένεια αὐτῷ, καὶ μετέωρον τὸν ἐνιαυτὸν ἀποτελεῖ ἔχθρας τε καὶ ζημίας ἢ κρίσεις αἰσθητηρίων τε πόνους καὶ παθῶν ὑπομνήσεις καὶ πρὸς φίλους καὶ οἰκείους μικροψυχίας· ἐὰν δ’ ἡμέρας σχηματιζόμενος καλῶς τύχῃ, μετὰ ἐγκοπῶν καὶ ἐξοδιασμῶν ποιήσονται ἢ ἀπὸ θανάτου ὠφεληθήσονται.

193 —Κρόνος Σελήνῃ μητρὸς κίνδυνον τοῖς ἔχουσιν· εἰ δὲ μή, θηλυκῶν προσώπων· ἔχθρας τε καὶ χωρισμοὺς βλάβας τε καὶ κακουργίας καὶ πραγμάτων ταραχὰς καὶ κινήσεις ἐπισφαλεῖς καὶ σωματικὰς ἀσθενείας καὶ χρονικὰ πάθη τῶν τε ἐντὸς ὀχλήσεις καὶ νεύρων αἰσθήσεις ἐκλύσεις τε καὶ σκοτισμοὺς καὶ πάθη ἀπροσδόκητα. —Κρόνος Ἄρει κάκιστον καὶ ἐπικίνδυνον τὸ ἔτος δηλοῖ· ἀσθενείας γὰρ καὶ ἐπιβουλὰς καὶ ὀχλήσεις ἀποτελεῖ καὶ κινδύνους ἰδίων τε θανάτους καὶ ὑπὲρ ἰδίων ταραχὰς ἢ κρίσεις ὑπομένοντας φίλων ἀχαριστίας οἰκείων ἀκαταστασίας ἀπολογίας τε καὶ πρὸς μείζονας φόβους καὶ ἔχθρας πατρός τε θάνατον τοῖς ἔχουσιν ἢ πρεσβυτέρων προσώπων ξενιτείας τε ἐπισφαλεῖς ἢ ἀπράκτους. ἐὰν δέ πως κακῶς πέσωσι, καὶ ναυάγια καὶ καθαιρέσεις πάθη τε καὶ σίνη ἀποτελοῦσιν· ἐὰν δὲ ἐν χρηματιστικοῖς ζῳδίοις καλῶς σχηματισθῶσιν ἢ ὑπὸ ἀγαθοποιῶν μαρτυρηθῶσιν, αἱ πλείους αἰτίαι διασκεδασθήσονται. — Κρόνος Διὶ καλὸν καὶ πρακτικὸν τὸν χρόνον δηλοῖ· κληρονομίας γὰρ ἢ καταλείψεις λαμβάνουσι καὶ ἀπὸ πρεσβυτέρων ἢ νεκρικῶν ὠφελοῦνται καὶ θεμελίων ἢ κτημάτων κυριεύσουσιν. οἱ δὲ καὶ ἐξ ὑγρῶν περικτῶνται ἢ ναυκληροῦσιν ἢ ἀγορασμοὺς πλοίων ποιοῦνται ἀνοικοδομοῦσί τε ἢ καταφέρουσι παλαιῶν τε πραγμάτων κατορθώσεις ποιούμενοι συγκοσμοῦνται τῷ βίῳ. ἐὰν δέ πως ὁ τοῦ Ἄρεως ἢ ὁ τοῦ Ἑρμοῦ συνεπιμαρτυρήσῃ, κρίσεις ἢ ἀντιδικίας ὑπομένοντες ἀκαίρους ἐξοδιασμοὺς ποιήσονται. —Κρόνος Ἀφροδίτῃ χωρισμοὺς γυναικῶν ἢ ἀπὸ θηλυκῶν ἀδικουμένους· τινὲς δὲ καὶ θανάτους θεωροῦσι ἀστατοῦσί τε περὶ τὰς συμβιώσεις καὶ τὰς ἐπιπλοκάς. οἱ δὲ καὶ ἐπιβουλεύονται ἢ φαρμάκων πεῖραν λαμβάνουσιν καὶ τῶν ἐντὸς ὀχλήσεις ὑπομένουσιν ἀσθενείαις τε καὶ ψυγμοῖς καὶ ῥευμάτων ἐπιφοραῖς περιπίπτουσι καὶ ἐναντιώμασι καὶ κρίσεις καὶ καινοποιίας πράξεων. ἐὰν δὲ γυναικὸς ἡ γένεσις εὑρεθῇ, ἐπωδύνως διάξει, καὶ μάλιστα ἐὰν κατὰ γαστρὸς ἔχῃ· καὶ τοῖς κατ’ ἄνδρα φίλοις ἀκαταστατήσει.

194 —Κρόνος Ἑρμῇ παλαιῶν πραγμάτων ἢ μυστικῶν ἀμφισβητήσεις ἀργυρικῶν τε ἢ ψηφικῶν δόσεών τε καὶ λήψεων ἔν τε τοῖς διαπρασσομένοις ἐγκοπὰς καὶ ζημίας προδοσίας τε καὶ ἔχθρας· θεωροῦσι δὲ καὶ ἰδίων θανάτους καὶ πολυΐστορες καὶ περίεργοι γίνονται ἐν τούτοις τοῖς χρόνοις ἐγγύαις τε καὶ δάνεσι περιπίπτουσι καὶ διὰ γραπτὰ ἐπιταράσσονται κατὰ τὴν τοῦ θέματος σχηματογραφίαν αὐτῶν οἰκείαν ἢ ἀλλοτρίαν· τετράγωνοι γὰρ ἢ διάμετροι κάκιστοι τυγχάνουσι καὶ καθαιρετικοί· ἐπάγουσι γὰρ καὶ διὰ νεκρικὰς ἀφορμὰς φόβους καὶ ταραχάς. 〈καʹ.〉 Ἐπιμερισμοὶ Διό ς . Ζεὺς ἑαυτῷ ἐπιμερίσας ἀγαθὸν καὶ πρακτικὸν τὸν χρόνον ἀποτελεῖ καὶ ὠφελείας ἀπὸ φίλων καὶ δωρεὰς καὶ πραγμάτων κατορθώσεις πίστεις τε καὶ

οἰκονομίας καὶ συστάσεις μειζόνων καὶ τέκνων σποράς· ἐὰν δέ πως ὑπὸ Ἄρεως θεωρηθῇ, ἀνωμαλίας καὶ ἀκαίρους ἐξοδιασμοὺς προδηλοῖ. —Ζεὺς Ἡλίῳ ἐπιμερίσας λαμπρὸν καὶ περιποιητικὸν τὸν χρόνον δηλοῖ ** πρὸς τὰ ὑπερέχοντα πρόσωπα καὶ ὀχλικὰς εὐημερίας ἐπάγει ἀρχάς τε καὶ προκοπάς, καὶ τιμῶν καὶ στεμμάτων καταξιοῖ ἡγεμονίας τε καὶ στραταρχίας καὶ ἐξουσιαστικῆς τύχης πρόδηλος κατὰ τὴν τοῦ θέματος τάξιν καὶ τοποθεσίαν. τοῖς δὲ μετρίοις πράξεις καὶ κακῶν ἀπαλλαγὴν καὶ ἐλευθερίαν συστάσεις ἐπωφελεῖς μεταβολὰς καὶ φιλίας συμπαθεῖς τεκνοποιίας ἐπικτήσεις σωμάτων, καὶ μάλιστα ἡμερινὸς καλῶς σχηματιζόμενος. —Ζεὺς Κρόνῳ μετεώρους κινήσεις καὶ ἐξοδιασμοὺς ποιεῖ καὶ οἰκείων ἀπειθείας, τινῶν δὲ καὶ θανάτους καὶ τόπων καὶ πραγμάτων μεταβολὰς καὶ κοινωνίας ἀβεβαίους καὶ φίλων ἔχθρας καὶ ἐν τοῖς διαπρασσομένοις δυσεπιτεύκτως ἢ μετὰ ὑπερθέσεως κατορθοῦντας καὶ ἐντεύξεις ποιουμένους καὶ αἰτήσεις καὶ ἐν ὀχλήσει γινομένους. —Ζεὺς Ἄρει, βλαβερὸς καὶ ἐπιτάραχος ὁ ἐνιαυτὸς καὶ πρὸς ὑπερέχοντας ἔχθρας καὶ διαβολὰς καταγνώσεις τε καὶ προδοσίας ἐπέχων ἐπικινδύνους τε ξενιτείας καὶ νόσους ἐπισφαλεῖς ἰδίων τε κλιμακτῆρας ἢ θανάτους ἀνωμαλίας τε βίου καὶ ἐξοδιασμούς. ἐὰν δὲ δημοσία ἢ στρατιωτικὴ ἡ γένεσις εὑρεθῇ καὶ τὸ σχῆμα καλῶς τύχῃ, συστάσεις καὶ προκοπὰς μετὰ ἐξοδιασμῶν ἀποτελεῖ δωρεάς τε καὶ ὑποσχέσεις, ἐπιφόβως δὲ ἢ ὑπόπτως διάγοντας.

195 —Ζεὺς Ἀφροδίτῃ ὠφέλιμος καὶ περικτητικὸς ἐπαφροδισίας ἐπάγων συστάσεις τε καὶ δωρεὰς καὶ ἀπὸ γυναικῶν ἢ διὰ γυναικῶν ὠφελουμένους συνηθείαις τε καὶ ἐπιπλοκαῖς καὶ φιλίαις περιτρεπομένους ἀγάμοις τε γάμον γεγαμηκόσι τε σπορὰν ἢ τέκνωσιν. ἐπὶ δὲ τῶν ἐνδόξων γενέσεων στεμματοφορίας καὶ τάξεις ἐπισήμους ἀρχάς τε πολιτικὰς καὶ δωρεὰς εἰς ὄχλους καὶ προκοπὰς μείζονας καὶ προστασίας ἀποτελεῖ καὶ σωμάτων καὶ κόσμου ἐπικτήσεις. —Ζεὺς Ἑρμῇ πρακτικὸς ἐπικερδὴς ἐκπλοκὰς πραγμάτων καὶ τοῖς διὰ λόγων ἢ ψήφων ἢ γραπτῶν ἐπωφελὴς καθέστηκε κοινωνίας τε καὶ φιλίας μειζόνων ἐπάγει καὶ δωρεὰς ἢ καταγραφὰς καὶ ἐκ παραθηκῶν ἢ εὑρεμάτων ὠφελουμένους· ὅθεν καὶ σωμάτων ἀγορασμοὺς ποιοῦνται καὶ φιλόκαλοι καθίστανται. τινὲς δὲ καὶ προβιβάζονται, καὶ μάλιστα ἐὰν καλῶς τύχωσι κείμενοι· καθολικῶς δὲ ἐν ὄχλοις διαβάλλονται καὶ ἐπιταράσσονται ἢ περιβοησίας ὑπομένουσι, μάλιστα κακῶς σχηματισθέντες ἢ ὑπὸ κακοποιῶν διαμετρούμενοι ἢ συνόντες ἢ τετραγωνιζόμενοι ἀγῶνα οὐ τὸν τυχόντα ὑπομένουσι καὶ ἐπιφόβως διάγουσιν. —Ζεὺς Σελήνῃ εὐκατόρθωτον καὶ περικτητικὸν τὸν χρόνον δηλοῖ ἀπό τε θηλυκῶν καὶ μειζόνων προσώπων συστάσεις καὶ ὠφελείας δόξας τε καὶ ἀρχὰς καὶ προστασίας καὶ ἀπαλλαγὴν κινδύνων καὶ περίκτησιν κόσμου ἢ σωμάτων, σποράς τε ἢ τεκνώσεις καὶ ἐπιπλοκὰς θηλυκῶν δωρεάς τε καὶ καταγραφὰς καὶ μητρὸς εὐεργεσίαν τοῖς ἔχουσιν. ἐὰν δὲ καλῶς τὸ σχῆμα τύχῃ, καὶ παραθηκῶν κυριεύσουσιν ἢ θησαυρῶν εὑρετὰς ἀποτελεῖ εὐχρη 〈μάτουσ〉 καὶ θεῷ εὐχαριστοῦντας κακώσεως τε ἢ δουλείας ἀπαλλακτικούς. 〈κβʹ.〉 Ἐπιμερισμοὶ Ἄρεω ς . Ἄρης ἑαυτῷ ἐπιμερίζων ἡμερινὸς ἀηδὴς καὶ ἐπιτάραχος γενήσεται· ἐπάγει γὰρ ἔχθρας καὶ βλάβας καὶ δημοσίων πραγμάτων ἐπηρείας ἢ εἰς δημόσια ἀναλίσκοντας· τινὲς μὲν οὖν καὶ ἀπὸ στρατηγικῶν ἢ ἐξουσιαστικῶν προσώπων ἐπηρεάζονται ἢ συνέχονται. νυκτὸς δὲ οὐ κακός, ἀλλὰ κατορθωτικὸς καὶ ἐπωφελὴς καὶ μάλιστα 〈εἰ〉 ἐν τοῖς χρηματίζουσι ζῳδίοις καθίσταται, καὶ μάλιστα τοῖς τὰς Ἀρεϊκὰς πράξεις μετερχομένοις ἢ δημοσίας καὶ στρατιωτικάς. Ἄρης Ἡλίῳ παραδιδοὺς πατρὸς κίνδυνον τοῖς ἔχουσιν· εἰ δὲ μή γε, ὁμοίου πατρός, ἔχθρας τε μειζόνων καὶ φίλων χωρισμοὺς ἀποτελεῖ νόσους τε ἐπισφαλεῖς καὶ αἰσθητηρίων πόνους καὶ ἀπὸ πυρὸς ἢ ὕψους ἢ τετραπόδων κίνδυνον αἱμαγμούς τε καὶ τομὰς καὶ καταπτώσεις φθόνους τε καὶ ἀμφισβητήσεις ἐπάγει καὶ ξενιτείας ἐπιφόβους.

196 ἐὰν δέ πως ἐπὶ χρηματιζόντων ζῳδίων τύχωσιν ἢ ὑπὸ ἀγαθοποιῶν μαρτυρηθῶσι, πράξεις καὶ ὠφελείας καὶ δόξας ἐπάγει καὶ ὑπερεχόντων συστάσεις μετὰ φόβων τε καὶ ταραχῶν καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπιβουλῶν καὶ περὶ τὰς πράξεις ἐπιφθόνους καὶ ἐγκοπτικούς. Ἄρης Σελήνῃ σφαλερὸς καὶ ἐπικίνδυνος ἀκαταστασίας καὶ συνοχὰς καὶ δίκας καὶ φόβους ἐπέχων καὶ ξενιτείας ἐπισφαλεῖς ἢ ἀπὸ ξένων ἐπιθέσεις καὶ ἐπηρείας μητρός τε κίνδυνον ἢ θηλυκῶν προσώπων μάχας τε καὶ χωρισμοὺς καὶ πρὸς ὄχλον ἢ πόλιν ἐπιτάραχος, ἐπάγει δὲ καὶ ἀσθενείας καὶ αἱμαγμοὺς ἢ πτώσεις παθῶν τε ὑπομνήσεις ἢ ἀπὸ πυρὸς κίνδυνον καὶ ναυάγια. μάλιστα δὲ ἐὰν ἡμερινὴ ᾖ ἡ γένεσις καὶ αὐξιφωτοῦσα ἡ Σελήνη τύχῃ καὶ κακῶς πέσωσιν, ἔτι χεῖρον τὰ προγεγραμμένα ἀποβήσεται, ἔτι δὲ καὶ ἐπισκιασμοὺς τραύματα συνθραύσεις μελῶν ὀφθαλμῶν πόνους καὶ σίνη. ἐὰν δὲ ὑπὸ ἀγαθοποιῶν μαρτυρούμενοι τύχωσιν ἐν χρηματιστικοῖς τόποις, ἐπιφόβους πράξεις καὶ προκοπὰς ἀποτελοῦσιν· ἐπὶ δὲ θηλυκῶν κινδύνους σωματικοὺς αἱμαγμούς τε καὶ φθορὰς ἢ ἐμβρυοτομίας φυσικῶν τε τόπων πόνους ἐπάγει. Ἄρης Κρόνῳ κάκιστον καὶ ταραχῶδες τὸ ἔτος δηλοῖ· γίνονται γὰρ ἐν δίκαις καὶ ἐπηρείαις ζημίαις τε καὶ ἀθετήσεσι καὶ ἰδίων κινδύνους ἢ θανάτους καὶ φθορὰς ὁρῶσι βιαίοις τε πράγμασι καὶ ἐπιταράχοις περιπίπτουσι ξενιτείαις τε ἐπιβλαβέσι καὶ ἐπιλύποις ἢ λῃστηρίων ἐπιδρομαῖς ἀσθενείαις τε καὶ αἰφνιδίοις κινδύνοις, ἐχθρῶν ἐπαναστάσεις καὶ ἀπὸ δουλικῶν ἀδικίας ἢ λύπας, ἐγγύς τε συνοχῆς καὶ φόβων ἢ ἀπολογιῶν γενόμενοι ἀνιαρῶς διατεθήσονται, ἐκτὸς εἰ μή πως ἐν οἰκείοις ζῳδίοις τυχόντες ἢ ὑπὸ ἀγαθοποιῶν μαρτυρηθέντες ἀκροθιγεῖς τὰς αἰτίας ἀναδέξονται. Ἄρης Διὶ καλὸν καὶ πρακτικὸν τὸ ἔτος δηλοῖ, ἐπάγων κατορθώσεις ἢ μειζόνων ὠφελείας καὶ συστάσεις καὶ ἐλπίδας ἀγαθὰς καὶ τῶν προσδοκωμένων συντέλειαν· καὶ ἂν λόγον ἔχῃ στρατείας, στρατευθήσεται ὁ τοιοῦτος ἢ προκόψει. οἱ δὲ ἐν μείζονι τύχῃ ὄντες ἐν ἡγεμονίαις καὶ δόξαις ἐπίσημοι γενήσονται καὶ τόπων μεταβολὰς ἐπ' ἀγαθῷ ποιήσονται καὶ συγκοσμηθήσονται τῇ περὶ αὐτοὺς ὑποστάσει, πρότερον ἐν ἀνωμαλίαις καὶ ἐξοδιασμοῖς γενόμενοι.

197 ἐὰν δὲ διάμετρος τύχῃ, ἐναντιωμάτων καὶ ζημίας δηλωτικός. Ἄρης Ἀφροδίτῃ ἔχθρας καὶ χωρισμοὺς θηλυκῶν προσώπων καὶ ἀκαταστασίας οἰκείων καὶ μητρὸς θάνατον τοῖς ἔχουσιν εἴτ' οὖν θηλυκῶν, συνηθείας τε καὶ μοιχείας ἀπαραμόνους τε φιλίας δειγματισμούς τε. ἐὰν δὲ καὶ συμπάθειάν τινα ἔχωσι, ψύξεις ὑπομενοῦσι καὶ περὶ τὰς πράξεις ἀστάτως ἐνεχθήσονται, αἱ δὲ γυναῖκες ἐν αἱμαγμοῖς ἢ ἐκτρώσεσι γινόμενοι ἐπικινδύνως διάγουσιν. Ἄρης Ἑρμῇ παραδιδοὺς ἐπιτάραχον τὸ ἔτος δηλοῖ· κινδύνους γὰρ καὶ ζημίας ἐπέχων χάριν γραπτῶν καὶ ἀργυρικῶν ἢ ψηφικῶν ἀμφισβητήσεις μυστικῶν τε κακουργίας ἐγγύας τε καὶ χρεωστίας ἐπιθέσεις τε καὶ ἀπολογίας· καὶ ἐὰν εἰς δίσωμα ζῴδια τύχωσι, καὶ αὐτοὶ τὰ ὅμοια ἑτέροις ἐνδείξονται ἢ ῥᾳδιουργήσουσι. καὶ ἐὰν μὲν αἱ τρεῖς ἀφέσεις σώζωνται, τῶν προειρημένων περιγενήσονται· ἐὰν δὲ κἀκεῖναι κακῶς τύχωσιν, ἐν τοῖς διαπρασσομένοις ἀστατήσουσι, καὶ ἐὰν δίκην σχῶσιν, ἡττηθήσονται ἢ καὶ μείωσιν πλείστην ὑπομείναντες αἰτίαις οὐ ταῖς τυχούσαις περιτραπήσονται. 〈κγʹ.〉 Ἐπιμερισμοὶ Ἀφροδίτη ς . Ἀφροδίτη ἑαυτῇ ἐπιμερίζουσα καλῶς κειμένη ἐπάγει φιλίας καὶ συστάσεις ἀρρενικῶν καὶ θηλυκῶν συμπαθείας καὶ δωρεὰς καὶ συνηθείας ἐπιτερπεῖς καὶ γάμους καὶ οἰκείων εὐνοίας καὶ ἡδονὰς καὶ ὠφελείας. ἐὰν δὲ 〈μετὰ〉 Κρόνου ἢ Ἄρεως εὑρεθῇ ἢ ὑπὸ τούτων θεωρηθῇ ἢ καὶ ἐν ἀχρηματίστοις ζῳδίοις τύχῃ, ψόγους καὶ δειγματισμοὺς καὶ μοιχείας ἐπάγει ζημίας τε καὶ ἀθετήσεις καὶ δόλους γυναικῶν κρίσεις τε καὶ ἀκαταστασίας· ὁμοίως δὲ καὶ ταῖς γυναιξὶν ἐξ ἀνδρῶν. Ἀφροδίτη Ἡλίῳ δοξαστικὸν καὶ περιποιητικὸν ἀποτελεῖ τὸν χρόνον πρός τε ἀρρενικὰ καὶ θηλυκὰ πρόσωπα συστατικὸν καὶ ὠφέλιμον συνηθείας τε καὶ γάμους καὶ τεκνώσεις ἀγορασμούς τε καὶ δωρεὰς κόσμου καὶ σώματος, καὶ πατρὸς τοῖς ἔχουσι δόξαν ἢ καὶ συμπάθειαν ἀπὸ τοιούτων καὶ ὠφελείας, μάλιστα δ' ἂν καὶ καλῶς σχηματιζόμενοι τύχωσι. τοῖς δὲ ἐν ὑπεροχῇ στεμματηφορίας καὶ ἀρχιερωσύνας καὶ προκοπὰς καὶ ἀρχὰς ἐπάγει καὶ εἰς ὄχλους δωρεὰς χρηματισμοὺς καὶ μυστικῶν πραγμάτων ἢ θείων συνίστορας καὶ ἐπαφροδισίας καὶ εὐφροσύνας ἀποτελεῖ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

198 Ἀφροδίτη Σελήνῃ καλῶς κειμένη καὶ ἐπὶ ἐπικαίρων τόπων σχηματιζομένη περικτητικὸν καὶ ὠφέλιμον τὸν χρόνον δηλοῖ καὶ τῇ περὶ τὸν βίον συγκοσμεῖ φαντασίᾳ καὶ δόξας ἐπισήμους παρέχει, πλὴν μετὰ ζηλοτυπίας καὶ φιλονεικίας καὶ στάσεως καί τινων λαθραίων φθόνων· τὰς δὲ περικτήσεις καὶ τὰς ὠφελείας ἀτελέστους ἢ ἀπὸ μέρους εἴωθεν ἐπάγειν. κακῶς δὲ σχηματισθεῖσα ἀδικίας καὶ ἔχθρας ἀπό τε ἀρρενικῶν καὶ θηλυκῶν προσώπων ποιεῖ μετεωρισμούς τε καὶ ἀκαταστασίας πρὸς τὰ συγγενικὰ καὶ φιλικὰ πρόσωπα· ἀντίζηλος γὰρ καὶ φιλόνεικος ἡ παράδοσις αὐτῶν ὑπάρχει καθόλου. Ἀφροδίτη Κρόνῳ μετέωρον καὶ βλαβερὸν τὸν χρόνον δηλοῖ θηλυκῶν τε χωρισμοὺς μάχας ὕβρεις δειγματισμοὺς ἀδικίας ἐπάγει καὶ μητρὸς ἢ θηλυκῶν ἔχθρας τε συγγενικῶν ἢ ἀτιμίας καὶ πρὸς πρεσβύτερα πρόσωπα ἢ κοινωνικὰ ἀμφιλογίας ψόγοις τε ἢ πάθεσιν ἐπαίσχροις περιβάλλει καὶ φιλίαις καὶ συνηθείαις ἀβεβαίοις. δικάζονται δὲ πρὸς γυναῖκας καὶ ἀντικαταστάσεις ὑπομένουσι τόπων τε ἢ πραγμάτων ψύξεις ποιοῦνται ἀσθενείαις τε περιπίπτουσι καὶ κρυπτῶν ἢ αἰσθητηρίων πόνοις ἐπιβουλαῖς τε καὶ φαρμάκοις ἐπηρεάζονται καὶ χρονικοῖς πάθεσι, μάλιστα Ἄρεως ἢ Ἑρμοῦ συνεπιμαρτυρούντων. Ἀφροδίτη Διὶ ἀγαθὸν καὶ περικτητικὸν τὸ ἔτος δηλοῖ καὶ μειζόνων προσώπων συστάσεις καὶ δωρεὰς ἐπάγει ἀρχάς τε καὶ πολιτικὰς καὶ ὀχλικὰς φαντασίας δόξας τε καὶ προκοπὰς γάμους τε καὶ συμβουλὰς θηλυκῶν προσώπων καὶ φιλίας σποράς τε καὶ τεκνώσεις καὶ ἐπαφροδισίας ἐν τοῖς ἐγχειρουμένοις. ἐὰν δὲ καὶ μέτριός τις ᾖ, εὐπρακτήσει καὶ τῶν φαύλων ἢ ὑποταγῆς ἀπόλυσιν ἕξει πίστεώς τε ἢ τιμῆς καταξιωθήσεται καὶ συγκοσμηθήσεται τῇ περὶ αὐτὸν ὑποστάσει. Ἀφροδίτη Ἄρεϊ, μετέωρος ὁ ἐνιαυτός· γυναικῶν μάχας χωρισμοὺς αἱμαγμοὺς φθορὰς θηλυκῶν ἢ μητρὸς θάνατον· οἱ δὲ καὶ δίκας λέγουσι διὰ γυναῖκας ἀντιζηλίας καὶ ἔχθρας ὑπομένοντες καὶ δειγματισμοὺς ψόγους τε ἢ μοιχείας· ἀδικοῦνται δὲ ἢ προδίδονται καὶ παρὰ προαίρεσιν πράσσοντες ἢ ὑποκρινόμενοι φέρουσι τὴν κόλασιν. ἔσθ' ὅτε μὲν οὖν καὶ εὐκταῖον τὸν χωρισμὸν τῆς συμβιώσεως ἡγούμενοι διακρατοῦσι διά τινας προσδοκωμένας ἐλπίδας εὐθρυλλήτους περιβοήσεις.

199 Ἀφροδίτη Ἑρμῇ πρακτικὸν καὶ εὐεπήβολον τὸν χρόνον δηλοῖ περί τε τὰς δόσεις καὶ λήψεις καὶ ἐμπορίας καὶ τοῖς περὶ λόγον ἢ παιδείαν ὁρμωμένοις φιλίας περιποιεῖ ἀγορασμούς τε κόσμου καὶ σωμάτων κοινωνίας τε καὶ συναρμογὰς ἀρρενικῶν καὶ θηλυκῶν δόξας τε καὶ τιμὰς κατορθώσεις πραγμάτων συνίστοράς τε μυστικῶν καὶ παραθηκῶν πίστεις καὶ συγγενῶν συμπαθείας. 〈κδʹ.〉 Ἐπιμερισμοὶ Ἑρμο ῦ . Ἑρμῆς ἑαυτῷ ἐπιμερίσας πρακτικὸς καὶ ἐπωφελὴς περί τε τὰς ἐπιχειρήσεις καὶ πίστεις καὶ εὐεπηβόλους ἀποτελεῖ καὶ ἐχθρῶν ὑπερτέρους ὑποκριτικῶς καὶ μυστικῶς διαπρασσομένους πραγμάτων τε κατορθωτὰς καὶ τὰς ἀπὸ λόγων ἢ ψήφων εὐημερίας ἀναδεχομένους· καὶ μάλιστα ἐὰν ἀνατολικὸς τύχῃ ἢ ἐν χρηματιστικοῖς ζῳδίοις ἢ ὑπὸ Διὸς καὶ Ἀφροδίτης ἐπιθεωρηθῇ, μείζονας πίστεις καὶ ἐπωφελεῖς δηλοῖ· ὑπὸ δὲ κακοποιῶν, φόβων καὶ ἐναντιωμάτων δηλωτικός. Ἑρμῆς Ἡλίῳ παραδιδοὺς τὸ ἔτος εὐεπήβολος κοινωνικὸς πρακτικός, συστάσεις ἐπάγων μειζόνων καὶ αἰτήσεις καὶ δωρεάς, μεθ' ὑπερθέσεων δὲ καὶ ἐμποδισμῶν, διοικονομίας τε καὶ προστασίας καὶ ἱστορήσεις μυστικῶν πραγμάτων, τοῖς τε ἀπὸ λόγου καὶ παιδείας δοξαστικὸς καὶ ὠφέλιμος. τὰ δὲ πλεῖστα μυστικῶς καὶ μεθ' ὑποκρίσεως τελοῦντες περιγίνονται. Ἑρμῆς Σελήνῃ πρακτικὸν τὸ ἔτος δηλοῖ, μάλιστα δὲ ἐὰν καὶ καλῶς σχηματιζομένη καὶ ἀνατολικὴ ἡ Σελήνη τύχῃ καὶ ἐν χρηματιστικοῖς τόποις τύχωσι, συστάσεις τε ἀρρενικῶν καὶ θηλυκῶν προσώπων ἐπάγει καὶ ὠφελείας πραγμάτων καὶ κατορθώσεις καὶ πίστεις καὶ ἐν τοῖς διαπρασσομένοις ἐπιτευκτικὸς καὶ πρὸς τὰ μείζονα πρόσωπα συμπαθής. ἐὰν δὲ ἀνοικείως τύχῃ ἢ ὑπὸ κακοποιῶν θεωρηθῇ, κρίσεις καὶ ἐξοδιασμοὺς ἢ ἐπηρείας τε καὶ μειζόνων ἀπειλὰς ἐπάγει συνοχάς τε ἢ φόβους μυστικῶν τε προδοσίας. Ἑρμῆς Κρόνῳ ἐπιτάραχον καὶ ἐπικίνδυνον τὸ ἔτος δηλοῖ, πραγμάτων ἀνασκευὰς ἐπηρείας ζημίας τε καὶ κρίσεις ἐπάγων μυστικῶν τε ἢ γραπτῶν χάριν ἢ δανείων. γίνονται δὲ ἐν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀσθενείαις ἢ φθίσεσι καὶ νόσοις καὶ ὑπὸ χολῆς ὀχλοῦνται ἢ καὶ φαρμάκων πεῖραν λαμβάνουσι θανάτους τε ἰδίων ἢ ἀδελφῶν ἢ τέκνων θεωροῦσι καὶ περὶ νεκρικῶν δικάζονται ἢ ἀμφισβητοῦσιν.

200 ἐὰν δὲ καὶ διάμετροι ἢ τετράγωνοι ἢ κακῶς πεσόντες ὑπὸ Ἄρεως θεωρηθῶσι, καὶ καθ' ἑαυτῶν κινδυνῶδές τι μηχανῶνται ναυαγίοις τε καὶ κυλίσεσι περιπίπτουσι καὶ ἐπωδύνως διάγουσιν. οἰκείως δὲ σχηματισθέντες μετὰ ἐξοδιασμῶν καὶ ὑπερθέσεως δόξας καὶ κατορθώσεις πραγμάτων ἐπάγουσι, ἀπόστροφοι δὲ μέτριοι πρὸς τὰς αἰτίας γενήσονται. Ἑρμῆς Διὶ πρακτικὸς μὲν καὶ εὐεπήβολος συστάσεις καὶ φιλίας ἐπάγων κατορθώσεις τε πραγμάτων καὶ διοικονομίας καὶ μάντεις καὶ περὶ λόγους καὶ ψήφους εὐημερίας· πλὴν καθολικῶς ἐν ὄχλοις ἐπιταράσσονται καὶ περιβοησίας καὶ φόβους ὑπομένουσιν ἀκαίροις τε ἐξοδιασμοῖς περιτρέπονται καὶ πρὸς οἰκεῖα ἢ φιλικὰ ἢ συγγενικὰ ἀκαταστατοῦσι καὶ ἀγῶνα σώματος ὑπομένουσι, κἂν μὴ ἴδιον πλὴν ὑπὲρ ἑτέρων. Ἑρμῆς Ἄρεϊ οὐκ ἀγαθός· ἔχθρας καὶ κρίσεις ζημίας τε καὶ κακουργίας ἐπάγει πλαστογραφίας καὶ ἐγγύας καὶ δάνη ἐπιθέσεις τε καὶ συλήσεις ἀστασίας τε καὶ προδοσίας οἰκείων τε ἀκαταστασίας. ἔσθ' ὅτε μὲν οὖν καὶ αὐτοὶ ἑτέροις τὰ αὐτὰ ἐνδείξονται· πλὴν περὶ τὰς ἐπιβολὰς θρασεῖς καὶ πρακτικοὶ γίνονται καὶ ποικίλως διευθύνουσιν ἐπιβολὰς μηχανώμενοι καὶ ἐπιφόβως καὶ ἐπιταράχως διάγουσιν ὑπόπτους αἰτίας ἢ καθαιρέσεις προσδοκῶντες. Ἑρμῆς Ἀφροδίτῃ ἀγαθὸν καὶ πρακτικὸν τὸν χρόνον δηλοῖ περί τε τὰς δόσεις καὶ τὰς λήψεις ἀγορασμούς τε καὶ συναλλαγὰς ἐπαφροδίτους καὶ τοῖς διὰ λόγου ἢ παιδείας ἢ δι' οἰκονομίας ὠφέλιμον, συστάσεις τε καὶ φιλίας καινοτέρας ἐπικτῶνται καὶ συνηθείας, καὶ ἐπιπλοκαῖς ἀρρενικῶν καὶ θηλυκῶν περιτρέπονται. τοῖς δ' ἐν μείζονι τύχῃ καθεστῶσι σωμάτων καὶ κόσμου περίκτησιν ἐπάγει εἴς τε τὰς αἰτήσεις καὶ φιλίας καὶ προκοπὰς εὐεπιτεύκτους ἀποτελεῖ καὶ πρὸς ἰδίους εὐεργετικούς. 〈κε'.〉 Τῶν τεττάρων κλήρων μερισμο ί . Ὁ κλῆρος τῆς τύχης παραδιδοὺς ἢ παραλαμβάνων ἐν χρηματιστικοῖς τόποις ἀγαθοποιῶν ἐπόντων ἢ μαρτυρούντων εὐτυχίαν δηλοῖ καὶ προκοπὴν πράξεις τε καὶ δόξας καὶ πραγμάτων κατορθώσεις καὶ προσδοκωμένων συντέλειαν καὶ ἀπὸ νεκρικῶν ὠφελείας.

201 ἀποκεκλικὼς δὲ ἢ ὑπὸ κακοποιῶν μαρτυρούμενος ἥττονας μὲν τὰς πράξεις ἢ τὰς δόξας παρέχει, ἀπαραμόνους δὲ ἢ ὅσα ἂν διαπράξωνται μετὰ ἐναντιωμάτων καὶ κινδύνων ἢ κρίσεων καὶ ἐπηρειῶν. Ὁ δαίμων παραδιδοὺς ἢ παραλαμβάνων ἐν χρηματιστικοῖς τόποις ἀγαθοποιῶν ἐπόντων καταθυμίους προαιρέσεις ἀποτελεῖ κριτικούς τε καὶ εὐκατορθώτους λογισμοὺς καὶ φίλων συμβουλίας ἐπωφελεῖς συστάσεις τε μειζόνων δωρεάς τε καὶ δόξαν καὶ εἰς τὰς ἐπιβολὰς εὐεπιτεύκτους παρεπηρμένους τε τῇ διανοίᾳ οἴησιν πλείστην ἔχοντας. παραπεπτωκὼς δὲ ἢ ὑπὸ κακοποιῶν μαρτυρούμενος μετεωρισμοὺς καὶ ψυχικὰς βασάνους ἐπάγει ἀναισθησίας τε καὶ ἐναντιοβουλίας τὰ ἴδια ἁμαρτήματα κατορθώσεις νομίζοντας καὶ ἄλλοις τὰς αἰτίας ἐπιφέροντας, τῶν δὲ πλείστων ἀστοχοῦντας. ὅθεν οἱ τοιοῦτοι ἐκκακοῦντες ἔσθ' ὅτε καὶ καθ' αὑτῶν κινδυνῶδές τι μηχανῶνται καὶ ὡς μανιώδεις διαλαμβάνονται καὶ ἐν ἐκστάσει φρενῶν γίνονται. Ὁ ἔρως παραδιδοὺς ἢ παραλαμβάνων ἐν χρηματιστικοῖς τόποις καὶ ἀγαθοποιῶν ἐπόντων ἢ μαρτυρούντων εὐπροαιρέτους ἐπιθυμίας κατασκευάζει καὶ καλῶν ἐραστάς· οἱ μὲν γὰρ περὶ παιδείαν καὶ ἄσκησιν σωματικὴν ἢ μουσικὴν τρέπονται καὶ μεθ' ἡδονῆς κολακευόμενοι τῇ μελλούσῃ ἐλπίδι ἀκοπίαστον ἡγοῦνται τὴν ἀνίαν, οἱ δὲ ἀφροδισίοις καὶ συνηθείαις θελχθέντες θηλυκῶν τε καὶ ἀρρενικῶν ἀγαθὸν ἡγοῦνται. Ἄρης μὲν οὖν καὶ Ἑρμῆς ἐπιμαρτυρήσαντες ἢ ἐπόντες τῷ τόπῳ καὶ μάλιστα ἐν ἰδίοις ζῳδίοις παιδεραστὰς ποιοῦσιν ἢ ἐπ' ἀμφοτέροις ψογίζονται ἢ φιλόπλους τε καὶ φιλοκυνήγους καὶ φιλοπαλαίστρους· Ἀφροδίτη δὲ θηλυκῶν συνηθείας, ἔσθ' ὅτε μὲν οὖν καὶ στερχθέντες ἀντιστέργουσιν. ὁμοίως δὲ καὶ ἕκαστος τῶν ἀστέρων ὁ κεκληρωμένος τὸν τόπον ἢ ἐπιμαρτυρῶν ἢ παραλαμβάνων τὸν χρόνον κατὰ τὴν ἰδίαν φύσιν τὸ εἶδος τῆς ἐπιθυμίας κατασκευάσει. καθόλου μὲν οὖν κακοποιῶν ἐπόντων ἢ

μαρτυρούντων ἐπὶ βασάνῳ καὶ ζημίᾳ καὶ κινδύνῳ τὰ τῆς ἐπιθυμίας γενήσεται. ἐὰν δέ πως ὁ τοῦ Κρόνου σὺν τῷ τῆς Ἀφροδίτης καὶ τῇ Σελήνῃ συμπαρῇ ἢ ἐπιμαρτυρήσῃ, αἰσχρῶν καὶ ἀσελγῶν ἔργων ἐρῶσι ἐπί τε ἀρρενικῶν καὶ θηλυκῶν ψογίζονται καὶ περιβοησίας ὑπομένουσιν ἢ μετανοοῦντες ἀντιστρεπτοῦσιν ὑπὸ τοῦ πάθους νικώμενοι.

202 ἐὰν δέ πως ὁ τοῦ Διὸς συνεπιμαρτυρήσῃ, ἀξιοπίστως ἢ δυνατῶς τὸ γενόμενον ἔσται ἢ μυστικῶς. Ἄρεως δὲ καὶ Ἑρμοῦ ἐπόντων ἢ ἐπιμαρτυρούντων ἢ παραλαμβανόντων τὸν χρόνον κακούργων πραγμάτων ἢ ληστρικῶν ἐρῶσι· γίνονται γὰρ πλαστογράφοι ἅρπαγες θυρεπανοῖκται κυβευταὶ τεθηριωμένην τὴν διάνοιαν ἔχοντες. ἐὰν δὲ καὶ ὁ τῆς Ἀφροδίτης ἐπιμαρτυρήσῃ, φαρμακοὶ μοιχοὶ αὐτόχειρες· ὅθεν κατὰ τοὺς ἐπιβάλλοντας χρόνους ἐγγύαις καὶ δάνεσι περικυλιόμενοι καὶ κακουργίαις συνοχῆς ἢ κρίσεως πεῖραν λαμβάνοντες ἐπικινδύνως διάγουσιν. ἰσχυρὸς ὁ τόπος πρὸς πολλὰ ὑπάρχει, ὅθεν αὐτῷ προσεκτέον. λαμβάνεται δὲ ὁ κλῆρος τοῦ ἔρωτος ἡμέρας μὲν ἀπὸ τοῦ κλήρου τῆς τύχης ἐπὶ τὸν τοῦ δαίμονος καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου, νυκτὸς δὲ τὸ ἀνάπαλιν. [Περὶ ἀνάγκης.] Ἀνάγκη παραδιδοῦσα ἢ παραλαμβάνουσα ἐν χρηματιστικοῖς τόποις ἀγαθοποιῶν ἐπόντων ἢ μαρτυρούντων οἰκειώσεις μὲν ἐπάγει καὶ μείζονας συστάσεις καὶ ἐχθρῶν καθαιρέσεις ἢ θανάτους, κακοποιῶν δὲ ἐπόντων ἀντιδικίας καὶ κρίσεις ἐπάγει καὶ ἐξοδιασμούς· ὅθεν καὶ παρὰ προαίρεσιν διαπράξαντες ἀνιαρῶς διάγουσιν. ἐὰν δέ πως τὸ σχῆμα κακωθῇ, τινὲς καταδικάζονται ἢ καθαιροῦνται. λάμβανε δὲ ἀπὸ δαίμονος ἐπὶ τύχην, νυκτὸς δὲ τὸ ἀνάπαλιν. Ταῦτα μὲν οὖν ἐπὶ τῶν ἀρρενικῶν γενέσεων καὶ χρόνων διέσταλται· ὁμοίως δὲ κατὰ τὰ οἰκεῖα σχήματα τῶν παραδόσεων καὶ τὰ δυνάμενα χωρεῖν ἁρμόσει καὶ ἐπὶ θηλυκῶν γενέσεων. 〈κϛʹ.〉 Τὸ τέταρτον περὶ χρόνων διαιρέσεως καὶ τὴν ἑπτάζωνον ἀνωφερῶς κατὰ Κριτόδημο ν . Σελήνη αʹ ἔτος αʹ· Ἑρμῆς βʹ ἔτη βʹ· Ἀφροδίτη γʹ ἔτη γʹ· Ἥλιος δʹ 〈ἔτη δʹ〉 · Ἄρης εʹ ἔτη εʹ· Ζεὺς ϛʹ ἔτη ϛʹ· Κρόνος ζʹ ἔτη ζʹ· γίνοντα ἔτη κηʹ. μονομοιρία δὲ γίνεται οὕτως· ἐν ᾧ ἐὰν ἡ Σελήνη ζῳδίῳ ᾖ, αὐτὸς γίνεται πρῶτος [ὁ] κύριος τοῦ ζῳδίου καὶ λήψεται, εἶτα κατὰ ζώνην οἱ ἄλλοι. οἷον ὑποδείγματος χάριν ἔστω Σελήνην εἶναι Ζυγῷ μοίραις ϛʹ· πρώτη Ἀφροδίτη λήψεται, δεύτερος Ἑρμῆς, τρίτη Σελήνη, τέταρτος Κρόνος, πέμπτος Ζεύς, ἕκτος Ἄρης· γίνεται Ἄρεως μονομοιρία. Ἄρης οὖν πρῶτος λήψεται, ὁ κύριος τῆς μονομοιρίας τῆς Σελήνης, ἔτη εʹ, εἶτα οἱ ἑξῆς κατὰ γένεσιν μετὰ τὸν Ἄρεα κείμενοι ἀστέρες· μετὰ δὲ τὸ συμπληρωθῆναι ἔτη κηʹ ἄρχου πάλιν ἀπὸ τοῦ μετὰ τὸν Ἄρεα κειμένου ἀστέρος.

203 ποίει δὲ καὶ τὰ ιʹ ἔτη καὶ μῆνας θʹ, ἡμέρας μὲν ἀπὸ Ἡλίου, νυκτὸς δὲ ἀπὸ Σελήνης. ἐὰν δὲ ἡμέρας ὁ Ἥλιος μὲν κακῶς κεῖται, ἀπὸ Σελήνης ἄρχου· ὁμοίως καὶ νυκτὸς ἀπὸ Ἡλίου. ἐὰν δὲ ὁ Ἥλιος καὶ ἡ Σελήνη ἀκυρολόγητοι γένωνται, ἀπὸ τοῦ οἰκοδεσπότου ἢ ἄλλου τινὸς ἀστέρος καλῶς κειμένου. 〈κζʹ.〉 Ἄλλως ἐκ τοῦ Σεύθου περὶ ἐνιαυτῶν ἐκ τοῦ Ἑρμείου σχολὴν τὴν ἄφεσιν ποιοῦσα ἀπὸ Ἡλίου ἢ Σελήνης ἢ ὡροσκόπου ἢ κλήρου τύχη ς . Τόποι δʹ εἰσίν, ἀφ' ὧν ἡ ἀρχὴ τοῦ ἔτους λαμβάνεται, οἷον Ἡλίου ἢ Σελήνης ἢ ὡροσκόπου ἢ κλήρου τύχης. ἔστι δὲ ἡ κατάκρισις ἥδε· Ἡλίου ἐπικέντρου ὄντος ἀπὸ αὐτοῦ ψηφίζειν δεῖ· ἐπὶ δὲ νυκτὸς ἀπὸ Σελήνης ὁμοίως ἐπικέντρου μοιρικῶς οὔσης· τούτων δὲ ὑστερούντων ἀπὸ τοῦ ὡροσκόπου· ἐὰν δὲ ὁ κλῆρος τῆς τύχης ἐπίκεντρος ὑστερούντων τῶν φώτων, ἀπὸ αὐτοῦ τὴν ἀρχὴν τοῦ ἐνιαυτοῦ ποιοῦ. ἀλλότριον δὲ ὁμοίως ἔσται ἐπὶ τῶν τὰ φῶτα ἐπιφερόμενα τοῖς κέντροις ἐχόντων ἀπὸ τοῦ παρ' ἰδίαν αἵρεσιν ἄρχεσθαι· ἰσχυροτέρως γὰρ κατὰ τὴν ἡμετέραν ἀγωγὴν ἐπιγνώσῃ, ἐπὶ ποίων ζῳδίων χρηματίζει ἐπιφερόμενος τῆς γενέσεως ὁ ἐνιαυτός. ἡμέρας μὲν ἀπὸ Ἡλίου, ἐὰν μὲν τύχῃ ὡροσκοπῶν ἢ μεσουρανῶν· εἰ δὲ μή γε, ἀπὸ τοῦ ὡροσκοποῦντος ζῳδίου ἔκβαλλε, καὶ εἰς ὃ ἂν καταλήξῃ ὁ ἐνιαυτός, ἀπὸ τοῦ κυρίου τοῦ τόπου οὗ ἦν ἐπὶ γενέσεως διέκβαλλε τὸν ἐνιαυτόν. νυκτὸς δὲ ἀπὸ Σελήνης, ἐάνπερ τύχῃ ὡς προεῖπον ἐπὶ τοῦ Ἡλίου, μάλιστα ἐὰν ἀνατολικὴ ᾖ καὶ τοῖς ἀριθμοῖς προσθετική· ἐπὶ δὲ τῶν δύο φώτων τῶν πνευμάτων ἐὰν μὴ καὶ πλήρη κἂν ἀφαιρῇ τὸν ἀριθμὸν τύχῃ ἀπὸ τοῦ συνδέσμου ἐὰν ἐπίκεντρος μόνον ἐπὶ μέγιστα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κείμενος . εἰ δὲ μή γε καθὼς προγέγραπται, ἀπὸ τοῦ κυρίου τοῦ καταλήγοντος τόπου ἀπὸ τοῦ ὡροσκόπου. ἐὰν γὰρ εὕρῃς τὰ ζῴδια κεντρούμενα ἢ ἀγαθοποιούμενα ἢ καὶ αἴτια ἀπὸ τῶν ἐπιπαρόντων ἢ καὶ ἐφορώντων κατὰ τὴν πρώτην τάξιν καὶ ἐπὶ τῆς παρόδου, δηλοῖ ὅτι καλὰ ἔσται τὰ ἐνιαυτῶν ἀποτελέσματα· κακῶν δὲ ὄντων τῶν τόπων τὸ ἐναντίον ἀποβήσεται, ὡς τῶν ἐφορώντων ἀνατολικῶν ἀστέρων καὶ τὸ πράσσειν παρεχόντων, τῶν δὲ δυτικῶν ἀπραγίας καθαιρέσεις τῶν πρασσομένων, ἐὰν μὴ τὰ πράγματα κρύφιμα τύχῃ.

204 〈κη′.〉 Περὶ μηνὸς ποῦ ἔστα ι . Τὸν δὲ μῆνα λήψῃ οὕτως. ἀπὸ τοῦ παροδικοῦ Ἡλίου ἐπὶ τὸν κατὰ γένεσιν Ἥλιον καὶ τὰ ἴσα ἀπὸ τοῦ κεκληρωμένου τὸν ἐνιαυτὸν ζῳδίου. ἐπιτηρεῖν καὶ τὸ ζῴδιον, ἐν ᾧ ἡ σύνοδος γέγονεν, ἐάνπερ ᾖ συνοδικὴ ἡ γένεσις· ὁμοίως δὲ καὶ τὸ ζῴδιον, ἐν ᾧ ἔσται [καὶ] ἡ πανσέληνος, [καὶ] ἐάνπερ ᾖ πανσεληνιακή· ἐν γὰρ τούτοις τοῖς ζῳδίοις οἱ μῆνες χρηματίζουσι καὶ τὴν ἀρχὴν ἔχουσιν· ὁποίαν ἂν τύχῃ ἐπὶ γενέσεως ἔχουσα ἡ Σελήνη ἤτοι ἀπὸ συνόδου ἢ ἀπὸ πανσελήνου, καὶ ἐπὶ τὴν ὁμοίαν ἀναπληροῖ ἡ τοῦ μηνός. οἷον ἐὰν τριταία ἢ πεμπταία ἤτοι ἀπὸ τῆς συνόδου ἢ πανσελήνου, ἔκτοτε ἔσται καὶ ἡ ἀρχὴ τοῦ μηνός. 〈κθ′.〉 Περὶ ἡμέρας χρηματιστικῆ ς . Τὰς δὲ ἡμέρας οὕτως εὑρήσεις. τὰ καταγόμενα ἔτη πλήρη τῆς γενέσεως πολυπλασίασον ἐπὶ ε′ δ′ καὶ τὰς ἀπὸ τῆς γενεθλίου ἡμέρας μέχρις οὗ ζητεῖς προσυπολάμβανε μετὰ τῶν πολυπλασιασθέντων ἀριθμῶν· κἂν μὲν ᾖ κατὰ Ἀλεξανδρεῖς, πρόσθες τὰς ἐμβολίμους τουτέστι τῶν πλήρων ἐτῶν τὸ δ′ καὶ ταῦτα ἀπὸ τοῦ πλήθους διέκβαλλε ὁσάκις δύνασαι ἀνὰ ιβ′. τὰς λοιπὰς πολυπλασίασον ἐπὶ τὸν ε′ καὶ ἐπὶ τὰς ἀπὸ γενέσεως ἡμέρας μέχρις οὗ ζητεῖς καὶ μέριζε εἰς τὸν ιβ′· καὶ τὰ καταλειφθέντα ἔκβαλλε ἀπὸ τῆς Σελήνης τῆς κατὰ γένεσιν καὶ ἑκάστῳ ζῳδίῳ μίαν ψῆφον διδοὺς ἀπὸ τοῦ κεκληρωμένου ζῳδίου τὸν μῆνα διέκβαλλε. καὶ ὅπου δἂν καταντήσῃ ὁ ἀριθμός, ἐκείνου τοῦ ζῳδίου τὸν κύριον σκόπει καὶ πρὸς τοὺς ἐφορῶντας ἀστέρας τὴν ποιότητα τῆς ἡμέρας δήλωσον. Τὰς δὲ ὥρας οὕτως. ἀπὸ τοῦ κεκληρωμένου ζῳδίου τὴν ἡμέραν διέκβαλλε περὶ τὴν τῆς ἡμέρας ἀρχὴν ἀνὰ δύο ἀπὸ τῆς γενεσιακῆς ὥρας, καὶ γνώσῃ τὰς καλὰς καὶ ἐμπράκτους ὥρας.

205 εὔχρηστον δὲ καὶ πρὸς παντὸς πράγματος ἐπιβολὴν καὶ καταρχήν· καὶ μάλιστα τὰς ἀσθενικὰς καὶ κατακλιτικὰς ἀκριβῶς ἐπιγνώσῃ 〈ἐκ〉 τῶν ὡροσκοπικῶν πρὸς τὰ φῶτα καὶ τὰ λοιπὰ κέντρα τῶν ἀστέρων. Ὅσα μὲν κύρια ἦν ἐπὶ ἑτοιμοτέρας σκέψεως, ἐν τούτοις εἴρηται· ὅσον δὲ [τῆς] ἐκ τῆς συντόμου ταύτης ἀναπτύξεως, πολλὴν ἐπίδοσιν ἑαυτῷ παρέξει, ἐάνπερ ᾖ εὐφυεῖ χρώμενος ψυχῇ καὶ πρὸς ὃν ἂν ὁ νοῦς τοῦ ἀνθρώπου ἔρχηται λογισμὸν κἂν ἐν φύσει κεχορηγημένος. Τὸν περίπατον ἐὰν ποιῇς, τοῖς ὁρίοις χρῶ, οἷον η′ ζ′ ς′ ε′ δ′, ἐὰν ἢ τὸν ἀπὸ Ἡλίου ἐνιαυτὸν ἢ τὸν μῆνα ἀπὸ τοῦ κατὰ πάροδον Ἡλίου ἐπὶ τὴν κατὰ γένεσιν Σελήνην καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου *** τῶν ἐνιαυτῶν ἢ ὡς παρετηρησάμην ἐγὼ Ἑρμεία ς. δεῖ δὲ ἀπὸ πάντων τῶν ἀστέρων ἐπὶ πάντας τοὺς ἀστέρας [ἀφέσεις] τὸν περίπατον ποιεῖσθαι κατὰ τὰς ἀναφορὰς τῶν ζῳδίων καὶ τὰ κλίματα. οἷον ἐὰν περὶ γυναικός, ἀπὸ Ἀφροδίτης, ἢ θυγατέρων ἢ θηλυκῶν εἰδῶν· ὅταν δὲ περὶ πράξεως, ἀπὸ Ἑρμοῦ, καὶ τῶν ἀνηκόντων· ὅταν δὲ περὶ κινδύνων ἢ θανάτου ἢ νόσων ἢ αἱμαγμῶν, ἀπὸ τῶν κακοποιῶν ἐπὶ τὸν ὡροσκόπον ἢ Ἥλιον ἢ Σελήνην· καὶ ἀπὸ τῶν ἄλλων ὁμοίως. προσέχειν δὲ δεῖ καὶ ἐν τίσιν ὁρίοις οἱ περίπατοί εἰσι καὶ τίνες τῶν ἀστέρων ἀκτινοβολοῦσι καὶ τίνες κατ᾽ ἐπέμβασιν ἐν τῷ ζῳδίῳ τοῦ περιπάτου εἰσίν· ὁμοίως καὶ τὸν παραδεδωκότα ἢ παραλαμβάνοντα, πῶς ἔχουσι πρὸς τὴν γένεσιν καὶ πῶς ἀνέτειλαν καὶ πῶς ἐν τῇ γενέσει ἐγένοντο. Ἄλλως περὶ ἐνιαυτο ῦ. Τοὺς δὲ ἐνιαυτοὺς οὕτως λήψῃ· ἀπὸ Ἡλίου, ὃς δηλοῖ τὰ ψυχικά· ἀπὸ Σελήνης, ἣ δηλοῖ τὰ σωματικὰ καὶ περὶ μητρός· ἀπὸ κλήρου τύχης. τούτους δὲ ἐξεταστέον, πῶς ἔχουσι πρὸς ἀλλήλους· ἐὰν γὰρ ἀγαθοποιοὶ ὦσι καὶ συμφώνως φανῶσι, καὶ ἀγαθὸν τὸν ἐνιαυτὸν σημαίνουσιν· ἐὰν δὲ κακοποιοί, ἐναντίον· ἐὰν δὲ ἀγαθοποιοὶ καὶ κακοποιοί, μεμιγμένον καὶ τὸ ἔτος ἀποτελοῦσι. χρηστέον δὲ καὶ τῷ λεγομένῳ κυνικῷ ἐνιαυτῷ. 〈λ′.〉 Περὶ χρόνων ἐμπράκτων καὶ ἀπράκτων πρὸς τὸ τέταρτον τῆς περιόδο υ .

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Διαίρεσις χρόνων ἐμπράκτων πρὸς τὰ τέταρτα. οἷον Κρόνου ἔτη λʹ, τὸ τέταρτον ζʹ ἥμισυ· Διὸς ἔτη ιβʹ, τὸ τέταρτον ἔτη γʹ· Ἄρεως ἔτη ιεʹ, τὸ τέταρτον ἔτη γʹ μῆνες θʹ· Ἡλίου ἔτη ιθʹ, τὸ τέταρτον ἔτη δʹ μῆνες θʹ.

206 Ἀφροδίτης ἔτη ηʹ, τὸ τέταρτον ἔτη βʹ· Ἑρμοῦ ἔτη κʹ, τὸ τέταρτον ἔτη εʹ· Σελήνης ἔτη κεʹ, τὸ τέταρτον ἔτη ςʹ μῆνες γʹ. ταῦτα οἱ μικροὶ κύκλοι αὐτῶν, ὁ δὲ μέγιστος αὐτῶν Ἡλίου ρκʹ, Σελήνης ρηʹ, Κρόνου νζʹ, Διὸς οθʹ, Ἄρεως ξςʹ, Ἀφροδίτης πβʹ, Ἑρμοῦ οςʹ. μερίζουσι δὲ τὰς ἡμέρας οὕτως· οἷον Κρόνου εἰσὶν ἡμέραι χλζʹ, Διὸς σνεʹ, Ἄρεως τιηʹ, Ἡλίου υλγʹ, Ἀφροδίτης τξηʹ ιηʹ, Ἑρμοῦ υκγʹ ιηʹ, Σελήνης φλαʹ. Ζεὺς ἐκ τῶν γʹ ἐτῶν μερίζει ἑαυτῷ ἡμέρας ρβʹ, Ἄρει ρκζʹ ιβʹ, Ἡλίῳ ρξαʹ ςʹ, Ἀφροδίτῃ ξζʹ ιβʹ, Ἑρμῇ ροʹ ιβʹ, Σελήνῃ σιβʹ ςʹ, Κρόνῳ σνεʹ. Ἄρης ἐκ τῶν γʹ ἐτῶν καὶ μηνῶν θʹ ἑαυτῷ ρνθʹ εʹ, Κρόνῳ τιηʹ, Διὶ ρκζʹ, Ἡλίῳ σιθʹ, Ἀφροδίτῃ πδʹ ιηʹ, Ἑρμῇ σιβʹ καʹ, Σελήνῃ σξεʹ δύο τρίτα. Ἥλιος ἐκ τῶν ἐτῶν δʹ καὶ μηνῶν θʹ Κρόνῳ υγʹ, Διὶ ρξαʹ ὥρας ιβʹ, Ἄρεϊ σαʹ, Ἡλίῳ σνεʹ ηʹ, Ἀφροδίτῃ ξςʹ καʹ, Ἑρμῇ σξζʹ δʹ, Σελήνῃ τλςʹ ςʹ. Ἀφροδίτη ἔτη βʹ· Κρόνῳ ροʹ, Διὶ ξηʹ, Ἄρεϊ πεʹ, Ἡλίῳ ρζʹ ιβʹ, ἑαυτῇ μεʹ, Ἑρμῇ ριγʹ ιβʹ, Σελήνῃ ρμαʹ ιβʹ. Ἑρμῆς ἔτη εʹ· Κρόνῳ υκεʹ, Διὶ ροʹ, Ἄρεϊ σιβʹ, Ἡλίῳ σξηʹ ιζʹ, Ἀφροδίτῃ ριβʹ, ἑαυτῷ σπγʹ ιβʹ, Σελήνῃ τνηʹ ιηʹ. Σελήνη ἐκ τῶν ἐτῶν ςʹ καὶ μηνῶν γʹ Κρόνῳ υκεʹ, Διὶ ροʹ, Ἄρεϊ σξεʹ ιεʹ, Ἡλίῳ τλςʹ, Ἀφροδίτῃ ρμαʹ ιςʹ, Σελήνῃ υμβʹ. ὅπου δʼ ἂν καταλήξῃ τὸ ἔτος, ὁ κύριος τοῦ ζῳδίου πρῶτος δίδωσιν· οἷον Κρόνος πεʹ, εἶτα Ἥλιος νγʹ ὥρας ιηʹ, Ἑρμῆς νςʹ ὥρας ιηʹ, Ἀφροδίτη κβʹ ὥρας ιηʹ, Ζεὺς λδʹ, Σελήνη οʹ ὥρας ιηʹ, Ἄρης μβʹ ὥρας ιβʹ. Ἄλλη ἀγωγ ή. Ὅσα ὅρια ἔχει τις τῶν ἀστέρων ἐν τοῖς ιβʹ ζῳδίοις, τοσαῦτα ἔτη δίδωσιν. οἷον ὡροσκόπος Ζυγῷ· κατάγονται ἔτη κηʹ· Αἰγόκερως τὰς πρώτας νζʹ Κρόνῳ δίδωσιν, εἶτα Ἑρμῇ οςʹ, εἶτα Ἀφροδίτῃ πβʹ, εἶτα Διὶ οθʹ, εἶτα Ἄρεϊ ξεʹ, εἶτα Σελήνῃ οʹ, εἶτα Ἡλίῳ ὥρας ςʹ.

207 Ἄλλη διαίρεσι ς. Τὰ ἐλάχιστα τοῦ ἀστέρος πολυπλασίασον ἐπὶ τὸν δʹ καὶ δίδου Σελήνῃ κεʹ Ἡλίῳ ὥρας ςʹ· ἕξει οὖν ὁ τοῦ Κρόνου διὰ τὸν Αἰγόκερω ἡμέρας ρκʹ, εἶτα Ἑρμῆς πʹ, εἶτα Ἀφροδίτη λβʹ, εἶτα Ζεὺς μηʹ, εἶτα Ἄρης ξʹ, εἶτα Σελήνη κεʹ, εἶτα Ἥλιος ὥρας ςʹ· ὁ ἐνιαυτὸς ἡμέρας καὶ νυκτὸς ἀπὸ τοῦ ὡροσκόπου. κατάγει τις ἔτη κηʹ ἐλάχιστα ἀπὸ Ζυγοῦ, ἔστι δὲ Κρόνος Ταύρῳ· τὰ κηʹ καταλήγει εἰς Λέοντα· Ζυγῷ οὖν Κρόνος παρέδωκεν Ἡλίῳ καὶ ἔχει τὸν ἐνιαυτὸν Ἥλιος. τοῦτο ἀρέσκει Αἰγυπτίοις Βαβυλωνίοις καὶ Ἕλλησι ν. Τὰ τρίγωνα συγκρίνουσιν οὕτως [κηʹ]. Ἀφροδίτη κυρία τοῦ τριγώνου· ἀπὸ οὖν Ἀφροδίτης τῆς ἐν Καρκίνῳ καταλήγει εἰς Ζυγόν· ὁ κύριος τοῦ τριγώνου ἡμέρας Κρόνος Ζυγῷ· Κρόνος ἀπὸ Ἀφροδίτης παρέλαβε τὸν ἐνιαυτόν· ἡ διαίρεσις μάχεται. Liber V.

208 (1t) Οὐεττίου Οὐάλεντος Ἀντιοχέως βιβλίον εʹ κλειδίου τὸ ἑπόμενον τῷ τετάρτῳ. 〈αʹ.〉 Περὶ αἰτιατικοῦ τόπο υ . Ἐν μὲν τοῖς προτεταγμένοις βιβλίοις αἱρέσεις μετʼ ἐπιλύσεως ἐξεθέμεθα, νυνὶ δὲ ἐν ταύτῃ καὶ ἑτέρους δυναστικοὺς τόπους ἐπιδιασαφήσομεν καὶ τὰς εἰς τὴν τῶν ἀστέρων διαίρεσιν ἁρμοζούσας κλεῖδας. Τούτων οὕτως ἐχόντων ἀναγκαῖον καὶ ἕτερον τόπον ἐκ πείρας δοκιμάσαι, ὃν ἀφθόνως ἐπιδείξω, ὅς ἐστιν αἰτιατικὸς καὶ φόβων καὶ κινδύνων καὶ δεσμῶν παραίτιος. ἔστι μὲν οὖν καὶ οὗτος ὁ τόπος ἰσχυρός, λαμβανόμενος ἡμέρας ἀπὸ Κρόνου ἐπὶ Ἄρεα, νυκτὸς δὲ ἀπὸ Ἄρεως ἐπὶ Κρόνον καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου (ἄλλοι τὰ ἴσα ἀπὸ Ἑρμοῦ). ὅπου δʼ ἂν ἐκπέσῃ, σκοπεῖν δεήσει μὴ κακοποιοῦ ζῴδιον ἢ κακοποιοὶ ἐπῶσιν ἢ μαρτυρῶσιν. οὕτως γὰρ ἐπισφαλεῖς 〈καὶ ἐπι〉 κίνδυνοι αἱ γενέσεις γίνονται καὶ καθαιρετικαί· ἑκάστου δὲ ἀστέρος καὶ ζῳδίου ἡ φύσις τὸ εἶδος ἐποίσει· οἱ δὲ ἀγαθοποιοὶ ἐπόντες ἢ μαρτυροῦντες ἧττον τὸ κακὸν ἢ διεκδρομὴν τῶν αἰτίων ἐποίσουσιν. Ἔδοξε δὲ μᾶλλον καὶ τούτῳ τῷ τόπῳ χρῆσθαι· ἐπὰν γὰρ ἑξάγωνος εὑρεθῇ ἢ Ἥλιος ἢ Σελήνη Κρόνῳ ἢ Ἄρεϊ ζῳδιακῶς, ἐπίφοβος ἡ γένεσις καὶ καταιτιατικὴ ἐντὸς μοιρῶν οʹ καὶ ἐν τοῖς ἀκούουσι ζῳδίοις, ἐξαιρέτως δὲ ἐν ἐκείνῳ τῷ χρόνῳ, ὅταν τις αὐτῶν τὴν παράδοσιν πρὸς τὸ τοιοῦτον σχῆμα ποιήσηται. οἷον ἐὰν Ἥλιος Κρόνῳ Ἄρεϊ ἢ Σελήνη, πάλιν εἰ Κρόνος ἢ Ἄρης Ἡλίῳ ἢ Σελήνῃ,

κἂν μὴ ἀμφότεροι κατὰ τὸ αὐτὸ τύχωσιν, εἷς δὲ αὐτῶν ἑξάγωνος εὑρεθῇ, ὁ δὲ ἕτερος ἀπὸ τετραγώνου ἢ τριγώνου ἢ διαμέτρου ἀπόστροφος τυχὼν παράδοσιν ἢ παράληψιν ποιήσηται πρὸς τὸ τοιοῦτον σχῆμα· τότε γὰρ ἐπιταραχθήσεται ἡ γένεσις καὶ ἐν ἀπολογίαις ἢ συνοχαῖς ἢ τηρήσεσι γενήσεται ἢ ὑπόπτους αἰτίας περὶ τοιούτων ἕξει καὶ δυσσυνείδητος ἀναστρέψει· καὶ ἂν μὲν ἀγαθοποιὸς συμπροσῇ ὁποτέρῳ τούτων ἢ οἰκείως μαρτυρήσῃ, ἀπαλλαγὴν τῶν φόβων ἢ κινδύνων ἕξει ἢ μεταβολὴν ἐπὶ τὸ ἀγαθόν, πλὴν οὐκ ἀτάραχος διαμενεῖ.

209 ἐὰν δὲ τὸ σχῆμα κεκακωμένον τύχῃ χωρὶς τῆς τῶν ἀγαθοποιῶν μαρτυρίας, καταδικασθήσεται ἢ ἐν δεσμοῖς γενήσεται ἢ συνοχῇ ἢ τηρήσει· ἐὰν δέ πως ἡ ὑπόστασις μεγάλη εὑρεθῇ τοιούτου σχήματος ὄντος, [καὶ] κατὰ τὸν χρόνον ἐκεῖνον εὐλαβηθήσεται περὶ τοῦ ἀξιώματος καὶ τοῦ βίου καὶ κατηγορίας ἢ προδοσίας ὑπομενεῖ καὶ ἐξουσίᾳ ἢ βασιλεῖ ἀπολογήσεται, καὶ ἐὰν μὴ ὑπὲρ ἑαυτοῦ, ὑπὲρ ἑτέρου δέ, ἵνα τὸ τοῦ φόβου καὶ τὸ τῆς ἀγωνίας ἀποτελεσθῇ. οὕτως ὁ τόπος δυναστικός. Ἐὰν δὲ οἱ καθολικοὶ χρόνοι καὶ οἱ ἐνιαυτοὶ εἰς τὸ αὐτὸ συνδράμωσι, πλῆρες τὸ τῆς αἰτίας γενήσεται συνοχῆς τε ἢ καθαιρέσεως· κατὰ δὲ τοὺς κυκλικοὺς ἐνιαυτοὺς ἡ διαίρεσις γενομένη τοὺς φόβους καὶ τὰς ἀνίας ἀποτελέσει· ἐὰν δὲ νηπίου γένεσις τοιοῦτον σχῆμα ἔχῃ, δεήσει περὶ τὸν πατέρα ἢ τὴν μητέρα τὸν φόβον λέγειν ἢ περὶ τοὺς δεσπότας, ἐὰν ᾖ δουλική. τινὲς μὲν οὖν καὶ ἔτι νήπιοι ὄντες ἐν συνοχαῖς ἢ εἱρκταῖς γίνονται καὶ ἐν τούτοις τοῖς τόποις τὰς ἀναστροφὰς ποιοῦνται. ἐὰν δέ πως κατ’ ἐκεῖνον τὸν χρόνον ἀγαθοποιὸς κατὰ τὸν τόπον ἐπεμβῇ ἢ μαρτυρήσῃ, διέκπαυσις ἢ παρηγορία τοῦ κακοῦ γενήσεται· ἐὰν δὲ κακοποιός, χείρω· ἐὰν δὲ ἀγαθοποιὸς καὶ κακοποιός, ἀμφότερα. ἄλλως τε κἂν οἱ κακοποιοὶ διαμετροῦντες ἢ τετραγωνίζοντες τὸν Ἥλιον ἢ τὴν Σελήνην εὑρεθῶσι, φόβους καὶ συνοχὰς ποιοῦσιν· ἐὰν δέ πως ἡ γένεσις βοηθουμένη εὑρεθῇ ἐκ τῆς τῶν ἀγαθοποιῶν μαρτυρίας ἢ καὶ καθολικῆς ὑποστάσεως καὶ μὴ γένηται συνοχή, ἑτέρας τινὸς ἀφορμὴ συνοχῆς ἢ καταιτιασμοῦ γενήσεται, οἷον στρατείας τηρήσεως ἐγγυήσεως δανείων, τὸ συνδεθῆναι καταδίκαις ἢ ἐπάνω τῶν τοιούτων γενέσθαι ἤ, ὥσπερ εἴωθεν ἐπὶ πολλῶν συμβαίνειν, ἕνεκεν νόμου ἢ χρείας παρεδρεύειν τισὶ καὶ παρὰ προαίρεσιν πάσχειν καὶ μὴ δύνασθαι πράσσειν τὰ καταθύμια, καὶ δοκεῖν συνέχεσθαι ὑπὸ ἑτέρων ἐξουσίαν ὄντας καὶ κολαζομένους κατὰ συνείδησιν, ὡς καὶ ξενιτεύοντας ἢ πλέοντας κατέχεσθαί που ἢ νήσοις ἢ ἐρήμοις τόποις εἴτε καὶ ἐν ἱεροῖς τόποις ἢ ναοῖς παρεδρεύειν.

210 ἔσθ’ ὅτε μὲν οὖν χρονικοῖς πάθεσι συνέχονται ἢ ἱεραῖς νόσοις θεοληψίαις μαγείαις σκιασμοῖς ῥιγοπυρέτοις καὶ τοῖς ὁμοίοις. εὐσυνέτως οὖν περὶ τούτων τῶν τόπων τὴν διάκρισιν δεῖ ποιεῖσθαι, πότερον ἐπὶ δόξῃ ἢ δι’ ἀνάγκην καὶ ἑτέραν κακωτικὴν αἰτίαν ἡ κατοχὴ γενήσεται. Ἔστω δὲ ἐπὶ ὑποδείγματος Ἥλιος Ζεὺς Σκορπίῳ, Σελήνη Ἑρμῆς Ἀφροδίτη ὡροσκόπος Ζυγῷ, Κρόνος Λέοντι, Ἄρης Αἰγόκερῳ. ἀμφότεροι οἱ κακοποιοὶ ἑξάγωνοι Ἡλίῳ καὶ Σελήνῃ· εἰ μὲν οὖν ἄνευ τῆς τῶν ἀγαθοποιῶν συμπαρουσίας τὰ φῶτα ἐτύγχανεν, ἦν λέγειν συνοχήν· νυνὶ δὲ τὸ σχῆμα εὐφαντασίωτον καὶ ἐπίδοξον γέγονεν. ὁ τοιοῦτος γὰρ στρατιώτης τυγχάνων ἐτῶν λεʹ ἐπὶ δεσμωτῶν καὶ φυλακῆς ἐπάγει καὶ ἐν τῇ εἱρκτῇ γυναικὸς ἠράσθη, δι’ ἣν κατηγορίαν ἐπιτάραχον ἀναλαβὼν ἐξοδιασμὸν ποιησάμενος διέφυγε τὸν κίνδυνον· ἐν δὲ τῷ αὐτῷ χρόνῳ καὶ δοῦλον φυγόντα συλλαβὼν ἔδησεν. 〈βʹ.〉 Περὶ ἐνιαυτοῦ κλιμακτηρικοῦ καὶ ἐκλειπτικῶν τόπων καὶ καταρχῶ ν . Λεκτέον δὲ ἀκολούθως καὶ τὰ λοιπὰ πρὸς ἀναπλήρωσιν τῆς συντάξεως, νυνὶ δὲ περὶ κλιμακτηρικοῦ ἐνιαυτοῦ. Ἐνιαυτὸς κλιμακτηρικὸς εὑρίσκεται μὲν ἀπὸ τῆς τῶν κακοποιῶν παραλήψεως ἢ παραδόσεως πρός τε τὰ φῶτα καὶ τὸν ὡροσκόπον καὶ πρὸς ἀλλήλους, καθολικῶς δὲ οὕτως. πάντοτε ἀπὸ τοῦ ὡροσκοποῦντος ζῳδίου δεῖ ἀπολύειν τὰ ἔτη· τὸ δὲ καταγόμενον ἔτος ἐὰν καταλήξῃ εἰς συνοδικὸν ἢ πανσεληνιακὸν ζῴδιον ἢ ἐν τοῖς τούτων τετραγώνοις ἢ διαμέτροις, κλιμακτηρικὸν καὶ ἐπιτάραχον τὸ ἔτος, μάλιστα δὲ ἐὰν καὶ τούτων οὕτως ἐχόντων κατὰ πάροδον Κρόνος εὑρεθῇ ἐν τοῖς τέτταρσι τῆς γενέσεως

ἀποκλίμασι καὶ τῆς ὑποστάσεως συντρεχούσης, θάνατος ἐπακολουθήσει καὶ σωματικὴ ἀσθένεια καὶ αἱμαγμοὶ καὶ ἐπισφαλεῖς νόσοι ἢ κρυπτοὶ πόνοι πτώσεις τε καὶ αἰφνίδιοι κίνδυνοι. ἔσθ’ ὅτε δὲ περὶ τὰ τοῦ βίου πράγματα καὶ τὰς δόξας συντρέχει ὁ κλιμακτήρ, τῶν σωμάτων βοηθουμένων ὑπὸ τῆς τῶν ἀγαθοποιῶν μαρτυρίας. Ἄλλως τε ἀπὸ τοῦ κατὰ γένεσιν Κρόνου ἐπὶ τὸν κύριον τῆς συνόδου ἢ πανσελήνου καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου· ὅπου δ’ ἂν ἐκπέσῃ, ἐκεῖ γενομένου Κρόνου ἢ ἐν τοῖς τετραγώνοις ἢ διαμέτροις ἔσται ὁ θάνατος ἢ ἐπισφαλὴς κλιμακτὴρ σωματικὸς ἢ πρακτικός· ὁμοίως δὲ καὶ [ἐὰν] ἐν τῷ ἀναβιβάζοντι ἢ καταβιβάζοντι ἢ ἐν τοῖς τούτων τετραγώνοις γενήσεται ὁ ἐνιαυτὸς κλιμακτηρικός.

211 ἐὰν δέ πως Ἡλίου γενομένου κατὰ πάροδον ἐν τῷ ἀναβιβάζοντι ἢ καταβιβάζοντι ἢ ἐν τοῖς τετραγώνοις κακοποιοῦ ἐπιθεωροῦντος τὸν Ἥλιον τότε κατακλιθῇ τις, ἐπισφαλὴς καὶ ἐπικίνδυνος ἡ κατάκλισις. αἱ δ’ ἐπισημασίαι τῶν ἐπιτάσεων ἢ κινδύνων τότε γενήσονται, τῆς Σελήνης κατὰ τοὺς αὐτοὺς τόπους τοῦ ἀναβιβάζοντος διαπορευομένης. Τοῦ δὲ προκειμένου τόπου δυναστικοῦ τετευχότος, τουτέστι τοῦ ἐκλειπτικοῦ, παραίρεσίν τινα τοῖς ἐντυγχάνουσιν ὑποτίθεμαι, οὐχ ὅτι μὲν δυνατὸν τὰ τῆς εἱμαρμένης δόγματα παραιτησάμενον τινὰ κατὰ τὴν ἰδίαν βούλησιν πράσσειν· ἐγὼ δέ φημι τάχα καὶ δυνατὸν τοῖς ἐντυγχάνουσι ταύτῃ τῇ θεωρίᾳ θραῦσαι τὸ κακὸν μετρίως. τὸ γὰρ θεῖον βουληθὲν προγινώσκειν ἀνθρώπους τὰ μέλλοντα εἰς φῶς προήγαγε τὴν ἐπιστήμην, δι’ ἧς τὸ καθ’ αὑτὸν ἕκαστος προγινώσκων εὐθυμότερος μὲν πρὸς τὸ ἀγαθόν, γενναιότερος δὲ πρὸς τὸ φαῦλον ἀποκαθίσταται. ἐπεὶ οὖν τινὰ μὲν φυλακτέα ἐκ τῆς τῶν ἀγαθοποιῶν ἀστέρων συμπαρουσίας ἢ μαρτυρίας προγινώσκεται, ὁμοίως δὲ καὶ ἀγαθοποιοῦ τι δυναμένου παρέχειν εἰ κακοποιὸς συνεμπέσῃ ἢ μαρτυρῇ, κωλυτὴς τοῦ ἀγαθοῦ γενήσεται· εἰ δὲ κακοποιοὶ ἢ ἀγαθοποιοὶ ἄνευ τῆς ἑτέρων μαρτυρίας ἐπῶσιν ἢ συσχηματισθῶσι, βέβαιον καὶ τὸ ἀποτέλεσμα γενήσεται. κατὰ τοῦτο γοῦν οἱ μὲν μυσταγωγούμενοι τῇ θεωρίᾳ ταύτῃ προγινώσκειν θέλοντες ὠφεληθήσονται τὸ μὴ κεναῖς ἐλπίσι μοχθεῖν καὶ ὀδυνηρὰν ἐπάγρυπνον βάσανον ἀναλαμβάνειν καὶ τὸ μὴ ματαίως ἐρᾶν ἀδυνάτων ἢ πάλιν τὸ προθυμίαν τινὰ τῇ τοῦ καιροῦ ἀγαθοποιίᾳ εἰσενεγκαμένους ἐπιτυχεῖν τῶν προσδοκωμένων. αἰφνίδιον γὰρ ἀγαθὸν πολλάκις ὡς κακὸν ἐλύπησε καὶ αἰφνίδιον κακὸν μὴ προγεγυμνακόσι τὴν ψυχὴν μεγίστην παρέσχε λύπην. Ἵνα δὲ μὴ παρεκτραπέντες εἰς ἑτέραν καταντήσωμεν, σκοπεῖν δεήσει τὸν ἀναβιβάζοντα ἑκάστης γενέσεως ἐν ποίῳ ζῳδίῳ τέτευχε, πότερον τροπικῷ ἢ στερεῷ ἢ δισώμῳ καὶ τίνος ἀστέρος, καὶ ἡ τοῦ ζῳδίου δύναμις θραυσθήσεται. εὑρίσκομεν οὖν πολλάκις ἀστέρας δυναμένους παρασχεῖν τι κατὰ γένεσιν ἢ κατ’ ἐπέμβασιν ἐν τούτοις τοῖς τόποις καὶ μηδὲν ἀποτελοῦντας.

212 ἐὰν δέ πως καὶ φάσιν τινὰ ποιήσωνται κατὰ τοῦ ἀναβιβάζοντος ἢ τοῦ καταβιβάζοντος, αἴτιοι κακῶν καθίστανται, μάλιστα ἐὰν καὶ ἀναποδίζοντες ἢ δύνοντες εὑρεθῶσι. πρὸς δὲ τὸ καταγόμενον ἔτος σκοπεῖν δεήσει τὸν καιρικὸν ἀναβιβάζοντα, ἐν ποίῳ τόπῳ τῆς γενέσεως τὴν ἐπέμβασιν πεποίηται· ὁμοίως γὰρ τοῦ τε ζῳδίου καὶ τοῦ δεσπότου τὴν δύναμιν θραύσει· καὶ ἐὰν μάλιστα οἱ αὐτοὶ χρονοκράτορες εὑρεθῶσιν, οὐδὲν δύνανται παρέχειν, μέχρις οὗ τοῦ τόπου χωρισθῶσιν. ⟨γ′.⟩ Περὶ καταρχῶ ν . Πρὸς δὲ τὰς καταγομένας ἡμέρας φυλακτέον τῆς Σελήνης διαπορευομένης τὸν καιρικὸν ἀναβιβάζοντα καὶ τὰ τούτου τετράγωνα καὶ διάμετρα, μάλιστα δὲ κατὰ τὰς αὐτὰς μοίρας, μὴ κατάρχεσθαί τινος μὴ πλεῖν μὴ γαμεῖν μὴ ἐντυγχάνειν μὴ κτίζειν μὴ καταφυτεύειν μὴ συνίστασθαι μήτε τὸ καθόλου τι πράττειν. οὔτε γὰρ βέβαιον κριθήσεται τὸ γενόμενον οὔτε εὐσυντέλεστον, εὐμετανόητον δὲ καὶ ἀτελὲς καὶ ἐπιζήμιον ἢ λυπηρὸν καὶ μὴ ἐπιμένον. ἐὰν δόξῃ τις ἐν αὐταῖς ταῖς ἡμέραις ἐκπλοκήν τινα πεποιηκέναι πράγματός τινος, ἀνασκευασθήσεται καὶ ἐπιτάραχον γενήσεται καὶ ἐπιζήμιον ἢ εὐκαθαίρετον καὶ προσκοπτικόν· οὐδὲ γὰρ οἱ ἀγαθοποιοὶ παρατυγχάνοντες τούτοις τοῖς τόποις πλήρεις ἀγαθόν τι πράξουσιν. ὅθεν καὶ ἄνευ γενέσεως ἐάν τις τὰς καιρικὰς παρόδους τῆς Σελήνης πρὸς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸν ἀναβιβάζοντα παραφυλάσσῃ, οὐ διαμαρτήσεται. ἐὰν δέ πως καὶ ἕτερόν τινα ἐναρξάμενον πράγματος εὕρῃς τῆς Σελήνης φερομένης κατὰ τῶν ἐκλειπτικῶν τόπων, προλέγειν ἀτελὲς καὶ εὐμετανόητον καὶ ἐπιζήμιον. καὶ αὐτὸς μὲν οὖν τὰς τοιαύτας ἡμέρας φυλαττόμενος κατὰ τὸ δυνατὸν καὶ ποιούμενος τὰς καταρχὰς τῶν πράξεων ἢ τῶν φιλιῶν κατὰ τὴν τῶν καιρῶν χρονογραφίαν ἀμετανόητον ἡγούμην τὴν καταρχὴν καὶ εὐσυντέλεστον, ἔσθ' ὅτε δ' ἐπλανήθην καὶ διὰ φίλου ἄκαιρον παρουσίαν ἢ σύστασιν ἢ μετὰ ἀνάγκης καταρξάμενός τινος ἐπιζήμιον καὶ ἐπίλυπον ἢ ὑπερθετικὴν ἔκβασιν κατελαβόμην. ὅθεν ἐπὶ πάσης καταρχῆς παρατηρητέον ἐπί τε τῆς τῶν στόλων ἀναγωγῆς καὶ στρατοπεδαρχίας καὶ πολεμαρχίας καὶ προκοπῆς καὶ ἐξόδου καὶ πᾶν ὅτι ποτ' οὖν ἐν βίῳ τελούμενον τυγχάνει· οὐδὲ μὴν τῷ θεῷ θύειν καὶ ἱερὰ καθιδρύειν χρήσιμον· οὔτε γὰρ εὐχαὶ συντελεσθήσονται οὔτε θεὸς θρησκευθήσεται, ἀλλ' ὡς ἀργὸν καὶ ἄπρακτον διαφημισθήσεται καὶ οἱ ὀμνύντες ἐπιορκήσουσι καὶ αἱ πίστεις οὐ συντελεσθήσονται οὔτε εἰς ὄχλους δωρεαὶ ἢ πολυτέλειαι κτισμάτων εὔφημοι ἢ ἐπίμονοι γενήσονται, ἐπίψογοι δὲ καὶ εὐκαθαίρετοι.

213 οὐδὲ μὴν αἱ σωματικαὶ θεραπεῖαι εὐίατοι, ἐπίνοσοι δὲ καὶ δυσθεράπευτοι, καὶ μάλιστα τῶν κακοποιῶν μαρτυρούντων τοῖς τόποις ἢ τῆς Σελήνης μοιρικῶς κατ' αὐτῶν φερομένης· ἐν μὲν γὰρ τῷ αὐτῷ ζῳδίῳ οὖσα μεθ' ὑπερθέσεως καὶ ἐμποδισμῶν τινῶν ἔσται ἀνυστική· πλὴν καὶ οὕτως ἀβεβαίους τὰς πράξεις ἀποτελεῖ. 〈δ'.〉 Περὶ κλιμακτηρικῶν ζῳδίω ν . Καὶ ταῦτα δὲ τὰ ζῴδια κλιμακτηρικὰ τυγχάνει· Κριὸς Ταῦρος Καρκίνος Σκορπίος Ὑδροχόος. ἐν τούτοις οἱ ἐνιαυτοὶ γινόμενοι ἐπισφαλεῖς τυγχάνουσι· τοῦ δὲ Ἡλίου κατ' αὐτοὺς γινομένου ἐν ταύταις ταῖς παραδόσεσι καὶ ὁ μὴν πρόδηλος ἔσται. 〈ε'.〉 Περὶ ἀντιγενέσεως εἰς τὸν περὶ ἐμπράκτων καὶ ἀπράκτων τόπο ν . Τὴν δὲ ἀντιγένεσιν ἀναγκαίως ποιήσομεν· πολλὰ γὰρ συμβάλλεται πρὸς τὰς καιρικὰς τῶν χρόνων ἐναλλαγάς· ὁτὲ μὲν γὰρ συμβεβαιοῦσα τὰς τῶν ἀποτελεσμάτων δυνάμεις, ὁτὲ δὲ κωλύουσα ἰδίων ἀποτελεσμάτων ἐστὶ δηλωτική. τῇ οὖν γενεθλιακῇ ἡμέρᾳ κατὰ τὸ ἔτος τὸ καταγόμενον ψηφίσαντες ἀκριβῶς τοὺς ἀστέρας τὸν ὡροσκόπον οὕτως εὑρήσομεν. τοῦ Ἡλίου ἔτι ὄντος ἐν τῷ γενεθλιακῷ ζῳδίῳ σκοποῦμεν, πότε ὁ Ἥλιος καὶ ποίᾳ ὥρᾳ ἔλθῃ ἐπὶ τὴν ἀποκαταστατικὴν μοῖραν, ἥνπερ καὶ ἔσχεν ἀπὸ γενέσεως, καὶ ἐκείνην ἐροῦμεν ὡροσκοποῦσαν. ἐὰν δέ πως νυκτερινῆς οὔσης τῆς γενέσεως ἡμέρας ἡ ἀποκατάστασις εὑρεθῇ, τοὺς ἡμερινοὺς οἰκοδεσπότας συγκρινοῦμεν καὶ τὸν κύριον τοῦ ὁρίου καὶ τοῦ ὡροσκόπου πρὸς τοὺς κατὰ γένεσιν ἀστέρας. 〈ϛ'.

214 〉 Περὶ μηνὸς χρηματιστικοῦ καὶ ἡμέρας ἀπὸ τοῦ παροδικοῦ Ἡλίου ἐπὶ τὴν κα τ ' ἐκτροπὴν Σελήνην καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπο υ . Περὶ δὲ μηνὸς χρηματιστικοῦ οὕτως ἔδοξε τῷ βασιλε ῖ. ἀπὸ τοῦ παροδικοῦ Ἡλίου ἐπὶ τὴν κατ' ἐκτροπὴν Σελήνην καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου, καὶ ὅπου δ᾽ἂν καταλήξῃ, σκοπεῖν δεήσει τὸν κύριον τοῦ ζῳδίου, εἰ ἐν τοῖς χρηματίζουσι ζῳδίοις ὑπάρχει, τούς τε ἐπόντας ἢ μαρτυροῦντας ἤτοι ἀγαθοποιοὺς ἢ κακοποιοὺς συγκρίνειν· τὰς δὲ ἡμέρας ἀπὸ τῆς παροδικῆς Σελήνης ἐπὶ τὸν κατὰ γένεσιν Ἥλιον καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου. οἱ δὲ τὸν κύριον τῶν συνοδικῶν μοιρῶν μαθόντες ἢ τῶν πανσεληνιακῶν πρὸς ἐκεῖνον τὸν μῆνα λέγουσι. Καὶ τοῦτον δὲ τὸν μῆνα τινὲς ἐνεργῆ φέρουσι· ὁποῖον γὰρ ἂν ἡ Σελήνη [ἢ] ἐπὶ γενέσεως σχῆμα εὑρεθῇ ἔχουσα πρὸς τὸν Ἥλιον, τοιοῦτον καὶ ἐπὶ τῆς παρόδου κτησαμένη προδηλώσει τὸν μῆνα. οἷον Ἥλιος Λέοντι μοίρᾳ ε', Σελήνη Ζυγῷ μοίρᾳ κϛ'· τὸ διάστημα τὸ ἀπὸ Ἡλίου ἐπὶ Σελήνην μοῖραι εἰσὶ πα'· τοσαύτας ἡ Σελήνη ἀποδιαστήσασα τοῦ Ἡλίου καὶ τὸν μῆνα καὶ τὸ αὐτὸ σχῆμα ποιησαμένη ὁποῖον καὶ ἐπὶ γενέσεως ἐνδείξεται τὸν μῆνα. Ἐμοὶ δὲ μᾶλλον ἔδοξεν ἐκ πείρας χρηματιστικοὺς μῆνας ἐκείνους ὑπάρχειν, ἐν οἷς ἂν ζῳδίοις αἱ διαιρέσεις τῶν ἐνιαυτῶν γένωνται· κατ' ἐκείνους γὰρ τοὺς τόπους γενόμενος ὁ Ἥλιος ἢ ἐν τοῖς τούτων τετραγώνοις ἢ διαμέτροις τὸ ἀποτέλεσμα προμηνύει τὸ ἐν τῷ ἔτει ἢ ἐν ταῖς παραδόσεσι σημαινόμενον· ὁμοίως δὲ καὶ ὁ Ἄρης καὶ Ἀφροδίτη καὶ Ἑρμῆς καὶ Σελήνη ἐν τοῖς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προειρημένοις τόποις κατ' ἐπέμβασιν γενόμενοι ἐνδείξονται. ἐνεργέστερον δὲ μᾶλλον ἐκεῖνον τὸν τόπον κρινοῦμεν πρὸς ἀποτέλεσμα, ἐν ᾧ ἂν οἱ προκείμενοι ἀστέρες ἐπεμβάντες φάσιν ποιήσωνται· τότε γὰρ καὶ τῶν πραγμάτων καινοποιΐαι ἢ ἐνέργειαι γενήσονται. ἐὰν δὲ ὁποῖόν τις ἔχων σχῆμα τύχῃ, οὕτω καὶ διεξέλθῃ τὸ ζῴδιον, οὐδεμία ἐναλλαγὴ οὐδὲ καινοποιία γενήσεται οὐδὲ προσδοκωμένου ἀποτελέσματος συντέλεια. ὁ μέντοι Ἥλιος διαπορευόμενος τοὺς τόπους καὶ διεγείρων τῶν χρονοκρατόρων τὰς δυνάμεις ἐνεργέστερος καθίσταται. 〈ζʹ.

215 〉 Περὶ ἡμέρας χρηματιστικῆς τε καὶ ἀπράκτο υ . ἀληθὴς αὕτη ἡ διαίρεσις τῶν ἡμερῶ ν . Περὶ δὲ ἡμέρας χρηματιστικῆς τε καὶ ἀπράκτου οὕτως. τὰ καταγόμενα τῆς γενέσεως ἔτη πλήρη πολυπλασίασον ἐπὶ τὸν εʹ δʹ καὶ τὰς ἀπὸ τῆς γενέσεως ἕως τῆς ζητουμένης ἡμέρας συναγαγόντες καὶ ταῖς προτέραις ἐπισυμμίξαντες ἐκκρούομεν δωδεκάδας, τὰς δὲ περιλειπομένας ἀπολύομεν ἀπὸ τοῦ ὡροσκόπου ἀνὰ μίαν ἑκάστῳ ζῳδίῳ διδόντες. ἔνιοι δὲ ἀπὸ τοῦ παρακόλλου Σελήνης εἰς ὃ ἂν ζῴδιον καταλήξῃ σκοποῦσι, πότερον χρηματιστικὸν ἢ ὡς ἐναλλάξ. τῇ μὲν οὖν Σελήνῃ προσέχειν δεῖ καὶ τῇ ταύτης προσνεύσει, πῶς πρὸς τὸ ζῴδιον σχηματίζεται. ἐὰν γάρ πως τῇ ζητουμένῃ ἡμέρᾳ ἡ Σελήνη τῷ τῆς προσνεύσεως ζῳδίῳ μαρτυρήσῃ, ἐν μὲν τοῖς χρηματιστικοῖς ζῳδίοις καλὴ καὶ ἐπίσημος καὶ ἐπωφελὴς ἡ ἡμέρα γενήσεται· ἐὰν δὲ εἰς τὸ αὐτὸ ζῴδιον καὶ ἡ ἡμέρα καὶ ἡ πρόσνευσις τῆς Σελήνης εὑρεθῇ, κρεῖσσον· ἐὰν δὲ ἀπόστροφος ᾖ ἡ Σελήνη ἢ ἡ πρόσνευσις τῇ ἡμέρᾳ, ἐν μὲν τοῖς χρηματιστικοῖς ζῳδίοις μέση καὶ οὐ πάνυ ἄπρακτος, ἐν δὲ τοῖς λοιποῖς λυπηρὰ καὶ ἐπιζήμιος ἢ ἐπικίνδυνος γενήσεται. σκοπεῖν δὲ δεῖ καὶ τὸν κύριον τῆς ἡμέρας, πῶς σχηματίζεται καὶ ὑπὸ τίνων μαρτυρεῖται καὶ πότερον ἐν τῷ αὐτῷ ζῳδίῳ ἢ χρηματιστικῷ ἢ ἀποστρόφῳ, τούς τε κατ' ἐπέμβασιν ἀστέρας, πῶς πρὸς τὴν ἡμέραν ἢ τὸν κύριον κεῖνται· κατὰ γὰρ τὴν ἑκάστου ζῳδίου καὶ ἀστέρος φύσιν πρόδηλος ἡ ἡμέρα γενήσεται. ἐὰν δὲ καὶ ἐν ᾧ τις ζῳδίῳ τὴν ἡμέραν καταγάγῃ, αὐτῇ τῇ ἡμέρᾳ ἀστέρος ἐπέμβασις γένηται ἢ ἐπιμαρτύρησις, χρηματιστικὴ ἀγαθοῦ ἢ κακοῦ κατὰ τοὺς ἐπόντας ἀστέρας. ὁμοίως δὲ καὶ περὶ ἃ σημαίνει ἀποτελέσματα ὁ ἐνιαυτός, περὶ ἐκεῖνα ἐνεργὴς ἡ ἡμέρα γενομένη κατὰ τοὺς τόπους τῶν παραδόσεων ἢ παραλήψεων καὶ ἐν τοῖς τούτων τετραγώνοις ἢ διαμέτροις. Ἔστω δὲ ἐπὶ ὑποδείγματος Ἀδριανοῦ ἔτος δʹ Μεχὶρ ιγʹ ὥρα νυκτερινὴ αʹ, ζητεῖν δὲ τῷ κʹ ἔτει Ἀντωνίνου Φαωφὶ ιʹ· εἰσὶ σμγʹ, καὶ γίνονται ὁμοῦ υλβʹ. ἀφαιρῶ τὰς τξʹ, λοιπαὶ οβʹ· ταύτας ἀπολύω ἀπὸ τοῦ ὡροσκόπου Παρθένου· κατέληξεν ἐν Λέοντι. ἡ ἡμέρα ἐν τῷ ἀποκλίματι· ὁ κατὰ γένεσιν κύριος Ἥλιος ἠναντιώθη τῇ ἡμέρᾳ· ἦν γὰρ ὁ Ἥλιος ἐπὶ τῆς γενέσεως Ὑδροχόῳ καὶ ὁ κατ' ἐπέμβασιν Ἄρης καὶ ἡ Σελήνη Αἰγόκερῳ ἀπόστροφος· μετέωρος ἡ ἡμέρα.

216 ἦν δὲ καὶ εἰς τὸν περὶ δούλων τόπον· γέγονε στόμαχος πρὸς δουλικὸν πρόσωπον. καὶ αὕτη δὲ ἡ ἀγωγὴ φυσική, ἐν οἷς ἂν ὁ Ἥλιος γενόμενος προμηνύει τὸ ἐν τῷ μηνὶ ἀποτέλεσμα γενόμενον. 〈ηʹ.〉 Περὶ τῶν προσνεύσεων τῆς Σελήνης ἐν ταῖς νεομηνίαις ταῖς ἀπὸ Λέοντος καὶ τοῖς ἑξῆς ζῳδίοι ς . Ὑπετάξαμεν δὲ καὶ τὰς προσνεύσεις τῆς Σελήνης ἀναγκαίως. συνοδεύσασα γὰρ τῷ Ἡλίῳ ἐν Καρκίνῳ καὶ φανεῖσα ἐν Λέοντι προσνεύσει τῷ Καρκίνῳ· εἶτα ἐν Παρθένῳ προσνεύσει τοῖς Διδύμοις, εἶτ' ἐν Ζυγῷ γενομένη προσνεύσει Ταύρῳ, εἶτα Σκορπίῳ γενομένη προσνεύσει Κριῷ, εἶτ' ἐν Τοξότῃ γενομένη προσνεύσει Αἰγόκερῳ. ὥστε τὴν αʹ διχομηνίαν, ἥτις ἐστί, πρώτη πανσέληνος ποιεῖ βλέπουσα πρὸς ἀπηλιώτην· εἶτα ἀπὸ τῆς δευτέρας διχομηνίας ἀφαρπάξει βλέπουσα πρὸς λίβα· εἶτ' ἐν Αἰγόκερῳ ἀποκρούσασα προσνεύσει Τοξότῃ, εἶτ' ἐν Ὑδροχόῳ γενομένη προσνεύσει Σκορπίῳ, εἶτ' ἐν Ἰχθύσι γενομένη προσνεύσει Παρθένῳ, εἶτα ἐν Ταύρῳ προσνεύσει Λέοντι, εἶτα ἐν Διδύμοις γενομένη προσνεύσει Καρκίνῳ· γίνεται πρὸς ἀπηλιώτην ζῴδια ςʹ καὶ πρὸς λίβα ζῴδια ςʹ· σύνοδος Λέοντι. Ἔστω νεομηνίᾳ ἀνατείλασα ἡ Σελήνη καὶ φανεῖσα ἐν Αἰγόκερῳ· προσνεύσει Διδύμοις· ἐν Ζυγῷ προσνεύσει Ταύρῳ, ἐν Σκορπίῳ προσνεύσει Κριῷ, ἐν Τοξότῃ προσνεύσει Ἰχθύσιν, ἐν Αἰγόκερῳ προσνεύσει Ὑδροχόῳ. δευτέρᾳ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

διχομηνίᾳ ἀποκρούσασα ἐν Ὑδροχόῳ προσνεύσει Αἰγόκερῳ, ἐν Ἰχθύσι προσνεύσει Τοξότῃ ἐν Κριῷ προσνεύσει Σκορπίῳ, ἐν Ταύρῳ προσνεύσει Ζυγῷ [ἐν Διδύμοις προσνεύσει Ταύρῳ], ἐν Διδύμοις προσνεύσει Παρθένῳ, ἐν Κριῷ προσνεύσει Λέοντι. Παρθένου νεομηνίᾳ ἀνατείλασα ἡ Σελήνη καὶ γενομένη ἐν Ζυγῷ προσνεύσει Καρκίνῳ, ἐν Σκορπίῳ προσνεύσει Διδύμοις, ἐν Τοξότῃ προσνεύσει Ταύρῳ, ἐν Αἰγόκερῳ προσνεύσει Κριῷ, ἐν Ὑδροχόῳ προσνεύσει Ἰχθύσι. δευτέρᾳ διχοτομίᾳ ἀποκρούσασα ἐν Ἰχθύσι προσνεύσει Ὑδροχόῳ, ἐν Κριῷ προσνεύσει Αἰγόκερῳ, ἐν Ταύρῳ προσνεύσει Τοξότῃ, ἐν Διδύμοις προσνεύσει Σκορπίῳ, ἐν Καρκίνῳ προσνεύσει Ζυγῷ, ἐν Λέοντι προσνεύσει Παρθένῳ.

217 σύνοδος Ζυγῷ· ἀνατείλασα ἡ Σελήνη καὶ γενομένη ἐν Σκορπίῳ προσνεύσει Λέοντι, ἐν Τοξότῃ προσνεύσει Καρκίνῳ, ἐν Αἰγόκερῳ προσνεύσει Διδύμοις, ἐν Ὑδροχόῳ προσνεύσει Ταύρῳ, ἐν Ἰχθύσι προσνεύσει Κριῷ. δευτέρᾳ διχοτομίᾳ ἀποκρούσασα Κριοῦ προσνεύσει Ἰχθύσιν, ἐν Ταύρῳ προσνεύσει Ὑδροχόῳ, ἐν Διδύμοις προσνεύσει Αἰγόκερῳ, ἐν Καρκίνῳ προσνεύσει Τοξότῃ, ἐν Λέοντι προσνεύσει Σκορπίῳ, ἐν Παρθένῳ προσνεύσει Ζυγῷ. σύνοδος Σκορπίῳ γενομένη· ἀνατείλασα ἐν Τοξότῃ προσνεύσει Παρθένῳ, ἐν Αἰγόκερῳ προσνεύσει Λέοντι, ἐν Ὑδροχόῳ προσνεύσει Καρκίνῳ, ἐν Διδύμοις προσνεύσει Διδύμοις, ἐν Κριῷ προσνεύσει Ταύρῳ. δευτέρᾳ διχομηνίᾳ ἀποκρούσασα ἐν Ταύρῳ προσνεύσει Κριῷ, ἐν Διδύμοις προσνεύσει Ἰχθύσιν, ἐν Καρκίνῳ προσνεύσει Ὑδροχόῳ, ἐν Λέοντι προσνεύσει Αἰγόκερῳ, ἐν Παρθένῳ προσνεύσει Τοξότῃ, ἐν Ζυγῷ προσνεύσει Σκορπίῳ. σύνοδος Τοξότῃ· Τοξότου νεομηνίᾳ ἀνατείλασα καὶ γενομένη ἐν Αἰγόκερῳ προσνεύσει Ζυγῷ, ἐν Ὑδροχόῳ προσνεύσει Παρθένῳ, ἐν Ἰχθύσι προσνεύσει Λέοντι, ἐν Κριῷ προσνεύσει Καρκίνῳ καὶ Ταύρῳ προσνεύσει Διδύμοις. δευτέρᾳ διχομηνίᾳ ἀποκρούσασα 〈Διδύμων〉 προσνεύσει Ταύρῳ, ἐν Καρκίνῳ προσνεύσει Κριῷ, ἐν Λέοντι προσνεύσει Ἰχθύσιν, ἐν Παρθένῳ προσνεύσει Ὑδροχόῳ, ἐν Ζυγῷ προσνεύσει Αἰγόκερῳ, ἐν Σκορπίῳ προσνεύσει Τοξότῃ. σύνοδος Αἰγόκερῳ γενομένη· ἀνατείλασα ἐν Ὑδροχόῳ προσνεύσει Σκορπίῳ, ἐν Ἰχθύσι προσνεύσει Ζυγῷ, ἐν Κριῷ προσνεύσει Παρθένῳ, ἐν Ταύρῳ προσνεύσει Λέοντι, ἐν Διδύμοις προσνεύσει Καρκίνῳ. δευτέρᾳ διχομηνίᾳ ἀποκρούσασα ἐν Καρκίνῳ προσνεύσει Διδύμοις, ἐν Λέοντι προσνεύσει Ταύρῳ, ἐν Παρθένῳ προσνεύσει Κριῷ, ἐν Ζυγῷ προσνεύσει Ἰχθύσιν, ἐν Σκορπίῳ προσνεύσει Ὑδροχόῳ, ἐν Τοξότῃ προσνεύσει Αἰγόκερῳ. Ὑδροχόου νεομηνίᾳ ἀνατείλασα καὶ γενομένη ἐν Ἰχθύσι προσνεύσει Τοξότῃ, ἐν Κριῷ προσνεύσει Σκορπίῳ, ἐν Ταύρῳ προσνεύσει Ζυγῷ, ἐν Διδύμοις προσνεύσει Παρθένῳ, ἐν Καρκίνῳ προσνεύσει Λέοντι. δευτέρᾳ διχομηνίᾳ ἀποκρούσασα ἐν Λέοντι προσνεύσει Καρκίνῳ, ἐν Παρθένῳ προσνεύσει Διδύμοις, ἐν Ζυγῷ προσνεύσει Ταύρῳ, ἐν Σκορπίῳ προσνεύσει Κριῷ, ἐν Τοξότῃ προσνεύσει Ἰχθύσιν, ἐν Αἰγόκερῳ προσνεύσει Ὑδροχόῳ. Ἰχθύων νεομηνίᾳ ἀνατείλασα καὶ γενομένη ἐν Κριῷ προσνεύσει Αἰγόκερῳ, ἐν Ταύρῳ προσνεύσει Τοξότῃ, ἐν Διδύμοις προσνεύσει Σκορπίῳ, ἐν Καρκίνῳ προσνεύσει Ζυγῷ, ἐν Λέοντι προσνεύσει Παρθένῳ.

218 δευτέρᾳ διχομηνίᾳ ἀποκρούσασα ἐν Παρθένῳ προσνεύσει Λέοντι, ἐν Ζυγῷ προσνεύσει Καρκίνῳ, ἐν Σκορπίῳ προσνεύσει Διδύμοις, ἐν Τοξότῃ προσνεύσει Ταύρῳ, ἐν Αἰγόκερῳ προσνεύσει Κριῷ, ἐν Ὑδροχόῳ προσνεύσει Ἰχθύσι. Κριοῦ νεομηνίᾳ ἀνατείλασα καὶ γενομένη ἐν Ταύρῳ προσνεύσει Ὑδροχόῳ, ἐν Διδύμοις προσνεύσει Αἰγόκερῳ, ἐν Καρκίνῳ προσνεύσει Τοξότῃ, ἐν Λέοντι προσνεύσει Σκορπίῳ, ἐν Παρθένῳ προσνεύσει Ζυγῷ. δευτέρᾳ διχομηνίᾳ ἀποκρούσασα ἐν Ζυγῷ προσνεύσει Παρθένῳ, ἐν Σκορπίῳ προσνεύσει Λέοντι, ἐν Τοξότῃ προσνεύσει Καρκίνῳ, ἐν Αἰγόκερῳ προσνεύσει Διδύμοις, ἐν Ὑδροχόῳ προσνεύσει Ταύρῳ, ἐν Ἰχθύσι προσνεύσει Κριῷ. σύνοδος Ταύρῳ· Ταύρου νεομηνίᾳ ἀνατείλασα καὶ γενομένη ἐν Διδύμοις προσνεύσει Ἰχθύσιν, ἐν Καρκίνῳ προσνεύσει Ὑδροχόῳ, ἐν Λέοντι προσνεύσει Αἰγόκερῳ, ἐν Παρθένῳ προσνεύσει Τοξότῃ, ἐν Ζυγῷ προσνεύσει Σκορπίῳ. δευτέρᾳ διχομηνίᾳ ἀποκρούσασα ἐν Σκορπίῳ προσνεύσει Ζυγῷ, ἐν Τοξότῃ προσνεύσει Παρθένῳ, ἐν Αἰγόκερῳ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

προσνεύσει Λέοντι, ἐν Ὑδροχόῳ προσνεύσει Καρκίνῳ, ἐν Ἰχθύσι προσνεύσει Διδύμοις, ἐν Κριῷ προσνεύσει Ταύρῳ. Διδύμων νεομηνίᾳ ἀνατείλασα καὶ γενομένη ἐν Καρκίνῳ προσνεύσει Κριῷ, ἐν Λέοντι προσνεύσει Ἰχθύσιν, ἐν Παρθένῳ προσνεύσει Ὑδροχόῳ, ἐν Ζυγῷ προσνεύσει Αἰγόκερῳ, ἐν Σκορπίῳ προσνεύσει Τοξότῃ, δευτέρᾳ διχομηνίᾳ ἀποκρούσασα ἐν Τοξότῃ προσνεύσει Σκορπίῳ, ἐν Αἰγόκερῳ προσνεύσει Ζυγῷ, ἐν Ὑδροχόῳ προσνεύσει Παρθένῳ, ἐν Ἰχθύσι προσνεύσει Λέοντι, ἐν Κριῷ προσνεύσει Καρκίνῳ, ἐν Ταύρῳ προσνεύσει Διδύμοις. Καὶ ταῦτα δὲ τὰ ζῴδια κλιμακτηρικὰ τυγχάνει· Κριὸς Καρκίνος Ζυγὸς Αἰγόκερως Σκορπίος Ὑδροχόος. ἐν τούτοις οἱ ἐνιαυτοὶ γενόμενοι ἐπισφαλεῖς τυγχάνουσι· τοῦ δὲ Ἡλίου κατ᾽ αὐτοὺς γινομένου ἐν ταῖς παρόδοις καὶ ὁ μὴν πρόδηλος ἔσται. 〈θ′.〉 Τίς ἡ αἰτία τοῦ μὴ τὰ αὐτὰ διὰ δωδεκαετίας ἀποτελέσματα συμβαίνει ν , ἀλ λ ᾽ ὁτὲ μὲν προσδοκωμένων ἀγαθῶν φαῦλα συνέβη ἢ τοὐναντίον φαύλων ἀγαθ ά , ἔσ θ ᾽ ὅτε δὲ καὶ εἰς κενὰ ζῴδια τῆς διαιρέσεως πιπτούσης μεγάλα ἀγαθὰ ἢ φαῦλα συνέβ η . Προβλέπειν δὲ δεῖ τοὺς παρῳχηκότας καὶ τοὺς ἐνεστῶτας καὶ τοὺς μέλλοντας χρόνους καὶ συγκρίνειν, πότερον ἀπὸ πρακτικῶν εἰς ἀπράκτους καταντῶσιν ἢ ἀπὸ κακοποιῶν εἰς ἀγαθοποιούς.

219 πολλάκις γὰρ ἐπίδικόν τις τὸν καιρὸν ἔχων ἢ ἐπίφοβον διὰ τὴν κακοποιῶν χρονογραφίαν κατεδικάσθη, ἐξ ὑστέρου δὲ μεταπαραλαμβανόντων τῶν ἀγαθοποιῶν καὶ τῆς καθολικῆς χρονογραφίας ἐνδειξαμένης ἀκαθαίρετον τὴν γένεσιν ἀποκατάστασις τῆς τε δόξης καὶ τοῦ βίου ἐγένετο δι᾽ ἑτέρας ἀπολογίας καὶ εἰς μείζονα τύχην ἡ ὑπόστασις προεξῆκεν. ἐπὰν οὖν εἰς ἧτταν καθολικὴν φέρηται ἡ γένεσις καὶ οἱ χρόνοι συντρέχωσι, προκατασκευάζονται διάφοροι κατηγορίαι κρίσεις μειώσεις ἔχθραι, ἕως ἂν ἐκεῖνο τὸ αἴτιον καταντήσῃ, ὅπερ ἔδει γενέσθαι. ὡσαύτως κἂν ἀγαθοῦ πρόφασις γένηται κατὰ τὴν τῶν χρόνων μετέλευσιν, προκατασκευάζονται φιλίαι, συστάσεις μειζόνων καὶ συμπάθειαι, κληρονομίαι, καταλείψεις, δωρεαί, ἔνθεν καὶ οἱ ἄδοξοι καὶ οἱ ἀσθενέστεροι κατὰ τὰς αἰτίας γενόμενοι νέοι καὶ φρόνιμοι καὶ ἐπέραστοι διαλαμβάνονται διὰ τῶν τῆς εὐδαιμονίας ὅρων, οἱ δὲ πάνυ ἀνδρεῖοι καὶ πεπαιδευμένοι τῇ ἐξ ἀρχῆς καταβολῇ καταδικασθέντες σκληροὶ δειλοί τε καὶ ἄπρακτοι νομιζόμενοι ὑπὸ τῶν ἡττόνων καταδυναστεύονται καὶ τὰς ἀδοξίας γενναίως ὑπομένοντες τοῖς τῆς εἱμαρμένης νόμοις ὑπείκουσιν. εὑρίσκομεν δὲ καὶ ἐπὶ τῶν ἡγεμονικῶν γενέσεων μηδέπω τὸν χρόνον τῆς ἀρχῆς πεπληρωκότας, κατὰ διαδοχὴν δὲ ἑτέρων τὰς μεταβάσεις ποιουμένους οὓς μὲν ἐπὶ τὸ ἐνδοξότερον καὶ ἐπωφελές, οὓς δὲ ἐπὶ τὸ ἐναντίον καὶ καθαιρετικὸν ἐπιβραδύνοντας· ὅθεν ἐνίοις ἐπ᾽ ἀγαθῷ καὶ σωτηρίᾳ τὰ κακὰ προσγίνεται, ἑτέροις δὲ τὰ δοκοῦντα ἀγαθὰ ἐξ ὑστέρου κακῶν αἴτια καθίστανται. Νενομοθέτηκε γὰρ ἡ εἱμαρμένη ἑκάστῳ ἀμετάθετον ἀποτελεσμάτων ἐνέργειαν περιτειχίσασα πολλαῖς αἰτίαις ἀγαθῶν τε καὶ κακῶν, δι᾽ ὧν αὐτογέννητοι ὑπουργοὶ δύο θεαὶ φερόμεναι, Ἐλπίς τε καὶ Τύχη, διακρατοῦσι τὸν βίον καὶ μετὰ ἀνάγκης καὶ πλάνης φέρειν ἐῶσι τὰ νενομοθετημένα. καὶ ἡ μὲν αὐτῶν πρόδηλος πᾶσι διὰ τῆς τῶν ἀποτελεσμάτων ἐκβάσεως ἑαυτὴν ἀπελέγχουσα ὁτὲ μὲν ἀγαθὴν καὶ μακαρίαν, ὁτὲ δὲ σκυθρωπὴν καὶ ἀνήμερον· οὓς μὲν γὰρ ἀνίστησιν ἵνα καταβάλῃ, οὓς δὲ εἰς ταπεινὸν καταρρίπτει ἵνα λαμπρότερον ἀναστήσῃ· ἡ δὲ οὔτε σκυθρωπὴ οὔτε φαιδρά, ἀλλὰ διὰ παντὸς ἀποκεκρυμμένη πανταχοῦ λεληθότως ἐπιβαίνει καὶ προσμειδιῶσα πᾶσιν οἷά τε κόλαξ πολλὰς αἱρέσεις ἀγαθῶν ἐπιδείκνυσιν ὧν οὐκ ἔστι λαβέσθαι· πλανῶσα δὲ τοὺς πλείστους διακρατεῖ, οἱ δὲ καίπερ ἀδικούμενοι καὶ κατακόλουθοι γενόμενοι ταῖς ἡδοναῖς πάλιν ὑπ᾽ αὐτῆς ἀνθέλκονται, καὶ ἐλπίζοντες ἃ θέλουσι πιστεύουσιν, ἐπιτυγχάνουσι δὲ ἃ μὴ προσδοκῶσιν.

220 εἰ δέ ποτε καὶ βεβαίαν οἴησίν τινα παράσχῃ, καταλείπουσα πρὸς ἑτέρους πεπόρευται καὶ δοκεῖ παρὰ πᾶσιν εἶναι παρ᾽ οὐδενὶ μένουσα. ὅθεν οἱ μὲν ἄπειροι τῆς προγνώσεως ἢ μηδ᾽ ὅλως ἐντυχεῖν βουλόμενοι ἄγονται καὶ λεηλατοῦνται ὑπὸ τῶν προειρημένων θεῶν καὶ πᾶσαν τιμωρίαν ὑπομένοντες μεθ᾽ ἡδονῆς κολάζονται· καὶ οἱ μὲν τῶν προσδοκηθέντων ἀπὸ μέρους

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπιτυγχάνοντες καὶ μείζονας πίστεις εἰσενεγκάμενοι βεβαίας καὶ καλὰς τὰς ἐκβάσεις περιμένουσιν, οὐκ εἰδότες τὸ εὐκαθαίρετον καὶ τὸ ἐπισφαλὲς τῶν ἀντιπτωμάτων, ἔνιοι δὲ οὐ πρὸς καιρὸν ἀλλὰ διὰ παντὸς ταῖς γνώμαις καταδικασθέντες, ἔκδοτον δὲ τὴν ψυχὴν καὶ τὸ σῶμα ταῖς ἐπιθυμίαις παραδεδωκότες ἀτιμαζόμενοι καὶ ἀναισχυντοῦντες ἢ μηδ’ ὅλως ἐπιτυχεῖν δυνάμενοι παραμένουσιν ἀβεβαίῳ τύχῃ καὶ πλάνῳ ἐλπίδι ἐξυπηρετοῦντες. οἱ δὲ περὶ τὴν τῶν μελλόντων πρόγνωσιν καὶ τὴν ἀλήθειαν ἀσχοληθέντες ἀδουλαγώγητον καὶ ἐλευθέραν τὴν ψυχὴν κτησάμενοι καταφρονοῦσι μὲν τῆς τύχης, οὐ προσκαρτεροῦσι δὲ ἐλπίδι, τὸν δὲ θάνατον οὐ φοβοῦνται, ἀταράχως δὲ διάγουσι, προγεγυμνακότες τὴν ψυχὴν θαρσαλέαν, καὶ οὔτε μὴν ἐπὶ τοῖς ἀγαθοῖς ἀγάλλονται οὔτε ἐπὶ τοῖς φαύλοις ταπεινοῦνται, ἀρκοῦνται δὲ τοῖς παροῦσι. ἀδυνάτων δὲ μὴ ἐρῶντες ἐγκρατῶς φέρουσι τὰ νενομοθετημένα καὶ πάσης ἡδονῆς ἢ κολακείας ἀλλοτριωθέντες στρατιῶται τῆς εἱμαρμένης καθίστανται. ἀδύνατον γάρ τινα εὐχαῖς ἢ θυσίαις ἐπινικῆσαι τὴν ἐξ ἀρχῆς καταβολὴν καὶ κατασκευάσαι ἑαυτῷ πρὸς τὸ θέλειν ἑτέραν· τὰ γὰρ δεδομένα καὶ μὴ εὐχομένων ἡμῶν γενήσεται, τὰ δὲ μὴ πεπρωμένα οὐδὲ εὐχομένων συμβήσεται. καθάπερ οὖν οἱ ἐν τῇ σκηνῇ ὑποκριταὶ ταῖς τῶν ποιητῶν γραφαῖς ὑπαλλάσσοντες καὶ τὰ πρόσωπα ὑποκρίνονται κοσμίως ὁτὲ μὲν βασιλεῖς ὁτὲ λῃστὰς ὁτὲ ἀγρότας δημότας τε καὶ θεούς, τὸν αὐτὸν τρόπον καὶ ἡμᾶς 〈χρὴ〉 τοῖς τῆς εἱμαρμένης περιτεθειμένοις προσώποις ὑποκρίνασθαι καὶ ἐξομοιοῦσθαι ταῖς τῶν καιρῶν τύχαις οὐ συγγινώσκοντας.

221 ἐὰν δέ τις μὴ θέλῃ, κακὸς γενόμενος αὐτὸ τοῦτο πείσετα ι. κἂν μέν τις προσέχῃ ταῖς ὑπ’ ἐμοῦ συντεταγμέναις παραγγελίαις καὶ καθολικαῖς χρονογραφίαις, πάντα κατὰ τρόπον εὑρήσει· ἐὰν δὲ κατοπτεύσῃ μέρη τινά, τὰς δὲ αἰτίας ἢ τὰς λοιπὰς ἐπιλύσεις μὴ ἐπιγνῷ, ἔπαινον ἐμοῦ καὶ ψόγον καταψηφιεῖται· ἐὰν δὲ μηδ’ ὅλως ἐντύχῃ ὑπακούσειν, ἐλεγχθήσεται ὁ τοιοῦτος ἀμαθὴς καὶ ἀκόλαστος ὑπὸ τῶν φιλοκάλων καὶ ἐγκρατεστέρων ἀνδρῶν. Δεῖ δὲ καὶ τοῦτο προγινώσκειν κατὰ τὸν φυσικὸν λόγον, ὅτι οὐ τὰ αὐτὰ δίδοται πᾶσιν οὐδὲ συμφέρει· ἄλλῳ μὲν γὰρ δῶκε θεὸς πολεμήϊα ἔργα, ἄλλῳ δ’ ὀρχηστύν, ἑτέρῳ κίθαριν καὶ ἀοιδήν, ἄλλῳ δ’ ἐν στήθεσσι τίθει νόον εὐρύοπα Ζεὺς ἐσθλόν, τοῦ δέ τε πολλοὶ ἐπαυρίσκοντ’ ἄνθρωποι καὶ κατὰ τὸν συγγραφέ α. οὐ γὰρ πάντες ἄνθρωποι πάντων ἀνθρώπων διανοίας ὁμοίας ἢ πράξεις ἔχουσι. Ταῦτα δὲ πρὸς τοὺς τολμῶντας κατὰ τοῦ ἔργου λέγειν προεθέμεθα καὶ πρὸς τοὺς ἀστροδώρητον φύσιν κεκτημένους καὶ φιλομαθεῖς. ὅθεν ἡ μὲν ὑπόστασις τοῦ μαθήματος ἱερὰ καὶ σεβάσμιος ὡς ὑπὸ θεοῦ παραδεδομένη τοῖς ἀνθρώποις, ὅπως καὶ αὐτοὶ μέρος ἀθανασίας διὰ τῆς προγνώσεως ἔχωσι· περὶ δὲ τοὺς ἐντυγχάνοντας ἡ διάκρισις ἐλέγχεται ἤτοι ἀληθὴς ἢ ἀνυπόστατος ἢ δυσκατάληπτος. ὅνπερ μὲν οὖν τρόπον οὐσίαν μίαν πολυτελοῦς οἴνου ἀπὸ ἑνὸς χωρίου κεραμικὰ ἀγγεῖα δεξάμενα μετὰ χρόνον ἃ μὲν ἀπέδωκε τὴν παρακαταθήκην τοῖς πεπιστευκόσι πλήρη τε καὶ εὐάρεστον μεθ’ ἡδονῆς τε καὶ τέρψεως, ἃ δὲ μειώσαντα τοῦ μέτρου τὸν ὄγκον καὶ μὴ εὐτονοῦντα διαβαστάζειν ὑπερεκζέσαν τὸ ἀνθηρότατον [καὶ] οὔτε μὴν τῆς ἡδονῆς μετέβαλεν οὔτε ἠρνήσατο τὴν γεῦσιν τῆς οὐσίας, ἀλλ’ ἐν ἀμφοτέροις διεψεύσατο, ἕτερα δὲ μήτε χρόνον ὑπομείναντα μήτε τὴν φύσιν φυλάξαντα εὐθέως μετετράπη (ὡς καὶ ἐπὶ τῶν ἑτέρων φυτῶν τὸ ὅμοιον ἔστι συνιδεῖν· ἀπὸ γὰρ ἑνὸς δένδρου ὁ μὲν καρπὸς ἡδύς τε καὶ πέπειρος τρυγᾶται, ἄλλος δὲ σκληρός τε καὶ κατηγριωμένος, ἕτερος δὲ πικρὸς καὶ σεσηπὼς ἢ βλαβερὸς τοῖς χρωμένοις), τὸν αὐτὸν τρόπον καὶ αἱ τῶν ἐντυγχανόντων διάνοιαι· ὁ μὲν γὰρ μετὰ προθυμίας καὶ ἐπιμονῆς τὰς μαθήσεις ποιησάμενος μέχρι τέλους τὴν ἡδονὴν ἐκτήσατο, οἱ δὲ ἀφύσικοι καὶ ἀμαθεῖς ἀκροθιγεῖς τὰς εἰσόδους ποιησάμενοι καὶ μὴ ἐγχρονίσαντες διὰ τὸ ἀκαρτέρητον μηδὲ νομίμοις ὑφηγηταῖς ἐσχολακότες ἔλεγχον μὲν καθ’ ἑαυτῶν ἀπαιδευσίας εἰσηνέγκαντο, ψόγον δὲ κατὰ τῶν συνταγματογράφων.

222

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἐάσαντες δὲ τὰ περὶ φυτῶν καὶ οὐσίας ἐπὶ τὴν ἀνθρώπειον γένναν κατέλθωμεν καὶ σκοπήσωμεν. ἀπὸ δύο φύσεων, ἀπὸ τοῦ αὐτοῦ πατρός τε καὶ μητρὸς τῆς αὐτῆς, παῖδες πολλοὶ γεννῶνται, ἀλλ’ οὐχ ὁμοίαν τὴν φύσιν τῇ σπορᾷ ἢ τῇ πρὸς ἑαυτοὺς συμπαθείᾳ κέκτηνται, ἀνομοίᾳ δὲ τύχῃ διὰ τῆς καταβολῆς φερόμενοι οἱ μὲν κοσμίως καὶ εὐγενῶς ἀχθέντες τὸ γένος δοξάζουσι καὶ μακάριοι καθίστανται καὶ διὰ τῆς ἰδίας φιλοκαλίας ἔργα τε καὶ ναοὺς κατασκευάζουσι καὶ ὄχλοις ἀρεστοὶ γίνονται καὶ τέκνων γονὰς καὶ εἰκόνας προλείψαντες περιόντες μὲν δοξάζονται, θανόντες δὲ αἰωνίας φήμης καταξιοῦνται. οἱ δὲ οὐ μόνον τοῖς γονεῦσι καὶ οἰκείοις ἔχθιστοι γενόμενοι διὰ κακότροπον ἦθος, ἀλλὰ καὶ τοῖς μὴ προσήκουσι πολλοὺς ἀπέτρεψαν παιδοποιῆσαι· οἱ δὲ παρὰ τῆς φύσεως καὶ θεοῦ διωχθέντες δικαίαν τιμωρίαν ὑπέμειναν 〈καὶ〉 πρὸς αἴσχιστον ἢ βίαιον κατήντησαν τέλος. ὅπερ καὶ τοὺς κατὰ τοῦ μαθήματος οἶμαι πείσεσθαι. Ἵνα δὲ τῇ ἐξ ἀρχῆς πραγματείᾳ καὶ τὸ τέλος ἐπιθῶμεν, τὰς φυσικὰς καὶ ἀναγκαστικὰς διαιρέσεις ὑποτάξωμεν. ἔσθ’ ὅτε γὰρ διὰ τῆς προκειμένης δωδεκαετίας εἰς κενοὺς τόπους συνεμπεσούσης τῆς παραδόσεως ἐξαίρετα συμβαίνει γίνεσθαι ἢ πάλιν ἀγαθοποιῶν μόνων δοκούντων ἔχειν τὸν χρόνον αἴτια κακῶν συνεπιγίνεται. Ἔστω δὲ ἐπὶ ὑποδείγματος Ἥλιος Ἑρμῆς Ὑδροχόῳ, Σελήνη Σκορπίῳ, Κρόνος Καρκίνῳ, Ζεὺς Ζυγῷ, Ἄρης Παρθένῳ, Ἀφροδίτη Αἰγόκερῳ, ὡροσκόπος Παρθένῳ.

223 ἔσται οὖν ἀπὸ Ἄρεως καὶ ὡροσκόπου ἐπὶ Δία δύο καὶ ἀπὸ Διὸς ἐπὶ Σελήνην δύο καὶ ἀπὸ Ἀφροδίτης ἐπὶ Ἑρμῆν καὶ Ἥλιον δύο· τὰ οὖν δύο καὶ τὰ δʹ καὶ τὰ ςʹ καὶ τὰ ηʹ καὶ ιʹ πρὸς αὐτούς. εἶτα ἀπὸ Ἄρεως ἐπὶ Σελήνην γʹ καὶ ἀπὸ Κρόνου ἐπὶ Ἄρεα γʹ καὶ ἀπὸ Σελήνης ἐπὶ Ἀφροδίτην γʹ· τὰ οὖν γʹ καὶ ςʹ καὶ θʹ καὶ ιβʹ καὶ ιεʹ πρὸς αὐτούς. εἶτα διεκβάλλομεν ἀπὸ Κρόνου ἐπὶ Δία δʹ καὶ ἀπὸ Διὸς ἐπὶ Ἀφροδίτην δʹ καὶ ἀπὸ Σελήνης ἐπὶ Ἥλιον καὶ Ἑρμῆν δʹ. τὰ οὖν δʹ καὶ ηʹ καὶ ιβʹ καὶ ιςʹ πρὸς αὐτούς. εἶτα ἀπὸ Ἄρεως καὶ ὡροσκόπου ἐπὶ Ἀφροδίτην εʹ καὶ ἀπὸ Διὸς ἐπὶ Ἥλιον καὶ Ἑρμῆ νεʹ καὶ ἀπὸ Κρόνου ἐπὶ Σελήνην εʹ· ἄρα οὖν τὰ εʹ καὶ τὰ ιʹ καὶ τὰ ιεʹ καὶ τὰ κʹ πρὸς αὐτούς. εἶτα πάλιν ἀπὸ Ἄρεως καὶ ὡροσκόπου πρὸς Ἥλιον καὶ Ἑρμῆν ςʹ καὶ ἀπὸ Ἡλίου καὶ Ἑρμοῦ ἐπὶ Κρόνον ςʹ· ἄρα οὖν τὰ ςʹ καὶ τὰ ιβʹ καὶ τὰ ιηʹ καὶ τὰ κδʹ καὶ τὰ λʹ πρὸς αὐτούς. εἶτα ἀπὸ Κρόνου ἐπὶ Ἀφροδίτην ζʹ καὶ *** τὰ οὖν ζʹ καὶ τὰ ιδʹ καὶ τὰ καʹ καὶ τὰ κηʹ καὶ τὰ λεʹ πρὸς αὐτούς. ὁμοίως δὲ καὶ ἀπὸ Ἀφροδίτης ἐπὶ Κρόνον ηʹ, εἶτα ἀπὸ Κρόνου ἐπὶ Ἥλιον καὶ Ἑρμῆν ηʹ καὶ ἀπὸ Ἑρμοῦ καὶ Ἡλίου ἐπὶ Ἄρεα καὶ ὡροσκόπον ηʹ· τὰ οὖν ηʹ καὶ τὰ ιςʹ καὶ τὰ κδʹ καὶ τὰ λβʹ καὶ μʹ πρὸς αὐτούς. εἶτα ἀπὸ Ἡλίου καὶ Ἑρμοῦ ἐπὶ Δία θʹ καὶ ἀπὸ Ἀφροδίτης ἐπὶ Ἄρεα καὶ ὡροσκόπον θʹ καὶ ἀπὸ Σελήνης ἐπὶ Κρόνον θʹ· τὰ οὖν θʹ καὶ ιηʹ καὶ κζʹ καὶ λςʹ καὶ μεʹ πρὸς αὐτούς. εἶτα ἀπὸ Ἡλίου καὶ Ἑρμοῦ ἐπὶ Σελήνην ιʹ καὶ ἀπὸ Ἀφροδίτης ἐπὶ Δία ιʹ καὶ ἀπὸ Διὸς ἐπὶ Κρόνον ιʹ· τὰ οὖν ιʹ καὶ κʹ καὶ λʹ καὶ μʹ καὶ νʹ πρὸς αὐτούς. εἶτα ἀπὸ Ἀφροδίτης ἐπὶ Σελήνην ιαʹ καὶ ἀπὸ Σελήνης ἐπὶ Ἄρεα καὶ ὡροσκόπον ιαʹ καὶ ἀπὸ ὡροσκόπου καὶ Ἄρεως ἐπὶ Κρόνον ιαʹ· τὰ οὖν ιαʹ καὶ κβʹ καὶ λγʹ καὶ μδʹ καὶ νεʹ πρὸς αὐτούς. εἶτα ἀπὸ Ἡλίου καὶ Ἑρμοῦ πρὸς Ἀφροδίτην ιβʹ καὶ ἀπὸ Σελήνης ἐπὶ Δία ιβʹ καὶ ἀπὸ Διὸς ἐπὶ Ἄρεα καὶ ὡροσκόπον ιβʹ· τὰ οὖν ιβʹ καὶ κδʹ καὶ λςʹ καὶ μηʹ καὶ ξʹ πρὸς αὐτούς. καὶ μέχρις οὗ τις βούληται τὸν ἀριθμὸν ἐπιπροσθεὶς εὑρήσει. Οὗτος μὲν ὁ ἀριθμὸς ἀναγκαστικὸς καὶ ἐπιδιπλούμενος διὰ τὴν φύσιν τῆς ὀργανοθεσίας· ἐπὶ δὲ πολλῶν φυσικώτερος δοκεῖ καὶ κυριώτερος ὁ διὰ τῆς δωδεκαετίας, 〈ὅσ〉 ἐν δευτέρῳ μέρει κείσεται. δεῖ οὖν πρότερον ἐκείνῳ προσέχειν καὶ ἀπολύειν τὰς δωδεκάδας καὶ τὸν ἐπίλοιπον ζητεῖν· καὶ ἐὰν μὲν εὑρεθῇ ἔχων παράδοσιν, ἐκείνῳ μᾶλλον χρῆσθαι· εἰ δὲ μὴ εὑρεθῇ, ἐξ ἀνάγκης ἐπὶ τοῦτον κατελευσόμεθα [ἢ ἐπὶ τὸν ὑποκείμενον].

224 οἷον ἐὰν ζητῶμεν ἔτος κʹ, ἀφελόντες τὰ ιβʹ τὰ λοιπὰ ηʹ ζητοῦμεν, εἰ ἔχει παράδοσιν. ἐὰν οὖν μὴ εὑρεθῇ, τὰς ἀπὸ δʹ διαστάσεις ζητοῦμεν καὶ τοῖς λοιποῖς ὡς ηʹ χρησόμεθα (ἐνεργεστέρα γὰρ ἡ παράδοσις) ἢ πάλιν τὰς διὰ δύο· οἱ γὰρ συνέχοντες ἀριθμοὶ τὴν ηʹ εἰσὶ βʹ καὶ δʹ· δὶς γὰρ δʹ ἐστὶν ηʹ καὶ πάλιν τετράκις βʹ ηʹ. καὶ οὕτως γὰρ ἐνεργεῖς ἔσονται αἱ παραδόσεις. εἶτα τὰ καʹ καὶ τὰ ιθʹ

παρὰ διάμετρον δηλοῖ· ἐάν τε γὰρ ἀφέλωμεν τὰς ιβʹ ἀπὸ τῶν ιθʹ, περιλείπονται ζʹ, ἐάν τε γʹ ζʹ ποιήσωμεν, γίνεται καʹ. ἐπὶ δὲ τῶν κζʹ ἐνεργήσει καὶ ἡ διὰ γʹ καὶ θʹ καὶ ζʹ. τὰ κδʹ ἐὰν εὑρεθῇ ἔχοντα παράδοσιν, χρήσομαι, ἐπεὶ τὰ διὰ γʹ, τὰ ιγʹ καὶ τὰ κεʹ καὶ τὰ λζʹ, εἰς τὸ αὐτὸ ζῴδιον καταλήγει. ἐὰν οὖν εὑρεθῇ ἀστὴρ ἐπικείμενος ἑαυτῷ, καὶ τῷ ζῳδίῳ παραδεδωκὼς ἔσται· ἐὰν δὲ τούτου ἐπικειμένου ἕτεροι ἀστέρες ἐν τῷ ἑξῆς ζῳδίῳ τύχωσιν, ἐκείνοις μᾶλλον παραδώσει. οἷον ἐπὶ τῆς προκειμένης γενέσεως τῶν ιγʹ καὶ κεʹ ἐνιαυτῶν Ἄρης Διὶ παραδίδωσι καὶ Ζεὺς Σελήνῃ· ἐὰν δὲ τῷ ἑξῆς μηδεὶς εὑρεθῇ, ἑαυτοῖς ἔσονται παραδεδωκότες τὸν ἐνιαυτόν. ἐπεὶ δὲ ἕκαστος ἀριθμὸς κατὰ τὴν ἰδίαν ἁρμονίαν δοκεῖ φυσικὸς ὑπάρχειν, πρὸς τὰς ἀφαιρέσεις τῶν κύκλων ἐξαιρέτως χρησόμεθα πρῶτον μὲν τοῖς διὰ ιβʹ διὰ τὰ ιβʹ ζῴδια, εἶτα τοῖς διὰ ζʹ διὰ τοὺς ζʹ ἀστέρας. ἐάνπερ οὖν τῶν ιβʹ παράδοσις μὴ εὑρεθῇ, ἵνα ἐξ ἀνάγκης ἐκ τούτων γένηται (ἔδοξε δὲ καὶ τοῦτον τὸν λόγον φυσικώτερον ὑπάρχοντα προσυποτάξαι), μοιρικῶς κατὰ συνάντησιν καὶ ἀκτινοβολίαν ἀπὸ πάντων τῶν ἀστέρων τὰς ἀφέσεις ποιεῖσθαι καὶ συγκρίνειν τὴν ἑκάστου ἀστέρος πρὸς ἑκάτερον ἀποτελεσματογραφίαν. εἰ γὰρ ὡροσκόπος ἀφέτης κριθεὶς ἢ ὁ Ἥλιος ἢ ἡ Σελήνη καὶ τὴν φορὰν ποιούμενοι κατὰ τὴν τῶν χρόνων μετέλευσιν ἐπὶ τὰς τῶν ἀγαθοποιῶν ἢ κακοποιῶν ἀκτινοβολίας ἢ μοίρας παραγενόμενοι αἴτιοι ἢ ἀγαθῶν ἢ φαύλων καθίστανται, ὁτὲ δὲ καὶ τὸ τέλος ἐπάγουσι, πῶς οὐχὶ μᾶλλον καὶ ἡ τῶν λοιπῶν ἀστέρων δύναμις εὐτονήσει πρὸς ἄφεσιν καὶ ἀκτινοβολίαν; ἢ μόνοις τοῖς τρισὶ τὴν κυρίαν τῆς ἀφέσεως προσνέμομεν, τοὺς δὲ λοιποὺς διὰ παντὸς στηρίζοντας καὶ πεπηγότας καθάπερ σημείων χάριν ἐσομένους παρίεμεν; πᾶς δὲ ἀστὴρ κατὰ τὴν ἰδίαν φορὰν τοῦ ἀνέμου κινούμενος ἀποτελεστικὸς ἀγαθοῦ τε καὶ κακοῦ γενήσεται.

225 Ταῦτα δὲ ἐκ πείρας αὐτὸς δοκιμάσας συνίστημι· πολλάκις γὰρ μηδεμιᾶς ἐπικρατήσεως οἰκείως εὑρεθείσης μήτε οἰκοδεσποτικῆς προφάσεως μήθʼ ἑτέρας ἀγωγῆς ἐνδειξαμένης ἐνέργειαν μεγάλα αἴτια ἀγαθῶν καὶ ἀπροσδόκητα ἐγένετο, ὁτὲ δὲ κινδυνώδεις καὶ θανατηφόροι περιστάσεις ἐπηκολούθησαν· ἅπερ ἐκ τῆς τῶν ἀστέρων ἀφέσεως κατελαβόμην. γενόμενοι γὰρ οἱ κακοποιοὶ κατὰ μοιρικὴν κίνησιν ἐπὶ τὸν ὡροσκόπον ἢ τὸν Ἥλιον ἢ τὴν Σελήνην τὸ τέλος ἐπήνεγκαν, ἐπὶ δὲ τὸ μεσουράνημα ἢ τοὺς ἐπικαίρους τόπους ἀπραξίας καὶ αἰτίας ἐπιταράχους ἢ κινδυνώδεις· ὁμοίως δὲ καὶ οἱ ἀγαθοποιοὶ δόξας καὶ προφανείας καὶ ὠφελείας, ἐάν πως καὶ ἡ ἄφεσις τῆς ὑποστάσεως περὶ τὸν Ἥλιον ἢ τὴν Σελήνην ἢ τὸν ὡροσκόπον εὑρεθῇ καὶ περὶ τὸν οἰκοδεσπότην. περὶ μέντοι τὰς λοιπὰς τῶν πραγμάτων ἀφορμὰς καὶ περὶ τὸν βίον γενομένας αἱρέσεις χρὴ ταῖς λοιπαῖς τῶν ἀστέρων ἀφέσεσι καὶ μαρτυρίαις καὶ ἀκτινοβολίαις προσέχειν. πῶς γὰρ οὐχὶ Κρόνος καὶ Ἄρης κατὰ μοιρικὴν ἄφεσιν κατὰ τὸν ὡροσκόπον ἢ τὸν Ἥλιον ἢ τὴν Σελήνην γενόμενοι ὑποστάσεως ἐτῶν οὔσης ἀσθένειαν κατασκευάσουσι καὶ αἰφνιδίως κλιμακτῆρας ἢ πατρὸς ἢ μητρὸς θάνατον ἢ μειζόνων ἔχθρας ἢ δόξης καθαίρεσιν ἢ φόβους ἐπισφαλεῖς καὶ τὰ λοιπά, ὅσα ἡ φύσις αὐτῶν παραδεικνύει; ἐπὶ δὲ τόπων καὶ μοιρῶν Ἀφροδίτης γυναικὸς ἢ θηλυκῶν προσώπων θανάτους ἢ ἔχθρας καὶ ταραχὰς καὶ σκυλμοὺς βιωτικοὺς ψόγους τε καὶ ἔπαισχρα πάθη· ἐπὶ δὲ τῶν τοῦ Ἑρμοῦ κρίσεις καὶ ἐπηρείας γραπτῶν χάριν ἢ ἀργυρικῶν ἢ μυστικῶν πραγμάτων, ἢ ἀδελφῶν ἢ συγγενῶν ἢ σωμάτων θανάτους· ἐπὶ δὲ τῶν τοῦ Διὸς δόξας, κληρονομίας, περικτήσεις, παιδοποιίας, προκοπάς, συστάσεις μειζόνων. ὁμοίως δὲ καὶ ἕκαστος ἀστὴρ κατὰ τὴν ἰδίαν δύναμιν καὶ τοὺς ἐπικειμένους ἢ ἀκτινοβολοῦντας ἐνεργήσει· καὶ ἐν μὲν τοῖς χρηματιστικοῖς ζῳδίοις ἢ ἐπικέντροις βεβαιότεροι καὶ εὐτονώτεροι πρὸς τὸ ἀποτέλεσμα γενήσονται, ἐν δὲ τοῖς ἀποκλίμασιν ἥττονες. ἐὰν μέντοι ἀναποδιστικὸς ἀστὴρ εὑρεθῇ, οὐ κατὰ τὸ ἑξῆς τὴν ἄφεσιν ποιησόμεθα, ἀλλὰ ἀνωφερῶς· καὶ σκοπήσαντες ἕως ποίας μοίρας ἀναποδίζει, ἐκείνην συγκρινοῦμεν τίνα δύναται ἀκτινοβολῆσαι κατʼ ἐκεῖνον τὸν χρόνον. ἐὰν γάρ πως ἀπόστροφος κατὰ τὸ παρὸν οὗτινος ἀστέρος ἢ κέντρου

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τύχῃ, κατὰ δὲ τὴν 〈τοῦ〉 ἀναποδισμοῦ χρονογραφίαν ἀπὸ ἑτέρου ζῳδίου εἰς ἕτερον ζῴδιον γενόμενος ἀκτινοβολήσῃ, ἐνεργήσει πρὸς τὸ ἀγαθὸν ἢ φαῦλον.

226 Χρὴ μέντοι ἐκ τῆς τῶν πρὸς τὰ φαινόμενα κανόνων πραγματείας τὰς μοιρικὰς κινήσεις ἐξετάζειν· αἱ γὰρ καθολικαὶ ὑποστάσεις καὶ χρονογραφίαι ἐκ τούτων τῶν ἀφέσεων διακρατοῦνται. ὅθεν οἱ πλείους μὴ ἐπιστάμενοι, ὅτι διὰ πολλῶν αἱρέσεων τὰ πράγματα συντελεῖται, ἀνύπαρκτον ἢ ἀσυντέλεστον ἢ δυσκατάληπτον τὴν ἐπιστήμην ὑπολαμβάνουσι, μιᾷ δυνάμει ἀγωγῆς διὰ παντὸς ἐσχολακότες· οἱ δὲ μετὰ πάσης ἀκριβείας πολλὰς αἱρέσεις δυνάμεως εἰσενεγκάμενοι καὶ νέᾳ ἀγωγῇ φυσικῇ χρησάμενοι κατὰ τὴν ἐπιβάλλουσαν τῆς γενέσεως αἵρεσιν εὐκατάληπτον τὴν τῶν ἀποτελεσμάτων ἐνέργειαν ἐκτήσαντο. καθάπερ οὖν εἴς τινας πόλεις, ἐξαιρέτως δὲ εἰς βασιλίδα χώραν ἀλλοεθνεῖς ἄνδρες κατερχόμενοι ἄλλοτε ἄλλως οὐ διὰ μιᾶς ὁδοῦ τὴν ἄφιξιν ποιοῦνται, ἀλλ’ οἱ μὲν πεζικῶς ἐρήμους τόπους καὶ σκληρὰς ὁδοὺς διερχόμενοι καὶ ἐπιφόβοις κινδύνοις περιπίπτοντες παραγίνονται ἀπὸ περάτων, οἱ δὲ εὐχερῶς καὶ ἀκινδύνως λεωφόροις ὁδοῖς χρησάμενοι, οἱ δὲ θαλασσίαις ζάλαις καὶ ἀνέμων ῥιπαῖς πολλάκις εἰκονιζόμενοι τὸν θάνατον τὴν προαίρεσιν πληροφοροῦσι καὶ οὐδεμία τις αὐτοῖς φιλονεικία οὐδὲ ἔπαθλον τῆς συντόμου ἢ σκληρᾶς εἰσελεύσεως πρόκειται, ἀλλ’ ἕκαστος κατὰ τὴν τῶν τότε χρόνων ἐνέργειαν ἤτοι ὠφελείας καὶ δόξης ἢ καὶ τῶν κατὰ προαίρεσιν τυγχάνει ἢ καὶ ἄλλως αἰτίαις περιπεσὼν ἢ καθαιρεθεὶς προσαπώλεσε καὶ τὸ ζῆν, ἕτεροι δ’ ἔμειναν ἐπ’ ὀλέθρῳ, τινὲς δ’ ἐπὶ ἀπροσδοκήτῳ εὐεργεσίᾳ καίπερ ταχίστην τὴν ἔξοδον προθυμηθέντες, τὸν αὐτὸν τρόπον δεῖ ποικίλως καὶ ἡμᾶς προσέχειν τῇ μαθήσει καὶ ὥσπερ ἂν εἰ διὰ πολλῶν ὁδῶν διευθύνοντας ἐπὶ τὸ ἀποτέλεσμα κατελθεῖν· πολλὰ γὰρ καὶ μυρία τὰ συμβαίνοντα τοῖς ἀνθρώποις, ἅπερ οὐ διὰ μιᾶς ἀγωγῆς οὔτε ἑνὸς ἀστέρος συνίσταται, ἀλλὰ διὰ πολλῶν. ἐπεὶ δὲ καθ’ ἑκάστην γένεσιν ιβʹ τόποι σημαίνονται, ἐκ δὲ τούτων καὶ τῆς τῶν ἀστέρων φύσεως πλεῖστοι ἐφευρίσκονται, παρατηρητέον τὰς κεντροθεσίας καὶ τὰς τῶν τόπων ἐναλλαγάς· πολλάκις γὰρ εἰς ἓν ζῴδιον δύο τόποι συνεμπίπτουσιν ἢ καὶ σχῆμα κεντρικὸν ἀποκλίματος τρόπον ἐνδείκνυται· τοῦτο δὲ συμβαίνει περὶ τὰς τοῦ ὡροσκόπου αἰτίας. Οἷον Δίδυμοι ὡροσκόπος, μεσουράνημα Ὑδροχόος μοιρικῶς· ἐφέξει οὖν οὗτος ὁ τόπος τὸν περὶ πράξεως καὶ δόξης καὶ τέκνων λόγον καὶ τὸν περὶ ξένης καὶ θεοῦ, ἐπεὶ ζῳδιακῶς ἐν τῷ θʹ ἀπὸ τοῦ ὡροσκόπου εὑρέθη καὶ ἡ παράδοσις δὲ ἡ διὰ δʹ καὶ εʹ ἐπ’ αὐτοῦ εὑρέθη ἐπὶ τὸν ὡροσκόπον χρηματίζουσα καὶ ἡ ἀπὸ τοῦ ὡροσκόπου ἐπ’ αὐτὸν ἡ διὰ θʹ καὶ ιʹ παράδοσις χρηματίζει.

227 ὁμοίως δὲ καὶ τὸ διάμετρον τοῦ Ὑδροχόου τουτέστιν ὁ Λέων, ὅπερ ὑπόγειον κέντρον, ἐφέξει τόν τε περὶ θεμελίων κτημάτων καὶ γονέων λόγον καὶ τὸν περὶ θεοῦ καὶ ἀδελφῶν καὶ ξένης, καὶ ἡ διὰ γʹ καὶ δʹ παράδοσις ἀπὸ ὡροσκόπου ἐπ’ αὐτὸν εὐτονήσει καὶ ἀπ’ αὐτοῦ δὲ ἐπὶ τὸν ὡροσκόπον ἡ διὰ ιʹ καὶ ιαʹ. ὁμοίως καὶ ἐπὶ τῶν λοιπῶν ζῳδίων καὶ πολυαναφόρων τὸ ὅμοιον λυέσθω, ἐπὰν ἐν τῷ ἑξαγώνῳ συμπέσῃ τὸ μεσουράνημα· ὅθεν ἐὰν μοιρικῶς τοὺς τόπους ἐξετάσωμεν ἢ καὶ τὰς ἀποδιαστάσεις τῶν ἀστέρων, οὐ πταίσομεν. οἷον Ἄρης ὡροσκόπος Παρθένῳ, Σελήνη Σκορπίῳ ὑπόγειος, τὸ μεσουράνημα Ταύρῳ· ζητεῖν δεῖ λδʹ ἔτος. ὑφαιρουμένων δυοδεκάδων δύο ὑπολείπονται ιʹ· ἴσχυσεν ἡ παράδοσις ἡ ἀπὸ Σελήνης ἐπὶ Ἄρεα διὰ τὸ κέντρον καὶ ἀπὸ ὡροσκόπου καὶ Ἄρεως ἐπὶ τὸν Ταῦρον τουτέστι τὸ μεσουράνημα. ἔπραξε γὰρ τῷ χρόνῳ ἐπὶ ξένης καὶ φιλίας μειζόνων ἔσχε καὶ διὰ θηλυκὸν πρόσωπον ἐκινδύνευσεν ἀπολέσθαι τομαῖς τε καὶ αἱμαγμοῖς περιέπεσε· καὶ ἄλλαι δὲ παραδόσεις ἐχρημάτισαν τῷ χρόνῳ τούτῳ, πλὴν τὰ αἴτια οὐκ ἐδήλουν. οὕτως οὖν πολλάκις μὴ ὑποπτευομένου τοῦ χρόνου αἴτια κακῶν συνίσταται ἢ πάλιν μὴ προσδοκωμένου μεγάλαι δόξαι καὶ ὠφέλειαι παρακολουθοῦσιν. 〈ιʹ.〉 Τῶν προκειμένων ἀγωγῶν ὑπόδειγμ α . Ὑποδείξομεν δὲ καὶ γενέσεις ὑποδείγματος χάριν εἰς τὸ εὐσύνοπτον τοῖς ἐντυγχάνουσι τὴν θεωρίαν φανῆναι. οἷον Ἥλιος Σελήνη Ἀφροδίτη Ἑρμῆς ὡροσκόπος Σκορπίῳ, Κρόνος Τοξότῃ, Ζεὺς

Αἰγόκερῳ, Ἄρης Λέοντι. ἐν τῷ κʹ ἔτει παράδοσις Διὸς Αἰγόκερῳ Ἄρει Λέοντι ἡ διὰ ηʹ· παραδέδωκεν οὖν Ζεὺς Ἄρει ἀπὸ τοῦ γʹ εἰς τὸ ιʹ ζῴδιον τουτέστι τὸ μεσουράνημα.

228 ἀξίωσις γέγονε πρὸς βασιλέως περὶ δόξης καὶ οὐκ ἔτυχε· χαλεπὸς γὰρ Ζεὺς Ἄρει παραδιδούς. ἰσχύει δὲ καὶ ἡ διὰ δʹ διαίρεσις τουτέστιν ἀπὸ Ἄρεος ἐπὶ Ἥλιον καὶ Σελήνην καὶ ὡροσκόπον καὶ Ἑρμῆν καὶ Ἀφροδίτην· ἐνόσησεν οὖν ἐν τῷ κʹ ἔτει καὶ ἀπὸ τετραπόδου πεσὼν ἐσύρη, ὡς παρά τι καὶ τὰς ὄψεις ἀφανίσαι· γέγονε δὲ καὶ πρὸς θηλυκὸν πρόσωπον ψόγος καὶ ἐπίθεσις καὶ ζημία, ὥστε ἕκαστος τῶν ἀστέρων τὸ ἴδιον ἀπετέλεσε παρὰ κακοποιῶν παραλαβών. τῷ δὲ κγʹ ἔτει Ζεὺς ἀπὸ βασιλικοῦ τόπου (ὁ γὰρ τρίτος καὶ ὁ ἔνατος ἀπὸ ὡροσκόπου τόπος θεὸν καὶ βασιλέα δηλοῖ) παραδιδοὺς τοῖς φωσὶ καὶ Ἀφροδίτῃ καὶ ὡροσκόπῳ καὶ Ἑρμῇ διὰ δωρεᾶς παρέσχεν ἐξουσιαστικὸν συνέδριον. οὐδὲν οὖν δυνατὸν ἄνθρωπον πράσσειν φιλίας βασιλέων καὶ μειζόνων κεκτημένον ἀντιπρασσόντων τῶν χρόνων. Ἄλλ η. Ἥλιος Ταύρῳ, Σελήνη Ἑρμῆς Κριῷ, Κρόνος Ἰχθύσι, Ζεὺς Ἄρης Ὑδροχόῳ, Ἀφροδίτη Διδύμοις, ὡροσκόπος Παρθένῳ. ἐν τῷ μβʹ ἔτει ἐκληρονόμησε θηλυκὸν πρόσωπον· ἦν γὰρ διὰ ϛʹ παράδοσις ἀπὸ Σελήνης καὶ Ἑρμοῦ ὄντων ἐν τῷ θανατικῷ τόπῳ Κριῷ εἰς τὴν Παρθένον οἶκον Ἑρμοῦ καὶ ἀπὸ ὑψωματικοῦ ζῳδίου εἰς ὑψωτικόν. τῷ δὲ μεʹ ἔτει ἀρχὴν ἐπίσημον ἔσχε δημοσίων χάριν πραγμάτων· Ἀφροδίτη γὰρ ἀπὸ μεσουρανήματος παρέδωκεν Ἄρει δηλοῦντι τὸ ταραχῶδες τῷ τε Διὶ τὸ τῆς δόξης. ἦν δὲ καὶ ἡ ἀπὸ ὡροσκόπου ἄφεσις ἐπὶ τὸν Ἥλιον, ὅθεν καὶ βασιλεῖ γνωστὸς ἐγένετο κατ’ ἐκεῖνον τὸν χρόνον. ἐν δὲ τῷ αὐτῷ ἔτει καὶ παλλακίδας ἠλευθέρωσε διὰ τὸ εἰς τὸν περὶ δούλων τόπον Δία ὄντα παρειληφέναι ἀπὸ Ἀφροδίτης. τῷ μϛʹ ἔτει πράγματα ἔσχε καὶ ἀνασκευασμοὺς τηκτῶν πραγμάτων καὶ διὰ θηλυκῶν προσώπων ταραχὰς καὶ παλλακίδων δυοῖν θάνατον· ἦν γὰρ ἡ παράδοσις ἀπὸ Ἀφροδίτης ἐπὶ Κρόνον ἐν τῷ γαμοστολικῷ καὶ ἀπὸ Ἡλίου ἐπὶ Ἄρεα καὶ Δία. τῶν μὲν οὖν ταραχῶν ἐπαύσατο. Ἄλλ η. Ἥλιος Ταύρῳ, Σελήνη Ἀφροδίτη ὡροσκόπος Κριῷ, Κρόνος Αἰγόκερῳ, Ζεὺς Παρθένῳ, Ἄρης Σκορπίῳ, Ἑρμῆς Διδύμοις. τῷ ναʹ ἔτει ἐξενίτευσε καὶ ἐπὶ βασιλέως ἐλθὼν δίκην ὑπὲρ φίλου ἀρχιερωσύνης ἐνίκησεν· ἦν γὰρ ἡ παράδοσις ἀπὸ Σελήνης καὶ Ἀφροδίτης καὶ ὡροσκόπου 〈ἐπὶ〉 Ἑρμῆν ὄντα ἐν τῷ περὶ θεοῦ καὶ βασιλέως.

229 ἐν δὲ τῷ αὐτῷ ἔτει καὶ τέκνου θάνατος ἐγένετο· Ἄρης γὰρ ἀπὸ θανατικοῦ τόπου Κρόνῳ παρέδωκεν ὄντι ἐν τῷ περὶ τέκνων τόπῳ. Ἄλλ η. Ἥλιος Ἑρμῆς Σκορπίῳ, Σελήνη Ἄρης Τοξότῃ, Κρόνος Αἰγόκερῳ, Ζεὺς Ὑδροχόῳ, Ἀφροδίτη Παρθένῳ, ὡροσκόπος Ταύρῳ· τούτου τοῦ προκειμένου θέματος ὁ υἱὸς ὡς πρὸς σύγκρισιν ἐδηλώθη καὶ ἐκ ταύτης τῆς αἱρέσεως τῷ κβʹ ἔτει περὶ τὸν πατέρα ἥκει. Ζεὺς γὰρ Ἡλίῳ τὴν παράδοσιν ἐποιήσατο δηλοῦντι πατέρα καὶ ἡ ἀπὸ Ἄρεος ὄντος ἐν τῷ θανατικῷ τόπῳ πρὸς Ἀφροδίτην παράδοσις τοῦ θανάτου τὸ αἴτιον. Ἄλλ η. Ἥλιος Ἄρης Ἀφροδίτη Λέων Σελήνη Ὑδροχόῳ, Κρόνος Κριῷ, Ζεὺς Ἰχθύσιν, Ἑρμῆς Καρκίνῳ, ὡροσκόπος Παρθένῳ. τῷ κδʹ ἔτει ἀπὸ νεκρικῶν ὠφελήθη καὶ φίλων· τῷ κϛʹ ἔτει γάμος καὶ ὠφέλεια γυναικός· τῷ κθʹ ἔτει διὰ θάνατον ἀλλοτρίου δούλου καὶ πρόφασιν φαρμάκου πράγματα καὶ ταραχὰς ἔσχηκεν· Κρόνος γὰρ Ἡλίῳ Ἄρει Ἀφροδίτῃ ἐν τῷ περὶ δούλων τόπῳ οὖσι τὴν παράδοσιν ἐποιήσατο· ἔτυχε δὲ βοηθείας διὰ μειζόνων φιλίας ἀρρενικῶν τε καὶ θηλυκῶν. τῷ λαʹ ἔτει ἐξενίτευσε καὶ ἐπὶ τῆς ξένης ἡδέως μὲν καὶ ἐπωφελῶς κατ’ ἀρχὰς διῆξεν, ἐξ ὑστέρου δὲ φθείρας παιδίσκην ζηλοτυπίας καὶ ταραχὰς ἔσχεν· ἦν γὰρ ἡ παράδοσις ἀφ’ Ἡλίου καὶ Ἀφροδίτης καὶ Ἄρεος ὄντων ἐν τῷ περὶ δούλων τόπῳ ἐπὶ Σελήνην καὶ ἀπὸ ὡροσκόπου ἐπὶ Δία τὸν γαμοστόλον. τῷ δὲ λγʹ ἔτει κατεδικάσθη ὡς δοῦλον ἀπὸ νήσου ἐκβαλών, πλὴν ἐν τῇ καταδίκῃ φιλανθρωπίας μετέσχε διὰ τὴν ἀπὸ Ἑρμοῦ πρὸς Δία παράδοσιν. ἡ μέντοι συνοχὴ πρόδηλος ἐγένετο ἐκ τῆς σεληνιακῆς ἑξαγώνου στάσεως πρὸς Κρόνον, καθὼς ἐν τοῖς πρότερον ἐδηλώσαμεν, ὁ δὲ χρόνος ἀπὸ Ἄρεος καὶ Ἡλίου εἰς τὸν αἰτιατικὸν τόπον γενόμενος, τουτέστι πρὸς Κρόνον, τὴν καταδίκην παρέσχε. τῷ δὲ μεʹ ἔτει διὰ σπουδῆς μειζόνων προσώπων ὡς ἐπισινὴς ἀπελύθη· ἦν γὰρ καὶ ἡ παράδοσις τοῦ τε πρώτου χρόνου καὶ τούτου συγκεκραμένη

Eulogikon public reading copy · View original HTML at eulogikon.org

⟨ἐξ⟩ ἀγαθοποιῶν καὶ κακοποιῶν. ἄλλως τε καὶ οἱ κακοποιοὶ ὑπὸ τῆς ἡλιακῆς ἀκτῖνος ἀφαιρετικοὶ καὶ ἀμαυρότεροι γεγόνασι καὶ εἰς ἀσθενεστέρους τόπους πεπράκασιν. Ὅθεν σκοπεῖν δεήσει πάντων τῶν ἀστέρων τὰς παραδόσεις, καὶ πότερον αἱ τῶν κακοποιῶν πλεονάζουσιν ἢ αἱ τῶν ἀγαθοποιῶν ἢ ἀναμεμιγμέναι εἰσί, καὶ οὕτως ἀποφαίνεσθαι.

230 περὶ μὲν οὖν τούτων ἐν τοῖς παραγγέλμασιν ἐδηλώσαμεν· ἵνα δὲ μὴ δόξωμεν πολυλογεῖν, αὐτὰ τὰ κεφάλαια τῶν ἀποτελεσμάτων ὑποδείξομεν, τοὺς δὲ τόπους καὶ τὰς αἰτίας οἱ ἐντυγχάνοντες ἐκ τῶν προδεδηλωμένων καταλήψονται ἢ τῶν μελλόντων. Ἄλλ η. Ἥλιος Ἑρμῆς Ἀφροδίτη Ζυγῷ, Κρόνος Ὑδροχόῳ, Ζεὺς ὡροσκόπος Τοξότῃ, Ἄρης Παρθένῳ, Σελήνη Λέοντι. τῷ μζʹ ἔτει ἐκληρονόμησε φίλον, ἐν δὲ τῷ αὐτῷ καὶ γυναικὸς ἐχωρίσθη διὰ ζηλοτυπίαν καὶ ψόγον. Ἄλλ η. Ἥλιος Ἄρης Ταύρῳ, Σελήνη ὡροσκόπος Κριῷ, Κρόνος Λέοντι, Ζεὺς Καρκίνῳ, Ἀφροδίτη Ἰχθύσιν, Ἑρμῆς Διδύμοις. τῷ δʹ ἔτει πατρὸς θάνατος ἐγένετο. Ἄλλ η. Ἥλιος Ἑρμῆς Κρόνος Τοξότῃ, Σελήνη Ἰχθύσιν, Ἄρης Λέοντι, Ἀφροδίτη Αἰγόκερῳ, ὡροσκόπος Ζεὺς Ταύρῳ. τῷ μεʹ ἔτει τέκνων διδύμων γέννα ἄχρηστος, ἐν δὲ τῷ αὐτῷ καὶ ἀρχιερωσύνη· τῷ ναʹ ἀρχὴ ἐπίσημος· τῷ νβʹ ἔτει τέκνου θάνατος. Ἄλλ η. Ἥλιος Ἀφροδίτη Ταύρῳ, Σελήνη Κριῷ, Κρόνος Καρκίνῳ, Ζεὺς Ἄρης Παρθένῳ, Ἑρμῆς Διδύμοις, ὡροσκόπος Τοξότῃ. ἐν τῷ λςʹ ἔτει κρίσεις καὶ πράγματα ὑπὲρ τῆς γυναικὸς ἔσχε καὶ φίλων ἔχθρας. Ἄλλ η. Ἥλιος Ἀφροδίτη Ὑδροχόῳ, Σελήνη Ζεὺς Τοξότῃ, Κρόνος Λέοντι, Ἑρμῆς Αἰγόκερῳ, Ἄρης ὡροσκόπος Ζυγῷ. τῷ λεʹ ἔτει ἐκινδύνευσε συσχεθῆναι διὰ στάσιν καὶ βίαν· εἶχε γὰρ καὶ ἡ Σελήνη ἑξάγωνον σχῆμα πρὸς Ἄρεα καὶ αὐτὸς Ἄρης παρειληφὼς παρ’ αὐτῆς τὸν ἐνιαυτὸν καὶ Κρόνῳ παραδεδωκώς. αὗται οὖν αἱ ἀντιπαραδόσεις χαλεπαὶ καὶ ἐπιτάραχοι· ἴσχυσε δὲ Ζεὺς σὺν τῇ Σελήνῃ τυχὼν καὶ παραλαβὼν ἀπὸ Ἡλίου καὶ Ἀφροδίτης τὸ αὐτὸ ἔτος ὄντων ἐν τῷ περὶ φιλίας τόπῳ· ὁ αὐτὸς οὖν ἐν τῷ περὶ ξένης τόπῳ τυχὼν ἐπετέλεσε ξενιτείαν ἑκούσιον μέν, ἐπίφοβον δέ, καὶ φίλων βοηθείας καὶ συστάσεις. Ἄλλ η. Ἥλιος Ἄρης Ἑρμῆς Σκορπίῳ, Κρόνος Κριῷ, Σελήνη Παρθένῳ, Ζεὺς Ταύρῳ, Ἀφροδίτη Ζυγῷ, ὡροσκόπος Τοξότῃ. τῷ μβʹ ἔτει διὰ γυναῖκα ταραχαὶ καὶ ἀκαταστασίαι καὶ ὄχλων περιβοήσεις, τῷ δὲ μδʹ δούλου βιαιοθανασία καὶ πατρὸς κλιμακτὴρ καὶ κατηγορία περὶ γένους ὡς ἀδόξου καὶ περὶ βίας· πλὴν ἀπὸ φίλων ἔτυχε βοηθείας καὶ δωρεᾶς. ἐταράχθη δὲ καὶ εἰς τὸν περὶ γραπτῶν λόγον καὶ ζημίας καὶ ἐπιθέσεως ἐπειράθη καὶ ψευδοκατηγορίας καὶ ἐπὶ δόλοις ἐλυπήθη καὶ σωματικῶς ὠχλήθη.

231 ἑκάστη οὖν παράδοσις τὸ ἴδιον ἀποτελεῖ, ὁμοίως δὲ καὶ ἕκαστος τόπος. Ἄλλ η. Ἥλιος Ζεὺς Αἰγόκερῳ, Σελήνη Κρόνος Λέοντι, Ἄρης Ἰχθύσιν, Ἀφροδίτη ὡροσκόπος Σκορπίῳ, Ἑρμῆς Τοξότῃ. οἱ αἰτιατικοὶ τόποι εὑρέθησαν Ἰχθύσι καὶ Σκορπίῳ· ἐν τῷ Σκορπίῳ Ἀφροδίτη, ἐν Ἰχθύσιν Ἄρης. ὀρχηστὴς ὢν διὰ στάσιν ὄχλων τῷ κεʹ ἔτει ἐν συνοχῇ γενόμενος καὶ ἀπολογηθεὶς ἡγεμόνι διὰ φίλων βοήθειαν καὶ ὄχλων δέησιν ἀπολυθεὶς ἐνδοξότερος ἐγένετο. ἦν μὲν γὰρ ἡ παράδοσις τοῦ ἔτους ἀπὸ Κρόνου καὶ Σελήνης ἐπὶ Ἄρεα καὶ τὸν αἰτιατικὸν τόπον, καὶ ἀπὸ Διὸς καὶ ἀπὸ Ἡλίου ὄντων ἐν τῷ περὶ ἐξουσίας τόπῳ ἐπὶ Κρόνον καὶ Σελήνην ὄντας ⟨ἐν⟩ τῷ μεσουρανήματι καὶ πρακτικῷ τόπῳ· ἄλλως τε καὶ κατὰ τὴν διὰ ηʹ διὰ δʹ αἵρεσιν σημαίνει ἀπὸ Κρόνου καὶ Σελήνης ἐπὶ Ἀφροδίτην καὶ ὡροσκόπον, ἵνα γένηται ἡ στάσις καὶ φιλονεικία καὶ ἀντιζηλία διὰ τὴν πρᾶξιν, καὶ ἀπὸ Ἑρμοῦ δʹ ἐπὶ Ἄρεα καὶ τὸν αἰτιατικὸν τόπον. πάντες οὖν οἱ ἀστέρες τῷ κ ⟨εʹ⟩ ἔτει ἐχρημάτισαν· εὐλαβήθη ἡ γένεσις περὶ καθαιρέσεως δόξης καὶ περὶ καταδίκης καὶ πνευματικοῦ κινδύνου. Ἀφροδίτης δὲ εὑρεθείσης ἐν τῷ ὡροσκόπῳ καὶ ἐν τῷ αἰτιατικῷ καὶ Διὸς σὺν Ἡλίῳ εὐφαντασίωτον τὴν ἀπόλυσιν ἔσχε καὶ περὶ τὴν πρᾶξιν εὐημέρησεν· ἦν γὰρ καὶ ὁ κλῆρος τῆς τύχης Κριῷ, τοῦ δὲ ὑψώματος κατὰ τὴν γένεσιν κύριος ὁ Ἥλιος εὑρέθη μεσουρανῶν κατὰ τὸν κλῆρον καὶ Ἄρης κατὰ τὸν δαίμονα. ἐξ ὑστέρου τῷ λβʹ ἔτει τιμῆς καὶ δόξης καὶ βίου καθαιρεθεὶς ἀτίμως διῆξε διὰ τὸ ἐν ἀποκλίσει τετευχέναι τὸν κλῆρον καὶ Κρόνον παρ’ αἵρεσιν μεσουρανοῦντα ἐναντιωθῆναι τῷ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

περιποιητικῷ τόπῳ Ὑδροχόῳ ἰδίῳ οἴκῳ· ὅθεν καὶ ἑαυτῷ παραίτιος τῆς καθαιρέσεως ἐγένετο, ὑβριστὴς καὶ ἀλαζὼν γενόμενος· καὶ γὰρ ὁ κύριος τοῦ δαίμονος καὶ τοῦ διανοητικοῦ τόπου Ἑρμῆς ἑαυτῷ ἠναντιώθη, τουτέστι τοῖς Διδύμοις. Ἄλλ η. Ἥλιος Σελήνη Καρκίνῳ, Κρόνος Ζεὺς Ἄρης Κριῷ, Ἀφροδίτη Ἑρμῆς ὡροσκόπος Διδύμοις. τῷ κʹ ἔτει οἱ τούτου γονεῖς ἐν πανηγύρει λῃστῶν ἐφόδῳ ἀμφότεροι ἀνῃρέθησαν· ἦν μὲν οὖν καὶ ἡ παράδοσις ἀπὸ ὡροσκόπου εἰς τὸν θανατικὸν τόπον· ἐχρημάτισε δὲ μᾶλλον καὶ ἡ διὰ δʹ ἀπὸ Κρόνου καὶ Ἄρεος ἐπὶ Ἥλιον καὶ Σελήνην, οἳ ἐτύγχανον ἐν τῷ θανατικῷ τόπῳ δηλοῦντες πατέρα καὶ μητέρα.

232 καὶ αὐτὸς μέντοι ἐν τῇ ταραχῇ γενόμενος διέφυγε τὸν κίνδυνον, ἵνα καὶ ἡ Διὸς παράδοσις ἐν τῷ αὐτῷ ἰσχύσῃ. 〈ιαʹ.〉 Περὶ ἀφέσεω ς . Αἱ μὲν οὖν ἀφέσεις τῶν ἐνιαυτῶν ἀπὸ πάντων τῶν ἀστέρων χρηματίσουσιν, ἐνεργεστέρα δὲ ἐκείνη ἡ ἄφεσις κριθήσεται· ἡμέρας μὲν ἀπὸ Ἡλίου, νυκτὸς δὲ ἀπὸ Σελήνης, μάλιστα ἐὰν ἐπίκεντροι τύχωσι. ἔπειτα ἡ ἀπὸ ὡροσκόπου· κἂν μὲν ἔλθῃ ὁ ἀπὸ ὡροσκόπου ἢ ὁ ἀπὸ Σελήνης ἢ ὁ ἀπὸ Ἡλίου δεδομένος ἐνιαυτὸς εἴς τινα τῶν κατὰ γένεσιν ἀστέρων, χρῆσθαι τοῖς ἀποτελέσμασιν· εἰ δʼ οὖν καὶ τῶν κατὰ πάροδον ἀστέρων τις ἐπεμβῇ τῷ τόπῳ ἐκείνῳ, ἔσται παραδεδωκὼς τὸν χρόνον. εἰ δὲ κενὸν τύχῃ τὸ ζῴδιον, εἰς ὃ κατέληξεν ὁ ἀριθμός, ἀπὸ τοῦ κυρίου τοῦ ζῳδίου τοῦ κατὰ γένεσιν τὸν αὐτὸν καὶ ἀποδιδόναι καὶ σκοπεῖν ὁμοίως, ἐπὶ τίνα λήγει τῶν κατὰ γένεσιν ἢ κατὰ πάροδον, καὶ πάντων τὰς ἐκβάσεις προλέγειν τῶν τε τόπων καὶ τῶν ἀστέρων· κἂν μὲν ἀπὸ ἀστέρος ἐπὶ ἀστέρα καταλήξῃ ὁ ἀριθμός, χρῆσθαι τοῖς ἀποτελέσμασι τῶν ἀστέρων· εἰ δὲ εἰς κενά, τοῖς τῶν τόπων κυρίοις. Οἷον ἐὰν ἀπὸ Σελήνης ἡ ἄφεσις γενομένη ἔλθῃ ἢ εἰς Κριὸν ἢ εἰς Σκορπίον, ἐκεῖ δὲ μηδεὶς ἐπῇ, ἀπʼ αὐτοῦ δὲ τοῦ κατὰ γένεσιν Ἄρεως τὸ αὐτὸ πλῆθος τῶν ἐτῶν δοθὲν ἔλθῃ πρὸς Κρόνον, ἔσται ἐπικίνδυνον καὶ ἐπιτάραχον τὸ ἔτος, καὶ ὅσα ἐὰν ἡ παράδοσις καὶ οἱ τόποι σημαίνωσι. τὸ δʼ ὅμοιον καὶ ἀπὸ Ἡλίου καὶ ἀπὸ ὡροσκόπου διδόμενον τὸ ἔτος καὶ ἀπὸ τῶν κλήρων, ἑκάστου τὸ ἴδιον ἀποτελοῦντος κατὰ τὴν παράδοσιν ἢ παράληψιν. ἐὰν δέ πως ἐπὶ τοῦ ἔτους δύο ἐνεργήσωσιν, *** ἐξαιρέτως δὲ ἡ ἀπὸ τῶν κέντρων, εἶτα ἡ ἀπὸ τῶν ἀναφορῶν, ἑξῆς ἡ ἀπὸ τῶν ἀποκλιμάτων. καὶ οἱ μὲν ἀγαθοποιοὶ ἀπὸ τῶν κέντρων καὶ ὑψωμάτων ἢ χρηματιστικῶν τόπων παραδιδόντες ἢ παραλαμβάνοντες μεγάλων ἀγαθῶν καὶ δόξης αἴτιοι καθίστανται, ἀπὸ δὲ τῶν ἐπαναφορῶν μέσοι, ἀπὸ δὲ τῶν ἀποκλιμάτων ἀσθενέστεροι· διάμετροι δὲ ἥσσονες καὶ ἐπιτάραχοι. ὁμοίως δὲ καὶ οἱ κακοποιοὶ ἐπίκεντροι μὲν κάκιστοι, ἐπὶ δὲ τῶν ἐπαναφορῶν μέσοι καὶ ἐξ ὑστέρου τὰς αἰτίας ἐπάγοντες, ἐν δὲ τοῖς ἀποκλίμασιν ἥσσονες τῇ κακίᾳ γενήσονται· διάμετροι δὲ ἐναντιωμάτων καὶ κινδύνων εἰσὶ δηλωτικοί.

233 ὅταν δὲ οἱ κακοποιοὶ καθυπερτεροῦντες παρὰ τῶν καθυπερτερουμένων λαμβάνωσι τοὺς χρόνους, χείρονα τὰ κακὰ ἀπεργάζονται, κἂν ἀγαθοποιοὺς [δὲ] διαμετρῶσι καὶ παρʼ αὐτῶν λαμβάνωσι· τριγωνίζοντες δὲ συμφανέστερα τὰ ἀποτελέσματα ποιοῦσι καὶ ἠπιώτερα· ἐνεργέστεροι δὲ κριθήσονται οἱ παραλαμβάνοντες ἢ οἱ παραδιδόντες. Κάλλιον μὲν οὖν τὸ ἀγαθοποιὸν ἀγαθοποιῷ παραδιδόναι ἢ κακοποιὸν ἀγαθοποιῷ, χείριστον δὲ τὸν κακοποιὸν κακοποιῷ. ἐὰν δέ πως ἡ ἄφεσις εἰς κενὸν κατὰ τὸ παρὸν ἔλθῃ ζῴδιον, ἐξ ὑστέρου δὲ τῷ τόπῳ ἀστὴρ ἐπεμβῇ, ἔσται ἐκεῖνος παρειληφὼς τὸν χρόνον. εὐτονώτερος δὲ κριθήσεται πρὸς ἀποτέλεσμα ἤτοι ἀγαθοποιὸς ἢ κακοποιός, ἐὰν φάσιν ἐν τῷ αὐτῷ ζῳδίῳ ποιήσηται· ἐὰν δὲ παροδεύῃ, ἄτονος· ἐὰν δέ πως ἡ ἄφεσις εἰς κενὸν τόπον συνεκπέσῃ, ἡ ἐν τῷ αʹ ἔτει ἐπικρατεῖ, ἕως ἑτέρα συνδράμῃ. αἱ μὲν οὖν δύσεις καὶ οἱ ἀναποδισμοὶ τῶν ἀστέρων ἄτονοι γενήσονται, αἱ δὲ ἀνατολαὶ καὶ στηριγμοὶ εὔτονοι, συγκρινομένων τῶν ἀποτελεσμάτων πολυμερῶς. πρὸς τὴν ὑπόστασιν οὖν τῆς γενέσεως *** πλουσίοις μεσοβίοις ἀσχοληματικοῖς πένησιν ἐργαστηριακοῖς. βεβαιότερα δὲ τὰ ἀποτελέσματα κριθήσεται εἴς τε τὰ πρακτικὰ καὶ τοὺς κλιμακτηρικοὺς λόγους, ἐπὰν οἱ αὐτοὶ ἀστέρες τὸν αὐτὸν σχηματισμὸν ἐπέχωσιν, ὁποῖον καὶ ἐπὶ γενέσεως· τούτου γὰρ καὶ ὁ θειότατος Κριτόδημος μέμνηται. ὑποδείξομεν δὲ διʼ ὀργάνου καὶ διʼ ἀγωγῆς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἑξῆς τὸ σχῆμα. **** Ὁ προκείμενος κανών ἐστι συναποκαταστάσεως πρὸς τὰς διαστάσεις τῶν ἀστέρων καὶ συμπλοκάς. οἷον ὑποδείγματος χάριν Ἥλιος Ἄρης Ἑρμῆς ὡροσκόπος Τοξότῃ, Σελήνη Λέοντι, Κρόνος Παρθένῳ, Ζεὺς Σκορπίῳ, Ἀφροδίτη Αἰγόκερῳ. κεκλήρωται ἡ Σελήνη τὴν δυάδα, ἐπεὶ ἀφέστηκεν Κρόνου β′· ὁμοίως καὶ Ἥλιος καὶ Ἄρης Ἑρμῆς ὡροσκόπος ἐπὶ Ἀφροδίτην. τὴν δὲ τριάδα Κρόνος καὶ Ζεὺς καὶ Ἀφροδίτη, τετράδα δὲ καὶ πεντάδα Κρόνος καὶ Σελήνη ἑξάδα, ἡ δὲ ἑβδομὰς κοινὴ πάντων, ὀγδοάδα δὲ Ἀφροδίτη, ἐννεάδα δὲ καὶ δεκάδα ἥλιος Ἄρης Ἑρμῆς ὡροσκόπος, καὶ Ζεὺς δὲ τὴν δεκάδα καὶ ἑνδεκάδα, καὶ Ἀφροδίτη τὴν δωδεκάδα. ἄγει δὲ τὸ θέμα ἔτος λα′· εὑρίσκονται οἱ χρηματίζοντες ἀστέρες καὶ οἱ κλιμακτηρίζοντες οὕτως. ἀρχὴ δὲ ἐπὶ τῶν προκειμένων κλιμακτήρων ἐπὶ τοῦ τρίτου στίχου τῆς τριάδος· οἱ γὰρ προκείμενοι δύο, ἥ τε μονὰς καὶ ἡ δυάς, ἀχρημάτιστοι διὰ τὸ τὴν μονάδα χρηματίζειν μέχρι ιβ′, τὴν δὲ δυάδα μέχρι κδ′, τὴν δὲ τριάδα μέχρι καὶ λϛ′, καὶ ἑξῆς ὁμοίως.

234 θεωρεῖται δὲ οὕτως· ἐπεὶ τὸ λα′ ἔτος πίπτει εἰς τὴν ια′ τῆς τριάδος, κεκλήρωται δὲ Κρόνος καὶ Ζεὺς καὶ Ἀφροδίτη ἐπὶ γενέσεως τὴν τριάδα, ἐπιζητεῖ τοὺς ἐπὶ καιροῦ παροδεύοντας, μήποτε τὴν ια′ παραδῶσιν ἑτέρῳ ἢ καὶ ἀλλήλοις. οἷον ἐπὶ τῆς προκειμένης γενέσεως ἐπὶ τοῦ καιροῦ ἦσαν οἱ ἀστέρες Ἥλιος Ζεὺς Ἑρμῆς Διδύμοις, Κρόνος Παρθένῳ, Ἄρης Ἀφροδίτη Ταύρῳ, Σελήνη Ἰχθύσιν, οἱ δὲ κληρωσάμενοι ἀστέρες τὴν ια′ ἦσαν Ζεὺς καὶ Κρόνος καὶ Ἀφροδίτη. εὑρίσκομεν δὲ Σελήνην ἀποκαθισταμένην τῇ Ἀφροδίτῃ, Δία δὲ οὐδενί· εὐθέως μεταβαίνω ἐπὶ τὸν τέταρτον· εὑρίσκω τὰ λβ′ ἐν τῇ ὀγδοάδι· οὐδεὶς τῶν κυριευσάντων τῆς τετράδος κλιμακτηρίζει. μεταβαίνω ἐπὶ τὴν πεντάδα· χρηματίζει δὲ τῆς πεντάδος ἡ Σελήνη καὶ Κρόνος καὶ εὑρίσκονται οὗτοι ἀλλήλοις ἀποκαθιστανόμενοι. ἔρχομαι ἐπὶ τὴν ἑξάδα· οὐδεὶς διὰ τῶν ϛ′ διέστηκεν. μεταβαίνω ἐπὶ τὸν στίχον τῆς ἑβδομάδος· εὑρίσκεται δὲ τῆς πεντάδος ὁ χρόνος ἀγόμενος· κοινὴ δὲ πάντων ἀστέρων ὡς εἴρηται ἡ ἑβδομὰς εὑρέθη· Ἄρης καὶ Ἀφροδίτη Κρόνῳ. ἔρχομαι δὲ ἐπὶ τὸν τῆς ὀγδοάδος· Ἀφροδίτη διὰ δ′ οὐκ ἀποκαθίσταται οὐδενί. ἑξῆς ἐπὶ τὸν τῆς ἐννεάδος κλιμακτῆρα· κυριεύσουσι δὲ τῆς ἐννεάδος Ἥλιος Ἄρης Ἑρμῆς ὡροσκόπος Ἀφροδίτη· ἔστι δὲ ἐν τούτῳ τῷ στίχῳ τὰ λϛ′· ἐπὶ τῆς τετραετηρίδος εὑρέθησαν Ἥλιος Ζεὺς Ἑρμῆς ἀποκαθιστάμενοι Κρόνῳ. πάλιν μεταβαίνω ἐπὶ τὴν δεκάδα· κυριεύσουσι δὲ τῆς δεκάδος Ἥλιος Ἄρης Ἑρμῆς Ζεὺς ὡροσκόπος· ἐν δὲ τῷ στίχῳ τούτῳ δ′. διὸ καὶ εὑρίσκονται παραδιδόντες Ἡλίῳ Ἑρμῇ Διὶ Κρόνῳ. Ἀπαραβάτως οὖν ἐνεργεῖς καὶ χρηματιστικοὶ οἱ χρόνοι οὗτοι γίνονται τῶν διαστάσεων, ὅταν οἱ ἐπὶ γενέσεως κυριεύοντες αὐτῶν ἐν ταῖς ἐπικαίροις παρόδοις ἣν εἶχον ἐπὶ γενέσεως διάστασιν ἔχουσιν. 〈ιβ′.〉 Ἄλλως περὶ κλιμακτήρω ν , καθὼς Κριτόδημος ἀπὸ Σελήνης τὴν ἄφεσιν ποιεῖτα ι . Οἷον Ἥλιος Ὑδροχόῳ, Σελήνη Λέοντι, Κρόνος Καρκίνῳ, Ζεὺς Διδύμοις, Ἄρης Σκορπίῳ, Ἀφροδίτη Κριῷ, Ἑρμῆς Ἰχθύσι. τὰ μὲν οὖν ιβ′ ἔτη πρὸς τὴν τοῦ Ἄρεος ἀποδιάστασιν διὰ τῶν δ′· ἐστὶ δὲ ἁπλοῦς ὁ κλιμακτήρ· τετράκις γὰρ τὰ δ′ γίνεται ις′· οἱ γὰρ τετράγωνοι ἁπλοῖ, οἱ δὲ ἑτερομήκεις σύνθετοι.

235 ὁ δὲ ιη′ πρὸς Ἀφροδίτην σύνθετος ἐκ τοῦ [τὰ] δὶς θ′· τὰ μὲν οὖν δύο ἐν Παρθένῳ, ἐν Παρθένῳ δὲ οὐδείς· ἐν δὲ τῷ θ′ ἐστὶν Ἀφροδίτη. εἰ δὲ ἦν τις καὶ ἐν Παρθένῳ, συναπεκαθίστατο ἂν διὰ τὸ καὶ ἐν Αἰγόκερῳ ϊ. ἐπεὶ δὲ καὶ τρὶς ϛ′ ὁμοίως ιη′ καὶ καὶ ἑξάκις. ἀλλ᾽ οὔτε Ζυγῷ τῷ τρίτῳ ἔστι τις ἀστὴρ οὔτε ἐν Αἰγόκερῳ τῷ ἕκτῳ. πάλιν τὰ κ′ σύνθετος· τετράκις γὰρ ε′ γίνεται κ′ καὶ τὰ πεντάκις δ′ ὁμοίως. Ἄρης ὁ ἐν Σκορπίῳ χρηματίζει, ἐν τῷ ε′ Τοξότῃ οὐδείς. τὰ δὲ κα′ ἔχει τὸ τρὶς ζ′· Ζυγῷ οὐδείς, Ὑδροχόῳ Ἥλιος· πρὸς Ἥλιον οὖν. τὰ δὲ κδ′ ἔχει τετράκις ϛ′· ἐν Σκορπίῳ πάλιν Ἄρης, Αἰγόκερῳ δὲ οὐδείς. τὰ δὲ κε′ ἔχει τετράγωνον ἁπλοῦν ἀριθμόν· ἀλλ᾽ οὐδεὶς ἐν Τοξότῃ. τὰ δὲ κζ′ συνέστηκεν ἐκ τῆς τρὶς θ′· διὰ τριῶν ἐστιν οὐδείς, μόνη δὲ ἡ Ἀφροδίτη διὰ θ′. ὁ κη′ διὰ δ′ πρὸς Ἄρεα καὶ διὰ ζ′ πρὸς Ἥλιον. ὁ μ′ ἔχει μὲν δ′ καὶ ι′ καὶ ε′ καὶ η′, συμφωνεῖ δὲ πρὸς Ἄρεα διὰ τῶν δ′, πρὸς Ἑρμῆν διὰ τῶν η′. ὁ μδ′ πρὸς Ἄρεα καὶ Δία. συναποκατασταθήσονται δὲ καὶ πλείονες ἔσθ᾽ ὅτε· οἷον ἐπὶ τοῦ μ′ ὥσπερ ἐν τῷ δ′ ἐστὶν Ἄρης καὶ ἐν τῷ η′ Ἑρμῆς· εἰ ἦν τις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ ἐν τῷ ι′ καὶ ἐν τῷ ε′, συναπεκαθίστατο ἂν αὐτοῖς. Λέγει δὲ τὰ συμβαίνοντα μᾶλλον εὐτονώτερα καὶ ἐμφανέστερα γίνεσθαι, ἐὰν ἴδιος ᾖ ὁ τῶν ἐτῶν ἀριθμὸς τοῦ συμφωνοῦντος πρὸς τὴν ἀποδιάστασιν ἀστέρος, οἷον οὕτως· τὰ μὲν γ′ εἶναι Κρόνου, τὰ δὲ ε′ Ἀφροδίτης, τὰ δὲ ζ′ Ἄρεως, τὰ δὲ η′ Ἑρμοῦ, τὰ δὲ θ′ Διός, τὰ ιγ′ Σελήνης, τὰ ιη′ Ἡλίου. ἐὰν οὖν ἅμα συνεμπίπτῃ οὗτός τε ὁ ἀριθμὸς καὶ ἡ διάστασις εἰς τὸν αὐτὸν ἀστέρα, γίνεται χρηματίζων ἐν χρηματιστικῷ· ἐὰν δὲ ὁ ἐνιαυτὸς μὴ συνεμπίπτῃ εἴς τινα τοῦ διαστήματος ἐπ' αὐτὸν φέροντος, ἀχρημάτιστος ἐν ἀχρηματίστῳ. καὶ ἐὰν μέν τις διάστασις χρηματίζουσα ἐν [δὲ] τοῖς μεταξὺ ἔτεσι μὴ εὑρεθῇ, τῇ πρώτῃ χρηστέον, ἕως ἑτέρα εὑρεθῇ. Οἷον ἐπὶ τοῦ προκειμένου θέματος ὁ κη′ πρὸς Ἄρεα Ἥλιον· ὁ κθ′ οὐκ ἔχει διάστασιν· ὁ λ′ ἔχει μὲν γ′ καὶ ε′ καὶ ς′ καὶ ι′ καὶ α′ καὶ ταῦτα τὰ ζῴδια· ὁ δὲ λα′ πάλιν οὐχ ἁρμόζει τινὶ διαστήματι. ταῦτα τὰ ἔτη ἐπικρατήσει ὅ τε Ἄρης καὶ Ἥλιος οἱ ἐν τῷ κη′ ἔτει χρηματίσαντες ἕως λβ′, ὧν συναποκαθιστῶσι Ἄρης διὰ δ′ καὶ Ἑρμῆς διὰ η′.

236 Ὑποτάξομεν δὲ καὶ τὰς διαφορὰς τῶν κλιμακτήρων κατὰ τὴν τῶν ἀστέρων χρονογραφίαν καὶ τὴν πρὸς ἀλλήλους ἀποκατάστασιν. πρώτῳ ἀσθενήσει καὶ ἐπίφοβος ἔσται· δευτέρῳ κινδυνεύσει δι' ὑγρῶν σπασμόν· γ′ Κρόνου κλιμακτὴρ ἐπισφαλής· ε′ Φωσφόρου, ἀσθενήσει. ς′ Κρόνου δεύτερος· ζ′ Ἄρεως πρῶτος ἐπικίνδυνος, πυρετοῖς αἵμασι τραύμασι πτώμασιν ἑλκώσεσι περιτρέπων ἢ σιδήρου τομαῖς. η′ Ἑρμοῦ πρῶτος ἀσύνθετος. θ′ Διὸς πρῶτος, Κρόνου τρίτος ἐπικίνδυνος· ἀσθενήσει ἢ ῥιγοπυρέτοις ὀχληθήσεται καὶ τῶν ἐντὸς ἢ κοιλίας πόνοις. ι′ Ἀφροδίτης δεύτερος· ἀσθενήσει ἐκ πληθώρας. ιβ′ κλιμακτὴρ Κρόνου τέταρτος· ἀπροσδοκήτως ἢ δι' ὑγρῶν. ιγ′ Σελήνης πρῶτος· πυρετὸς δύσκολος ἐπιγενήσεται ἢ κατάπτωσις καὶ τῶν ἐντὸς ἢ θώρακος πόνοι. ιδ′ Ἄρεως δεύτερος· ἐπικίνδυνος δύσκολος. ιε′ Κρόνου πέμπτος, Ἀφροδίτης τρίτος, ἀνετικός. ις′ Ἑρμοῦ δεύτερος κλιμακτήρ, σύνθετος διὰ χολερᾶς ἢ ἀρτηρίας καὶ δυσαναληψίας. ιη′ Διὸς δεύτερος, Κρόνου τρίτος, Ἡλίου πρῶτος, χαλεπὸς λίαν. κ′ Ἀφροδίτης τέταρτος, ἀκίνδυνος κατὰ τὸ πλεῖστον· νόσοι δὲ ἐκ πληθώρας ἢ κόπου παρακολουθοῦσιν. κα′ Ἄρεως τρίτος, Κρόνου ἕβδομος· δύσκολος καὶ ἐπικίνδυνος. κδ′ Κρόνου ὄγδοος Ἑρμοῦ τρίτος, δύσκολος διὰ μελαγχολίας καὶ ὑγρῶν. κε′ Ἀφροδίτης πέμπτος, σύνθετος. κζ′ Διὸς τρίτος, Κρόνου ἔνατος, μέσος. κη′ Ἄρεως τέταρτος κλιμακτήρ, ἐπισφαλής. λ′ Κρόνου δέκατος, Ἀφροδίτης ἕκτος, ἀκίνδυνος κατὰ τὸ πλεῖστον. λβ′ Ἑρμοῦ τέταρτος, σκυλτικός. λγ′ Κρόνου ἑνδέκατος, δύσκολος. λε′ Ἄρεως πέμπτος Ἀφροδίτης ἕβδομος, ἐπικίνδυνος καὶ εὐεπιβούλευτος. λς′ Διὸς τέταρτος, Κρόνου δωδέκατος, χαλεπὸς καὶ ἐπικίνδυνος. μ′ Ἀφροδίτης ὄγδοος, Ἑρμοῦ πέμπτος, οὐ χαλεπός. μβ′ Ἄρεως ἕκτος, Κρόνου ιδ′, χαλεπὸς καὶ ἐπικίνδυνος. με′ Διὸς πέμπτος Ἀφροδίτης ἔνατος, Κρόνου ιε′· οὗτος ὁ κλιμακτὴρ καλεῖται Στίλβων καὶ προσέχειν δεῖ, μή πως περὶ τοὺς πόδας γένηται πάθος κατὰ τοῦτον τὸν χρόνον τοῦ Ἑρμοῦ χρηματίζοντος ἐν τῇ γενέσει· κινδύνους γὰρ ἐπιφέρει ἄρθρων καὶ ἀσθενείας καὶ βιωτικὰ συμπτώματα καὶ ἀηδίας. μη′ Ἑρμοῦ ἕκτος, Κρόνου ις′, χαλεπὸς λίαν καὶ ἐπικίνδυνος. μθ′ Ἄρεως ἕβδομος, ἐπικίνδυνος, ἢ αἰφνίδιος διὰ πυρετῶν ἢ αἱμαγμῶν καὶ βιαίας αἰτίας.

237 ν′ Ἀφροδίτης δέκατος, ἐπικίνδυνος. να′ Κρόνου ιζ′, νόσους βλάβας ἀτυχίας ἐπιφέρει. νβ′ Σελήνης τέταρτος, οὐ καλός. νδ′ Κρόνου ιη′, Διὸς ἕκτος, Ἡλίου τρίτος, χαλεπὸς καὶ κινδυνώδης. νε′ Ἀφροδίτης ἑνδέκατος, οὐ κακός. νς′ Ἄρεως ὄγδοος, Ἑρμοῦ ἕβδομος, λυπηρὸς σκληρός. νζ′ Κρόνου ιθ′, χαλεπώτατος. ξ′ Κρόνου κ′, Ἀφροδίτης δωδέκατος, ἐπισφαλής. ξγ′ Κρόνου κα′, Διὸς ἕβδομος, Ἄρεως ἔνατος, ἀνδροκτάστης, χαλεπὸς καὶ θανατηφόρος. οβ′ Κρόνου κδ′, Διὸς ὄγδοος, Ἑρμοῦ ἔνατος, χαλεπὸς καὶ θανατηφόρος. οε′ Κρόνου κε′, Ἀφροδίτης ιε′, ἐπικίνδυνος. οζ′ Ἄρεως ἑνδέκατος, δύσκολος καὶ θανατηφόρος. οη′ Κρόνου κς′, Σελήνης ἕκτος, χαλεπός. π′ Ἀφροδίτης ις′, Ἑρμοῦ δέκατος, συγκρατικός. πα′ Κρόνου κζ′, Διὸς ἔνατος, ἐπικίνδυνος. πδ′ Κρόνου κη′, Ἄρεως δωδέκατος, δύσκολος καὶ κακοποιός. πε′ Ἀφροδίτης ιζ′, κοινός. πζ′ Κρόνου κθ′, ἐπικίνδυνος. ϟ′ Κρόνου λ′ Ἀφροδίτης ιη′ Διὸς δέκατος, χαλεπός. ϟε′

Ἀφροδίτης ιθ′, οὐ καλός. ϟϛ′ Κρόνου λβ′, δύσκολος. ϟη′ Ἄρεως ιδ′, χαλεπός. ϟθ′ Κρόνου λγ′, μέσος. ρ′ Ἀφροδίτης κ′, οὐ κακός. ρβ′ Κρόνου λδ′, χαλεπός. ρε′ Κρόνου λε′, Ἀφροδίτης κα′ Ἄρεως ιε′, δύσκολος. ρη′ Κρόνου λς′, θανατηφόρος. ρι′ Ἀφροδίτης κβ′, οὐ κακός. ρια′ Κρόνου λζ′, ἐπισφαλής. ριβ′ Ἄρεως ις′ Ἑρμοῦ ιδ′, δύσκολος καὶ δεινός. ριδ′ Κρόνου λη′, ἐπικίνδυνος. ριε′ Ἀφροδίτης κγ′, κοινός. ριζ′ Κρόνου λθ′, Σελήνης ἔνατος, Διὸς ιγ′, ἐπικίνδυνος. ριθ′ Ἄρεως ιζ′, ἐπισφαλής. ρκ′ Κρόνου μ′ Ἀφροδίτης κδ′, θανατηφόρος. Ἔστω ὑποδείγματος 〈χάριν〉 Ἥλιος Ζεὺς Ἄρης Καρκίνῳ, Σελήνη Ζυγῷ, Κρόνος Τοξότῃ, Ἀφροδίτη Ἑρμῆς Λέοντι, ὡροσκόπος Διδύμοις. ἐτελεύτα τῷ νδ′ ἔτει· ἦν γὰρ κύκλος Κρόνου μὲν ιη′, Διὸς δὲ ἕκτος, Ἡλίου δὲ τρίτος· τούτων συναποκατάστασις. εὑρέθη δὲ καὶ ἐν τῷ θανατηφόρῳ μηνὶ Ἥλιος καὶ Ζεύς, τουτέστι Τοξότῃ· ἄλλως τε τὸν νδ′ ἐνιαυτὸν ἀπὸ θανατικοῦ τόπου παρεδίδοσαν Ἥλιος καὶ Ζεὺς καὶ Ἄρης Κρόνῳ τῷ ἐν Τοξότῃ· χαλεπὴ οὖν ἡ παράδοσις. ἐπὶ πάσης οὖν γενέσεως ἔδοξε μὴ μόνον ἀπὸ τῆς Σελήνης τὴν ἄφεσιν τῶν κλιμακτήρων ποιεῖσθαι, ἀλλὰ καὶ ἀπὸ πάντων τῶν ἀστέρων, ἐξ ὧν οἵ τε θανατηφόροι χρόνοι καὶ βιωτικοὶ σκυλμοὶ συννοηθήσονται· κἂν μὲν οἱ βιώσιμοι χρόνοι κατὰ τὰς προκειμένας αἱρέσεις συντρέχωσιν, ἀπαραβάτως ὁ κλιμακτὴρ ἐπακολουθήσει· ἐὰν δὲ ἡ μὲν ὑπόστασις διάστασιν ἔχῃ, συνεμπέσῃ δὲ κλιμακτηρικὸς χρόνος, περὶ τὰς πράξεις καὶ βιωτικὰς ἀφορμὰς συντελεσθήσεται, οἷον ἀδοξίαι, καθαιρέσεις, βίαι, καταδίκαι, ναυάγια, κρίσεις, συνοχαί, φυγαδεῖαι, φόβοι, ἀπώλειαι, ζημίαι, αἰφνίδιοι κίνδυνοι, ἐπήρειαι, συλήσεις καὶ τὰ ἄλλα, ὅσα τῷ τῶν ἀνθρώπων βίῳ αἴτια καθίστανται, σίνη τε καὶ πάθη καὶ ἀκρωτηριασμοί, καύσεις, τομαί, ἀσθένειαι, ἐπισφαλεῖς ἐπιβουλαί.

238 κἂν μὲν συναποκαθιστάμενοι οἱ ἀστέρες οἱ κλιμακτηρίζοντες εὑρεθῶσιν ἐπὶ τῆς γενέσεως ἐναντιούμενοι ἢ καὶ ἀπὸ κακοποιῶν κατοπτευόμενοι καὶ παρ’ αἵρεσιν πεπτωκότες, ἐπισφαλῆ καὶ ἐπιτάραχον τὸν χρόνον προδείξουσιν· ἐὰν δὲ οἰκεῖον σχῆμα ἔχωσι, τὰς τῶν αἰτίων ἐπιφορὰς ἀμαυρώσουσι καὶ ἠπιώτερον τὸν κλιμακτῆρα κατασκευάσουσιν. εὔτονοι μὲν οὖν καὶ ἀπὸ τῶν ἰσαναφόρων ζῳδίων αἱ παραδόσεις ἢ παραλήψεις κριθήσονται, οἷον ἀπὸ Κριοῦ εἰς Ἰχθύας καὶ ἀπὸ Ταύρου εἰς Ὑδροχόον καὶ ἀπὸ Διδύμων εἰς Αἰγόκερω καὶ ἀπὸ Καρκίνου εἰς Τοξότην καὶ ἀπὸ Λέοντος εἰς Σκορπίον καὶ ἀπὸ Παρθένου εἰς Ζυγόν· ὁμοίως καὶ τὸ ἐναλλάξ. Καὶ ταῦτα μὲν ἡμεῖς νήφοντι λογισμῷ καὶ πολυμερίμνοις ἀνίαις δοκιμάσαντες μετὰ πολλοῦ πόνου προεθέμεθα τοῖς γε νοῦν ἔχουσι, καὶ ὥσπερ οἱ παλαιοὶ καὶ περὶ ταῦτα ἠσχολημένοι ἔπραττον δυνάμενοι ἐξομοιοῦσθαι καὶ συμπάσχειν. ἀλλὰ νῦν ῥᾳδίως μὲν τούτων 〈τις τῶν〉 τὴν ἐπιστήμην νοθευόντων λόγοις κεκαλλωπισμένοις καὶ ποικίλαις μεθόδων ἀγωγαῖς πείσειεν 〈ἂν〉 οὐ μόνον τοὺς τῆς θεωρίας ἀμυήτους, ἀλλὰ καὶ τοὺς ποσῶς αὐχοῦντας ἢ ἐν μεγάλῃ δόξῃ καθεστῶτας διὰ τὸ ἀκατάληπτον τῆς περὶ αὐτῶν γοητείας τε καὶ τόλμης. τὰ γὰρ ἀποπτώματα μὴ κρίνων ἐναντιώματα εὐημερεῖ διὰ τοῦ θάρσους μὴ ἔχων ἐρύθημα ἔλεγχον ἀμαθίας, ἀλλ’ ὥσπερ τραγικὸν ἢ κωμικὸν πρόσωπον περικείμενος σκηνοβατεῖ, πλάνης μᾶλλον ἢ ἀληθείας τρόπον κεκτημένος. ὁ δὲ ἀπὸ δογμάτων καὶ ἀπὸ θεωρημάτων φερόμενος πολυχρονίαν μάθησιν μὴ βουλόμενος καταρρῖψαι ἐπερειδόμενος τῇ ἐμπειρίᾳ ἅτε δὴ βακτηρίᾳ βραδέως μὲν καὶ δεδιότως φθέγγεται καὶ τῇ διανοίᾳ συννεκροῦται λογιζόμενος τὸ μὲν ἀπόπτωμα φυγῆς 〈καὶ〉 θανάτου ἄξιον, τὸ δὲ ἐπίτευγμα κέαρ πεπονημένον ἀρετῆ ς.

239 τοῦτο δὲ περὶ τοὺς ἀμαθεῖς ἢ μετὰ ἀκριβείας μὴ φέροντας τὸν χρόνον ἢ τὴν ὥραν γίνεται· ὅθεν ἐχρῆν τοὺς μάλιστα μετὰ ἀσφαλείας βουλομένους ἀκούειν περὶ τῶν ὄντων καὶ ἐσομένων κρίναντας τοὺς ἄνδρας οἵτινες εἶεν μετὰ σπουδῆς συναγωνίζεσθαι καὶ ἐξομολογεῖσθαί τινα τῶν πραγμάτων, ὅπως καταλαμβανόμενος ὁ προγνωστικὸς τὰς κεντροθεσίας ἀκριβεῖς ἢ καί τινας δυναστικοὺς τόπους ἐξ ἀριθμῶν καὶ ἀγωγῆς περὶ τῶν ὄντων ἀποφαίνηται. πολλάκις γάρ, καθὼς προεῖπον, οὐ μόνον αὐτοὶ ἀλλὰ καὶ οἱ τούτων γεννήτορες τὰς ὥρας διαψευδόμενοι ἀδικοῦσι τὴν ἐπιστήμην· ὁμοίως γὰρ καὶ αὐτὸς ἐκ τῶν ἐμῶν φυτοσπόρων κατελαβόμην. ἀλλὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ταῦτα μὲν οὖν οὐ πράσσουσι, βουλόμενοι ἐν στιγμῇ περὶ τῶν καταθυμίων καὶ μὴ συγκεκραμένων ἀκούειν καὶ ἀδυνάτων πραγμάτων ἐπιτυγχάνειν διά τινος μυστικῆς κακουργίας, ἀκούοντες μὲν παρὰ τῶν ἀμαθῶν καὶ πράσσοντες μετὰ προθυμίας, ἃ μὴ θέμις, ἡδόμενοι παραυτίκα ἐπαίνῳ καὶ τιμαῖς ἀμείβονται τοὺς πολεμίους, κακολογοῦσι δὲ τοὺς σεμνοὺς καὶ ἐμπείρους ὡς μὴ δυναμένους μήτε οὕτως ῥᾳδίως ἀποφαίνεσθαι μήτε πράσσειν λεπτομερῶς, οὐκ εἰδότες ὅτι μετὰ πολλοῦ πόνου καὶ ζητήματος τὰ πράγματα ἑκάστης γενέσεως καταλαμβάνεται. ἐξ ὑστέρου δὲ σφαλέντες τῶν προσδοκωμένων καὶ μετανοοῦντες ἐπισφαλῶς καὶ ἀνιαρῶς οὐ μόνον ψόγον κατὰ τῶν ψευσαμένων ἐπεισφέρουριν, ἀλλὰ καὶ τὸ μάθημα ἀνύπαρκτον φημίζουσι καὶ τοὺς μεταχειριζομένους ἐχθροὺς ἡγοῦνται. συμβαίνει δὲ δι’ ὀλίγους καὶ ἀναξίους τῆς ἐπιστήμης πολλοὺς ἀτιμάζεσθαι. Οὐεττίου Οὐάλεντος ἀνθολογιῶν βιβλίον ε′ τετέλεσται Liber VI.

240 (2t) Οὐεττίου Οὐάλεντος Ἀντιοχέως ἀνθολογιῶν βιβλίον ϛ′. Προοίμιο ν . Πᾶσα μὲν οὖν ἐπιστήμη καὶ τέχνη ἀρεστὴ κατὰ 〈τὴν〉 τοῦ ἐπάγοντος πρᾶξίν τε καὶ σύνεσιν ἢ καὶ σώματος ἕξιν οἰκείαν ἢ ἀνάρμοστον πρὸς τὴν ἕξιν. ὅθεν καὶ πολλοὶ μέμφονταί τε καὶ χλευάζουσι τοὺς πλησίον, ἐπεὶ μὴ τῆς αὐτῆς κεκοινωνήκασι πράξεως, ὅπερ ἐστὶν ἀδύνατον καὶ ἀσύμφορον πάντας τὰ αὐτὰ εἰδέναι, ἴδιον δὲ ἑκάστου ἀγαθὸν ἡγούμενοι κέκτηται συμβαίνει τε καὶ φρονεῖν δοκεῖ βέλτιστα. πολλάκις γὰρ εὑρίσκεταί τις ὢν δημιουργὸς καὶ μεθοδικὸς πρὸς τὰς ἐπιβολὰς τῶν πράξεων καὶ ἐπιτευκτικός, κἂν ἄπειρος γραμμάτων ἐπιτυγχάνῃ· ὁ δὲ πάνυ πεπαιδευμένος ῥᾳδίως ἁλίσκεται ὡς ἄπειρος τῶν παθῶν ὑπ’ ἀφελότητος καὶ ἀδιοικησίας προδεδομένος· καὶ οὗτος ὀδυνώμενος ματαίαν ἡγεῖται τὴν τῆς παιδείας ἐπιβολὴν καὶ εὐδαίμονα προκρίνει τὸν ἀμαθῆ. Ταῦτα δὲ εἱμαρμένης καὶ τύχης ἐστὶν ἔργα, αἵτινες ἀφάτως ἠρέμα συνερχόμεναι τοῖς ἀνθρώποις οὓς μὲν μακαρίους οὓς δὲ κακοδαίμονας ἀπεργάζονται ἀλογίστως καὶ ἀπρεπῶς. καὶ οὕτως διὰ πλάνης καὶ κακουργίας ὁ βίος ὁδεύων ἃ μὲν αὔξει καὶ δοξάζει καὶ εἰς εὐημερίαν καὶ προφάνειαν ἄγει, ὡς καὶ πολλοὺς ἐραστὰς τῶν τοιούτων γίνεσθαι, ἃ δὲ λυπεῖ καὶ φθείρει καὶ μαραίνει καὶ εἰς λήθην καὶ κίνδυνον καὶ μῖσος μεταφέρει· τινὰς δὲ εἰς τὰς ἐχθίστας αὐτοῖς τέχνας καὶ ἐπιστήμας μετατρέψας ἀμετανόητον γνώμην καὶ πρᾶξιν καὶ τύχην ἐνηρμόσατο.

241 ταῦτα δὲ πάντα τελίσκεται καὶ γίνεται μεθ’ ἡδονῆς καὶ ἁρμονίας καὶ λύπης κατὰ τὰς τῶν καιρῶν μεταβολὰς καὶ τὰς τῶν χρόνων ἀνακυκλήσεις. Προέγραψα μὲν οὖν ταῦτα καὶ αὐτὸς σεμνυνόμενος ἐπὶ τῇ περιχυθείσῃ μοι ὑπὸ τοῦ δαίμονος οὐρανίᾳ θεωρίᾳ, ἥτις νῦν ἀτιμάζεται καὶ ἀπελαύνεται, καὶ προγενεστέρα ὑπάρχουσα καὶ τὰ πάντα διέπουσα ἐν τῷ βίῳ, ἧς ἄνευθεν οὐδὲν οὔτ’ ἔστιν οὔτ’ ἔσται, ποτὲ δὲ ἐπίφθονον δοκεῖ καὶ τοὔνομα κεκτῆσθαι, ὅτε οἱ πρὸ ἡμῶν ἐπὶ τούτῳ ηὔχουν καὶ ἐμακαρίζοντο. ἄχθομαι οὖν καὶ ζηλωτὴς τυγχάνω τῶν παλαιῶν βασιλέων τε καὶ τυράννων [καὶ] τῶν περὶ τὰ τοιαῦτα ἐσπουδακότων, ἐπεὶ μὴ τοῖς αὐτοῖς ηὐτύχησα βιῶναι χρόνοις εὐπαρρησίαστον καὶ ἄφθονον τὸν αἰθέρα καὶ τὴν ἀναζήτησιν κεκτημένοις. εἰς τοσοῦτον γὰρ ἐπιθυμίας καὶ ἀρετῆς ἔσπευσαν, ὡς τὰ ἐπὶ γῆς καταλιπόντας οὐρανοβατεῖν ἀθανάτοις ψυχαῖς καὶ θείαις καὶ ἱεραῖς γνώμαις συνεπιστήσοντας, καθὼς καὶ ὁ Νεχεψὼ ἐμαρτύρησε λέγων· ἔδοξε δέ μοι πάννυχον πρὸς ἀέρα *** καὶ μοί τις ἐξήχησεν οὐρανοῦ βο ή , τῇ σάρκας μὲν ἀμφέκειτο πέπλος κυανόχρους κνέφας προτείνων καὶ τὰ ἑξῆς. τίς γὰρ οὐκ ἂν κρίναι ταύτην τὴν θεωρίαν πασῶν προὔχειν καὶ μακαριωτάτην τυγχάνειν, ἐν ᾗ Ἡλίου μὲν τακτοὶ δρόμοι κατὰ πρόσθεσιν καὶ ἀφαίρεσιν ἀριθμῶν τροπαῖς ἐπεμβαίνοντες καιρῶν μεταβολὰς προσημαίνουσιν, ἀνατολὰς καὶ δύσεις, ἡμέρας καὶ νύκτας, ὡρῶν [καιρῶν] κρύος καὶ θάλπος, ἀέρων εὐκρασίας, ἔτι δὲ συνιδεῖν ἔστι καὶ Μήνης ἀνωμάλους δρόμους, προσνεύσεις τε καὶ ἀναχωρήσεις, αὐξήσεις τε καὶ μειώσεις, ὕψος τε καὶ βάθος, ἀνέμων φοράς, συναφὰς καὶ ἀπορροίας, ἐκλείψεις τε καὶ σκιασμοὺς καὶ τὰ λοιπὰ πάντα; ἐκ τούτων δοκεῖ συνεστάναι τά τε ἐπὶ γῆς καὶ θαλάσσης καὶ οὐρανοῦ καὶ ἀρχὴ καὶ [τὸ] τέλος τῶν γεννωμένων.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῶν δὲ λοιπῶν ἀστέρων πέντε αἱ πορεῖαι καὶ ἄστατοι δρόμοι καὶ ποικίλαι φάσεις, ἀλλὰ καίπερ ἀνώμαλοι καὶ πλανῆται ὀνομαζόμενοι ἐστηριγμένην τὴν φύσιν κέκτηνται καὶ διὰ τακτῶν ἀνακυκλήσεων καὶ περιόδων εἰς τοὺς αὐτοὺς ἀποκαθίστανται τόπους. Τὰ νῦν δὲ ἡ ἐξίχνευσις καὶ κατόρθωσις τῶν πραγμάτων ὑπὸ τοῦ φόβου ἀμαυροῦνται καὶ προμαραίνονται, ἡ δὲ διάνοια ἀρνουμένη καὶ ἀστήρικτος λογισμοῦ ὑπάρχουσα ἐν τοῖς αὐτοῖς οὐκ ἐπιμένει, 〈ἀλλ’〉 ἄλλοτε ἀλλαχοῦ πηδῶσα τὴν πρώτην λήθην ἀναλαμβάνει.

242 εὐπροαίρετος δέ τις ὢν καὶ φιλόκαλος ῥᾳδίως ὄκνον ἀναλαμβάνει καὶ ἀμαθίαν αἱρεῖται μᾶλλον ἢ ἐπικίνδυνον ἀρετήν· ἀλλ’ ὅμως ἐπὶ πάντων ἡ ἐπιθυμία κρατεῖ καὶ κολαζομένη καὶ λυπουμένη ἐπιμένει ἐπὶ τοῖς αὐτοῖς. ἐμὲ δὲ οὔθ’ ἵππων δρόμοι ποικίλοι καὶ ταχεῖα μάστιγος ῥοπὴ ἀνεπτέρωσεν οὔτε ῥυθμοὶ ὀρχηστῶν καὶ αὐλῶν καὶ Μούσης καὶ κεκλασμένης ἀοιδῆς θέλξις ματαία ἔτερψεν οὔθ’ ὅσα ποτὲ διὰ μεθόδων ἢ χλεύης ἐπάγεται τοὺς ἀκούοντας, ἀλλ’ οὐδὲ μὴν ἐπιβλαβέσι καὶ ἐπωφελέσιν πράξεσιν ἡδονῇ καὶ λύπῃ μεμερισμέναις ἐκοινώνησα οὔτε μυσαράς τε καὶ ἐπαχθεῖς ** ἔσχον, ἀλλὰ θείᾳ καὶ σεβασμίᾳ θεωρίᾳ τῶν οὐρανίων ἐντυχὼν ἠβουλήθην καὶ τὸν τρόπον μου ἐκκαθᾶραι πάσης κακίας καὶ παντὸς μολυσμοῦ καὶ τὴν ψυχὴν ἀθάνατον προλεῖψαι. ἔνθεν καὶ τὰ θεῖά μοι προσομιλεῖν ἐδόκει καὶ τὸ διανοητικόν μου πρὸς τὴν ἀναζήτησιν νηπτικὸν ἐκεκτήμην. ἐπεὶ οὖν πολλά τε καὶ θαυμαστὰ συνέταξα δυνάμενα παρὰ τοὺς ἀρχαίους πείσειν τοὺς ἐντυγχάνοντας, ἀναπολήσας ὅτι οἱ ἀρχαῖοι πολλὰς ἀγωγὰς προέθεντο δυσλύτους καὶ αἰνιγματώδεις, ἀναγκαίως ἔσχον ἐν ταύτῃ τῇ συντάξει μυστικὰς καὶ ἀπορρήτους ἀγωγὰς προτάξαι περί τε χρόνων ἐμπράκτων καὶ περὶ ἐσομένων. οὕτως γὰρ εὐκατάληπτος φανεῖσα ἡ ἐπιστήμη καὶ ὑπὸ τῆς ἀληθείας στηριζομένη τὸ μὲν μῖσος ἀποδιώξει, μετάνοιαν δὲ πολλὴν ἐνδειξαμένη ἱερὰ καὶ σεβάσμιος προδειχθήσεται. εἰ δὲ δοκεῖ πολλάκις περὶ τῶν αὐτῶν λέγεσθαι, ἀδιάφορον· ἃ μὲν γὰρ ἐντυγχάνων τοῖς προγενομένοις συνέτασσον διὰ τὸ τῆς ἐπιθυμίας καὶ εὑρέσεως αἰφνίδιον (ἐνθουσιᾷ γὰρ ὁ συγγράφων, μάλιστα δὲ περὶ τούτων, καὶ θεῷ προσομιλεῖν δοκεῖ), ἃ δὲ καὶ ἐπίτηδες, 〈ὥστε〉 εἴ τις φθόνος προσδραμὼν λυμήνηται τὰς συντάξεις ἡμῶν, εὑρεθῆναι καὶ ἐν ἑτέροις συγγεγραμμένα. 〈α′.

243 〉 Περὶ ἐμπράκτων καὶ ἀπράκτων χρόνων κατὰ τὴν τῶν χρόνων μοιρικὴν διάστασιν καὶ συναφή ν . [Καὶ] ἡ μὲν τῶν χρόνων διαίρεσις κατὰ ζῳδιακὴν καὶ πλατικὴν ἀποτελεσματογραφίαν ἐν τοῖς ἔμπροσθεν ἡμῖν δεδήλωται· νυνὶ δὲ περὶ μοιρικῆς διαστάσεως καὶ συναφῆς λεκτέον, ἣν καὶ πρότερον ᾐνιξάμην· ἡ δὲ πεῖρά με προηγάγετο ἐπιδιασαφῆσαι. ἐπὶ πάσης γενέσεως ἀκριβῶς ἀστερίσαντας τὸν χρόνον μοιρικῶς ἐκ τῆς τῶν αἰωνίων κανόνων πραγματείας χρὴ λαμβάνειν ἀπὸ ἑνὸς ἑκάστου ἀστέρος μοίρας ἐφ’ ὃν βούλεταί τις, ἤτοι σύνεγγυς ὄντα καὶ πόρρωθεν, κατὰ τὸν ἐπιδεχόμενον χρόνον καὶ τὴν ἀκολουθίαν τῶν ζῳδίων μέχρις ἄλλου ἀστέρος μοιρικῆς συναντήσεως· καὶ συλλογισάμενον τὸ πλῆθος τῶν μοιρῶν κατατάσσειν εἰς τὰς ἑκάστου ἀστέρος περιοδικὰς ὥρας καὶ ἡμέρας μῆνας ἐνιαυτούς, καὶ κατὰ τὸν συντελειωθέντα χρόνον προλέγειν τὰ τῶν ἀστέρων ἀποτελέσματα ἔκ τε τῆς ἰδίας φυσικῆς ἐνεργείας καὶ ἐκ τῆς τῶν παραδόσεων πρὸς ἕκαστον ἀποτελεσματογραφίας. ἐὰν δέ πως ὁ συναχθεὶς ἀριθμὸς ἥττων ᾖ τοῦ χρόνου, σκοπήσαντας τὸ λεῖπον πόσον ἐστὶ προλέγειν μετὰ τοσοῦτον χρόνον γίνεσθαι τὸ ἀποτέλεσμα· ἐὰν δὲ πλεονάζῃ, ἀφελόντας τὸν συνέχοντα πάλιν τὰς λοιπὰς ἀπὸ τῆς ἀφετικῆς μοίρας ἀπολύειν καὶ σκοπεῖν, μή τινες τῶν ἀστέρων ἀκτῖνες προσνεύσωσι τῇ μοίρᾳ ἤτοι κατὰ γένεσιν ἢ κατ’ ἐπέμβασιν· οὕτως γὰρ εἴωθεν ἐξαίρετα καὶ μεγάλα γίνεσθαι ἀποτελέσματα. Πολλάκις γὰρ τῆς πλατικῆς διαιρέσεως μηδὲ φαινούσης τι καὶ ἄλλο μετὰ τὸν συνέχοντα τὸν περιλειπόμενον χρόνον εἰς ἥττονα μηνῶν καὶ ἡμερῶν ἀριθμὸν κατάξαντας καὶ συνέχοντας ἁρμοσαμένους κατὰ ἀνακύκλησιν ἀπολύειν μέχρι τοῦ ζητουμένου χρόνου· ἄλλως τε καὶ ποικίλαι ἀφέσεις καὶ κολλήσεις γινόμεναι τῶν τε ἀγαθοποιῶν καὶ κακοποιῶν ποικίλα καὶ ἀλλεπάλληλα καὶ εὐμετάθετα τὰ ἀποτελέσματα προφαίνουσι. καὶ γὰρ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔστι συνιδεῖν πολλούς, οἳ ἐνὶ χρόνῳ πολλῶν ἐπειράθησαν πραγμάτων, ἀθρόως συνεκπεσουσῶν τῶν ἀφέσεων ἢ χρηματισασῶν κατὰ τὴν τῶν ζητουμένων χρόνων ἁρμονίαν· ἔνιοι δ' οὐδ' ὅλως μεταβολὴν ἔσχον ἀγαθοῦ τε καὶ κακοῦ, ἀλλὰ τοῖς αὐτοῖς ἐπέμειναν· τινὲς δὲ δοξασθέντες ἢ καὶ εἰς ἀνυπέρβλητον τύχην χωρήσαντες κατὰ τὴν ἐξ ἀρχῆς καταβολὴν καὶ ὑπὸ πολλῶν μακαρισθέντες θανάτῳ ἢ κινδύνῳ περιέπεσον· ἕτεροι ἐν χαλεπῇ καιροῦ περιστάσει γενόμενοι ἢ καὶ ἀστοχήσαντες τῷ βίῳ καὶ μηδεμίαν ἀγαθὴν ἐλπίδα προσδοκήσαντες ἀλλὰ ματαίως ὀδυνηθέντες εἰς τὰς αὐτὰς πάλιν ἐπαλινδρόμησαν τύχας ἢ καὶ μείζονα τὴν φαντασίαν ἐκτήσαντο.

244 ἔσθ' ὅτε γάρ τις ἐκλείψει παράδοσις ἐμπεσοῦσα καὶ μεγάλην ἀπειλὴν ἐνδειξαμένη ἠμαυρώθη ὑπὸ τοῦ κατὰ ἁρμονίαν χρόνου ἑτέρας ἀγαθοποιοῦ παραδόσεως. ὁμοίως δὲ καὶ ἡ τῶν ἀγαθοποιῶν κωλύεται ὑφ' ἑτέρας κακωτικῆς αἰτίας· καὶ οἱ μὲν συνέχοντες μοιρικοὶ ἀριθμοὶ οἱ αὐτοὶ ἐξ ἀρχῆς παραμένουσι καὶ ἐπὶ τοσοῦτον ἀπολύονται ἀνακυκλούμενοι, ἐφ' ὅσον ἂν ὁ ζητούμενος χρόνος χωρῇ· καὶ ἐπὶ μὲν τῶν πρακτικῶν καὶ ἐνιαυσιαίων ἀφέσεων κατά τινας ἁρμονικοὺς ἀριθμοὺς εἰς τοὺς αὐτοὺς τόπους ἢ καὶ τοὺς ἀστέρας συνεκπίπτουσιν αἱ διαιρέσεις καὶ τὰς ἐννοίας τῶν ἀποτελεσμάτων προδηλοῦσιν, ἐπὶ δὲ ταύτης ἄλλοτε ἄλλη συγκιρναμένη κατὰ τὴν τῶν χρόνων μετέλευσιν ἐναλλοιοῖ τὰ πράγματα καὶ ἀγαθῶν ἢ φαύλων αἰτία καθίσταται. νηπτικῶς οὖν τοῖς ἀριθμοῖς προσσχητέον καὶ σκοπεῖν τά τε κέντρα καὶ τὰς ἐπαναφορὰς καὶ τὰ ἀποκλίματα τά τε ζῴδια, εἰ προσοικείωται τῇ τῶν ἀστέρων παρουσίᾳ, ἀνατολάς τε καὶ δύσεις καὶ τὰς αἱρέσεις καὶ τὰ λοιπά, ὅσα ποτὲ ἐν ταῖς προσυντεταγμέναις βίβλοις δεδήλωται, ἵνα μὴ πολυλογῶμεν· οὐδὲ γὰρ πρὸς ἀμαθεῖς οὐδ' ἀμυήτους ἐποιησάμην τοὺς λόγους. σκοπεῖν δὲ δεῖ καὶ τὰς κατὰ καιρὸν ἐπεμβάσεις· πολὺ γὰρ συμβάλλονται πρὸς τὸ ἀναστρέψαι καὶ κατορθῶσαι τὰ πράγματα, καὶ μάλισθ' ὁπότε κατὰ συμπαρουσίαν ἢ ἐπιμαρτυρίαν ἢ ἐναντιότητα ἐπεμβῶσι τοῖς χρηματιστικοῖς τόποις ἢ τὸν τῶν χρόνων δεσπόζοντα κατοπτεύωσιν. Οὐδὲ δεῖ λογίζεσθαι μόνην αὐτὴν τὴν μοῖραν, ἐφ' ἣν βέβηκε 〈τὰ〉 τῆς συναφῆς, ἀλλὰ καὶ τὰς παρ' ἑκάτερα ἀνὰ γʹ ἄλλας, καθὼς ἐν τοῖς ἔμπροσθεν ἡμῖν δεδήλωται. ἐκ τούτων γὰρ καὶ ὁ χρόνος πρόδηλος ἔσται προληπτικὸς ἢ ἐπίμονος τοῦ ἀποτελέσματος, ὡς καὶ ἐπὶ τῶν ἐκλείψεων ἔστι συνιδεῖν τὸν τῆς μονῆς ἢ ἀνακαθάρσεως χρόνον. καὶ σκοπεῖν, εἰ ὁ παραδιδοὺς τὸν παραλαμβάνοντα ἐπιβλέπει οἰκείως καὶ χρηματιστικῶς. καὶ ἡ μὲν τῆς συναφῆς κάθιξις πρὸς βραχὺ ἐνδείκνυται τὸ γινόμενον, ἐπιμενεῖ δὲ μέχρις οὗ ἑτέρα παρεμπλακεῖσα θραύσῃ τὴν ἐκείνης δύναμιν· ἑκάστῳ δὲ τῶν ἀστέρων ἀπομερίζει χρόνον τὸν ὑποτεταγμένον.

245 οἷον Ἥλιος μὲν κατὰ ζῴδιον μερίζει μῆνας ιθʹ, κατὰ δὲ μοῖραν ἡμέρας ιθʹ. Σελήνῃ δὲ προσοικείωται καὶ ὁ μηνιαῖος κύκλος, φυσικῶς δὲ κατὰ μὲν ζῴδιον ἔτη βʹ μὴν αʹ, κατὰ δὲ μοῖραν ἡμέραι κεʹ· ὁ δὲ Κρόνος κατὰ μὲν ζῴδιον μερίζει ἔτη βʹ μῆνας ϛʹ, κατὰ δὲ μοῖραν ἡμέρας λʹ. Ζεὺς κατὰ ζῴδιον ἐνιαυτὸν αʹ, κατὰ δὲ μοῖραν ἡμέρας ιβʹ· Ἄρης κατὰ ζῴδιον μερίζει μῆνας ιεʹ, κατὰ δὲ μοῖραν ἡμέρας ιεʹ· Ἀφροδίτη κατὰ μὲν ζῴδιον μῆνας ηʹ, κατὰ δὲ μοῖραν ἡμέρας ηʹ. Ἑρμῆς κατὰ ζῴδιον μῆνας κʹ, κατὰ δὲ μοῖραν ἡμέρας κʹ. καὶ οὕτως ὁ ζῳδιακὸς τερματίζεται κατὰ τὴν ἑκάστου ἀστέρος περίοδον καὶ ἀνακύκλησιν. ὁπόταν οὖν ἄφεσίν τις ποιήσηται ἀπό τινος ἀστέρος εἴς τινα, κατ' ἰδίαν τοὺς ἀριθμοὺς ἀπογραφέσθω καὶ τίς πρὸς τίνα· οὐ γὰρ οἱ αὐτοὶ τυγχάνουσιν ἀριθμοὶ οὐδὲ αἱ αὐταὶ δυνάμεις τῶν παραδιδόντων καὶ παραλαμβανόντων. οἷον ἀπὸ Διὸς ἐπὶ Ἄρεα ἐάν τις παράδοσιν εὕρῃ ἢ ἀπὸ Ἄρεως ἐπὶ Δία, οὔθ' οἱ αὐτοὶ ἀριθμοὶ τῶν χρόνων ἔσονται διὰ τὰς περιόδους οὔτε τὸ αὐτὸ ἀποτέλεσμα· βέλτιον γὰρ τὸ παραδιδόναι Ἄρεα Διὶ τὸν χρόνον ἤπερ Δία Ἄρει. ὁπόταν μέντοι ἀπὸ πάντων τῶν ἀστέρων πρὸς ἀλλήλους αἱ ἀφέσεις ἀναγραφῶσι, συγκρίνειν δεῖ καὶ προλέγειν τὸ ἀποτέλεσμα, πότερον αἱ τῶν κακοποιῶν πλεονάζουσιν ἢ τῶν ἀγαθοποιῶν. Ἀλλ', ἐρεῖ τις, ἐπὶ τῶν διδύμων ἀδελφῶν οἱ αὐτοὶ χρόνοι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἔσονται, τῶν αὐτῶν ἀστέρων εἰς τὰς αὐτὰς μοίρας συνεμπιπτόντων. ἀλλ' ἐπὶ τῶν τοιούτων ὁ ὡροσκόπος μόνος ἐναλλαγεὶς ἐνηλλοίωσε τὰ κέντρα καὶ τὴν τοῦ γεννωμένου τύχην τε καὶ κατάστασιν, ἔσθ' ὅτε δὲ καὶ τὸ τέλος ἐπήγαγεν. ἐκ τούτων δεῖ διαλογίζεσθαι τὰς [δὲ] αἱρέσεις πρός τε τὰς κεντροθεσίας καὶ τὰς πρὸς ἀλλήλους μαρτυρίας, κἂν μὴ κατὰ τὸ κοσμικὸν ἐπίκεντροι τύχωσιν· ἄλλως τε εἰ ἐφ' ἧς βέβηκε μοίρας ὅστις ποτὲ τὸν καθυπερτεροῦντα ἢ μαρτυροῦντα ἐν κεντρικῷ διαστήματι ἔχοι, οἷον εἰ ὡροσκοπούσης ἐκείνης δύναται ἡ τοῦ ἑτέρου μεσουρανεῖν κατὰ τὴν 〈τῶν〉 ζῳδίων διαφορὰν ἤτοι ἐναλλὰξ πρὸς ἕτερον κέντρον· οὕτως γὰρ εὔτονος ἡ μαρτυρία γενήσεται. Παραπλησίαν δὲ ἄν τις εἰκάσειεν ταύτην τὴν ἀγωγὴν τῇ διὰ λευκῶν καὶ μελαινῶν ψήφων μαρτυρίᾳ· παίγνιον γὰρ ὁ βίος καὶ πλάνη καὶ πανήγυρις.

246 καὶ γὰρ φιλόνεικοί τινες ἄνδρες δόλον πανοῦργον ἀλλήλοις μηχανώμενοι κινοῦντες τὰς ψήφους διὰ πολλῶν εὐθειῶν κατατίθενται εἴς τινας χώρας προμαχεῖν προκαλούμενοι. καὶ ἐφ' ὅσον μὲν ὁ τόπος ἄπρακτος τυγχάνει, ἀνεμπόδιστος φέρεται ὁ πεσσὸς κατὰ τὴν τοῦ κινοῦντος θέλησιν φεύγει τε καὶ μένει καὶ διώκει καὶ ἀντιτάσσεται καὶ νικᾷ καὶ ἡττᾶται πάλιν· ἐπὰν δὲ δικτύου τρόπον ὑπὸ τῶν ἐναντίων περιφρουρηθῇ, ἀδιεξόδους τὰς εὐθείας ἔχων καὶ μεσολαβηθεὶς ἀπόλλυται. καὶ οὕτως ἑκάτεροι ὁ μὲν ἡδονὴν καὶ τέρψιν, ὁ δὲ χλεύην καὶ λύπην ἀπαράμονον κατεργάζεται· ὁ γὰρ πεπονθὼς τὸ ἀνιαρὸν μετ' οὐ πολὺ διά τινος μεθόδου ἀναλαβὼν χαρὰν ἀντιπαραδίδωσι τὸ λύπης βάρος τῷ προδεδωκότι. τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τῆς τῶν ἀστέρων δυνάμεως νοείσθω. ἐφ' ὅσον μὲν γὰρ ἀγαθοποιὸς διακρατεῖ τῶν χρόνων μηδενὸς κακοποιοῦ παρεμφερομένου, πρακτικὸς καὶ ὑγιεινὸς καὶ εὐπόριστος καὶ εὐεπήβολος τυγχάνων τὸν πάσχοντα εὐτυχῆ καὶ θαρραλέον καὶ συνετὸν διαφημίζει, κἂν ἄπειρος παιδείας τυγχάνῃ· [ἢ] καὶ μὴ ὢν ἄξιος τῆς ὑπὸ τοῦ καιροῦ περιχυθείσης αὐτῷ εὐδαιμονίας, σεμνυνόμενος δὲ καὶ ἀγαλλόμενος ἐφ' οἷς κέκτηται καὶ μὴ σκοπῶν τὰς τῶν καιρῶν μεταβολὰς πολλοῖς ἀνιαρὰς λύπας ἐπιπέμπει· ὁπότε δὲ κακοποιὸς ἐπιδιακατέχει τὸν χρόνον, ἄπρακτος καὶ ἐπίνοσος δυσκαταγώνιστος ἐναντιωμάτων πλήρης, ὡς καὶ πρὸς τοῖς κακοῖς ἀδρανῆ καὶ ἄτολμον καὶ πανοῦργον τὸν πάσχοντα διακηρύσσεσθαι, κἂν ἄξιος τυγχάνῃ, καὶ εἰς ἀπόγνωσιν τὰς ἐλπίδας ἀνατυπούμενον διὰ τὴν τῶν καιρῶν κακίαν ἀνθελκόμενον ὑπὸ τοῦ λογισμοῦ πρὸς τὰ παράδοξα τῆς τύχης γενναῖον καὶ εὐπαρηγόρητον καθίστασθαι. ἐπὰν δὲ ἀγαθοποιοὶ κεκακωμένοι διακρατῶσι τοὺς χρόνους, ἀμφοτέρως συμβήσεται, μετ' ὠφελείας βλάβη, μετὰ δόξης δογματισμὸς καθαίρεσις κατηγορίαι ἐπισφαλεῖς φόβοι νόσοι εὐίατοι· ὅθεν ἡδονῇ καὶ λύπῃ συγκεκραμένοι οἱ πάσχοντες οὔτε πλῆρες τὸ φαῦλον οὔτε ἀγαθὸν κεκτημένοι διατελοῦσι. Συγκρίνειν δὲ δεῖ τὰς τῶν παραδόσεων δυνάμεις, τίνων εὐτονωτέρα ἂν ᾖ· ἐὰν μὲν γὰρ ἡ τῶν κακοποιῶν, σφαλέντες τῶν προσδοκωμένων ἀγαθῶν οἱ γενόμενοι κεναῖς ἐλπίσι βουκοληθέντες ἀνιαρὰς λύπας ἀναδέξονται· ἐὰν δὲ ἡ τῶν ἀγαθοποιῶν, μετ' ἀναβολῆς καὶ κακοπαθείας καὶ ἐναντιωμάτων καὶ ἐξοδιασμῶν περιγενήσονται ἢ καὶ μετὰ φόβων καὶ κινδύνων θανατικῶν σίνη τε καὶ πάθη καὶ κακωτικὰς αἰτίας διαφυγόντες καὶ αὐτὸ τοῦτο κέρδος ἀγαθὸν ἡγούμενοι μετ' ἀνάγκης τὴν τιμωρίαν ὑπομενοῦσιν.

247 ὁ δὲ ὁλοτελὴς τρόπος τῶν παραδόσεων νοείσθω κατὰ τὴν τῆς γενέσεως ὑπόστασιν καὶ κατὰ τὴν τῶν καθολικῶν χρόνων διαίρεσιν, καθὼς ἐν τοῖς πρότερον δεδήλωται, καὶ σκοπεῖν, πότερον ἐπισήμου ἐστὶν ἡ γένεσις ἢ μετρίου ἢ εἰς ὕψος μετροῦντος ἢ καθαιρουμένου ἢ ἐπιδίκου καὶ τὰ λοιπά· τοιαύτην γὰρ δύναμιν ἀναλαμβάνουσιν οἱ ἀστέρες κατὰ τὰς τῶν χρόνων ἀνακυκλήσεις, ὁποίαν ἡ καταβολὴ προδείκνυσιν. Αἱ μέντοι πόρρωθεν διαστάσεις βραδυτέραν τὴν ἀποτελεσματογραφίαν κέκτηνται, αἱ δὲ πλησίον σύντομον. τινὲς δὲ συνοδεύουσαι τὸν χρόνον τὸ ὅμοιον ἀποτελοῦσι διὰ παντὸς κατὰ τὴν τοῦ ἀγαθοποιοῦ ἢ κακοποιοῦ παράδοσιν πρὸς βραχὺν χρόνον χρηματίσασαι προκοπὴν καὶ πίστιν καὶ ὠφέλειαν ἐνεδείξαντο καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μακαριότητα καὶ εὐεργεσίαν καὶ ** δὲ τοῦ διαστήματος καὶ ἑτέρου κακοποιοῦ ἀντιπαραλαμβάνοντος τὸν χρόνον διὰ κατηγορίαν καὶ φθόνον εἰς καθαίρεσιν καὶ ἀτιμίαν καὶ δυστυχίαν ἐχώρησεν ἢ καὶ αἰφνίδιον κίνδυνον. ἔσθ' ὅτε δὲ ἐπί τινων συνδραμοῦσα ἐπὶ πολὺ πάλιν ἀγαθοποιοῦ 〈παραλαμβάνοντοσ〉 ἀποκατάστασιν τῆς τύχης καὶ δόξης ἐποιήσατο. συγκρίνειν δὲ δεῖ καὶ πρὸς τὴν τοῦ ὡροσκόπου μοῖραν τὰς καταντήσεις· ἐκ τούτων γὰρ καὶ κλιμακτηρικοὶ χρόνοι καὶ ἐπίνοσοι καὶ ἐπισινεῖς καὶ κινδυνώδεις καταλαμβάνονται, ἄλλως τε καὶ ὑγιεινοὶ καὶ ἐπιτερπεῖς καὶ ἐπέραστοι καὶ καταθύμιοι κατὰ τὴν τῶν ἀγαθοποιῶν καὶ κακοποιῶν παρουσίαν. οὕτως γὰρ ἡ ψυχὴ ἀτάραχος καὶ ἰσχυρὰ ὑπάρχουσα δοκεῖ φρονεῖν καὶ πράσσειν τὰ καθήκοντα καὶ εἰς πολλὰ ἐκτείνεται καὶ εὐεργετικὴ καθίσταται καὶ εὐφημεῖταί τε καὶ μακαρίζεται, παρηγορεῖται δὲ καὶ τὸ σῶμα. ἐκ τούτων δὲ ὑπολαμβάνω τοὺς ἐπὶ πλάτους κατὰ καιρὸν ἀγαθούς τε καὶ πονηροὺς ἀνθρώπους τυγχάνειν, ὅπερ οἱ φυσικοὶ τὴν ἐξ ἀρχῆς κρίσιν διαφυλάττουσιν.

248 ὁπόταν δὲ κακωθῇ, δολουμένη ἀδιανόητος γίνεται· εἰ γὰρ καὶ πολυαπεχθὴς πανοῦργός τε καὶ πονηρὰ διαλαμβάνεται καὶ μανιώδης τὰ ἐναντία φρονοῦσα, ὡς καὶ καθ' ἑαυτῆς κινδυνῶδές τι μηχανήσασθαι, καὶ οὕτως βαρουμένη, τὸν ζωτικὸν χρόνον ἐναντίον πρὸς τὸ τέλος μὴ ὑπομένουσα τῷ ἀνιαρῷ ἀδοξοῦσα χωρίζεται τοῦ σώματος καὶ συνοδεύουσα τῷ καταναγκάσαντι δαίμονι, φερομένη ὅποι ποτὲ ἐκεῖνος βούλεται. 〈β'.〉 Διὰ ποίαν αἰτίαν τοιαύταις χροιαῖς τοὺς πέντε πλάνητας καὶ τὴν Σελήνην καὶ τὸν Ἥλιον οἱ παλαιοὶ ἐτύπωσα ν . Δοκιμάζειν δὲ χρὴ τοὺς ἀστέρας ὁποῖοι τυγχάνουσιν. ὅνπερ γὰρ τρόπον ἐπὶ τῶν ζωγραφικῶν χρωμάτων ἕκαστον καθ' ἣν κέκτηται φύσιν ἀνθηρότατον ἢ καὶ διαυγέστατον καθ' αὑτὸ τυγχάνει καὶ τέρπει τοὺς ὁρῶντας καὶ χρήσιμον εἰς πολλὰ γίνεται, ἐπὰν δ' ἕτερον συμφυρῇ, θολούμενον ἀλλοιοῦται καὶ οὔτε ἐκ φύσεως ὃ ἦν ἔτι ἔστιν οὔτε τὴν τοῦ μιγέντος μόρφωσιν ἐφύλαξεν, ἀλλ' ἐπ' ἀμφοτέροις διεψεύσθη ἐπὶ πλάτος καὶ ἀναγκαστικὸν ἀναλαβὸν χρῶμα τυφλόν τε καὶ ἀτερπές, ἔσθ' ὅτε δὲ ἁρμόζουσαν τὴν μῖξιν 〈ποιεῖσθαι〉 εὐτυχῆσαν εὐκρασίαν καὶ καλλονὴν εἰργάσατο (ἀλλ' ὅμως ὁ τεχνίτης διὰ πολλῶν καὶ ποικίλων μορφοῖ τὸν ἄνθρωπον, σκιὰν ἔργου καὶ ἀληθείας ἐνδεικνύμενοσ)—οὕτως δὲ καὶ οἱ ἀστέρες ὅτε μὲν διαφυλάσσουσι τὴν ἐξ ἀρχῆς φύσιν κατὰ μόνας ὄντες, ἕτερος δ' ἑτέρῳ συγκιρνάμενος συσταλάξει καὶ τὸ τῆς φύσεως ἰδίωμα. καὶ οὕτως χαλιναγωγοῦντες τὸν ἄνθρωπον μετὰ λύπης καὶ φαυλότητος καὶ συγκρασίας τινὸς ἄγουσι πρὸς τὰ τοῦ βίου πράγματα, ἐν οἷς διαθλεύσας ποικίλως καὶ τὸ τῆς ἐγκρατείας στέφος λαβών, ὅπερ ἦν οὐκ ὤν, τοῦτο γίνεται. ὅθεν εἰκότως οἱ παλαιοὶ τοῖς χρώμασι τοὺς ἀστέρας ἀπείκασαν. τὸν μὲν οὖν τοῦ Κρόνου μέλανα, ἐπεὶ χρόνου ἐστὶ σημεῖον· βραδὺς γὰρ ὁ θεός· ἔνθεν καὶ Βαβυλώνιοι Φαίνοντα αὐτὸν προσηγόρευσαν, ἐπεὶ πάντα τῷ χρόνῳ φανερὰ γίνεται.

249 τὸν δὲ τοῦ Διὸς λαμπρόν· ζωῆς γὰρ αἴτιος καὶ ἀγαθῶν δομάτων. τὸν δὲ τοῦ Ἄρεος κιρρόν· πυρωτὸς γὰρ καὶ τομὸς καὶ κατεργαστικὸς ὁ θεός· Αἰγύπτιοι γὰρ καὶ ἄρτην αὐτὸν προσηγόρευσαν, ἐπεὶ τῶν ἀγαθοποιῶν καὶ τῆς ζωῆς παραιρέτης ἐστί. τὸν δὲ Ἥλιον διαυγέστατον διὰ τὸ εἰλικρινὲς καὶ ἀΐδιον φῶς τὸ ἐν αὐτῷ. Ἀφροδίτην δὲ ποικίλην τῷ σώματι, ἐπεὶ δεσπόζει ἐπιθυμίας, ἥτις εἰς πολλὰ ἐκτείνεται ἀγαθά τε καὶ φαῦλα καὶ τῶν πολλῶν τῶν ἐν βίῳ τελουμένων οἰκείων τε καὶ ἀναρμόστων μόνη δοκεῖ κυριεύειν, ἐπεὶ μετὰ τὴν μέσην τοῦ Ἡλίου ζώνην τὴν διορίζουσαν κληρωσαμένη τὸν κύκλον τάς τε ὑπὲρ αὐτὴν τῶν ἀστέρων ἀπορροίας καὶ τὰς τῶν ὑπ' αὐτὴν ἀναλαμβάνουσα πολυμερεῖς καὶ τὰς ἐπιθυμίας καὶ τὰς πράξεις ἀπεργάζεται. τὸν δὲ τοῦ Ἑρμοῦ ὠχρὸν ἐποίησαν χολῇ παραπλήσιον· συνέσεως γὰρ λόγου καὶ πικρίας δεσπόζει, ἔνθεν καὶ οἱ ὑπ' αὐτὸν γενόμενοι ὅμοιοι τῇ φύσει καὶ τῇ χροιᾷ τυγχάνουσι. τὴν δὲ Σελήνην ἀερώδη· ἄστατος γὰρ καὶ ἀνώμαλος αὐτῆς ὁ δρόμος, ὁμοίως δὲ καὶ αἱ πράξεις καὶ αἱ διάνοιαι τῶν ὑπ' αὐτὴν τεταγμένων. καὶ ἵνα μὴ δόξωμεν δισσολογεῖν,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πρόκεινται αὐτῶν αἱ φύσεις ἐν τῇ πρώτῃ βίβλῳ. 〈γʹ.〉 Διὰ τί οἱ κακοποιοὶ δοκοῦσι μᾶλλον ἐνεργέστεροι εἶναι τῶν ἀγαθοποιῶ ν . Δοκοῦσι δὲ οἱ κακοποιοὶ πλεῖον σθένειν τῶν ἀγαθοποιῶν. καὶ γὰρ 〈ὡσ〉 τοῦ μέλανος καὶ ῥυπώδους ἡ σταγὼν ἐκχυθεῖσα εἰς λαμπρὰν χρωμάτων οὐσίαν ἀμαυροῖ τὴν εὐμορφίαν, τὸ δὲ διαυγὲς πλῆθος ἀτονεῖ τὸ βραχὺ καὶ μιαῖνον ἐπικαλύψαι, τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τῶν κακοποιῶν, οἳ ἐν οἷς τινες δοκοῦσιν εὐτυχεῖν, γένει βίῳ σώματι δόξῃ εὐμορφίᾳ ἢ τοῖς λοιποῖς, ὅπερ ἐστὶ σπάνιον, [οἱ] ἐλέγχοντες καὶ ἀφαιρέται τῶν περικτηθέντων γενόμενοι αἰτίαις περιτρέποντες ἢ καὶ σίνεσι καὶ πάθεσι μιαίνουσι τὰς γενέσεις.

250 οἱ μὲν οὖν ἀγαθοὶ ἄνδρες οἰόμενοι πάντας τὰ αὐτὰ αὐτοῖς φρονεῖν ἁπλῶς φερόμενοι πιστεύοντές τε καὶ εὐεργετοῦντες ῥᾳδίως ἁλίσκονται, εἰ καὶ μὴ ὦσιν, ἀλλ’ ὅμως ἐπὶ ταῖς καλοκαγαθίαις διαφημίζονται. οἱ δὲ φαῦλοι ὁμοίως τοιούτους εἶναι πάντας νομίζοντες [ἀλογίστως] καὶ μήτε ἰδίοις μήτε οἷς δεῖ πιστεύοντες, ἀλλὰ πλεονεκτοῦντες ἀλογίστως ἔτι τε τῶν ὄντων στερηθέντες ἡδονὴν πολλὴν ἀπεργάζονται. διαφυλάσσει γάρ τινας τῶν ἀνθρώπων καίπερ ἄκοντας μέχρι εἰς ὃ βούλεται αὐτοὺς περιτρέψαι οὓς μὲν εἰς ὕψος οὓς δὲ ἐπὶ τὸ χείριστον. τοιγαροῦν πολλοὶ μάτην εὐχόμενοι τὸ ζῆν κακοῖς περιπαρέντες 〈καὶ〉 ἀλγοῦντες ἐπὶ τοῖς γενομένοις μέμφονται βραδύνοντα τὸν θάνατον καὶ καθ’ ἑαυτῶν τι μηχανῶνται ἢ βίαιον τέλος ἀναδέχονται. φύσει δὲ πάντες ἀλλήλων χλευασταὶ καὶ κατήγοροι τῶν ἁμαρτημάτων τυγχάνουσι καὶ σφόδρα ἐπὶ τοῖς κακοῖς χαίροντες καὶ ταῖς τῶν πέλας κατηγορίαις, μετανοοῦντες δ’ ἐφ’ οἷς ἔπραξαν συνήγοροι τῶν ἁμαρτημάτων καθίστανται. ὥσπερ οὖν αἱ προλήψεις, περὶ ὧν ἄν τις κρίνῃ, οἴησιν ἀληθείας ἐνδείκνυνται οὐ μόνον αὐτοῖς τοῖς πεπιστευκόσιν, ἀλλὰ καὶ πολλοῖς 〈ἄλλοις, οἳ〉 κἂν ἕτερα βούλωνται πράττειν ἄγονται ὑπὸ τῆς πλάνης, οὕτως καὶ ἐπὶ τῶν τὰς κανονοποιΐας συμπεπηχότων τινὲς μὲν εὐχερεῖς καὶ ἐπακτικοὶ τῆς ἀληθείας ἀποδέχονται, οἷς καὶ οἱ ἀμαθεῖς προσφέρονται· οἱ δὲ φυσικοὶ καὶ ἀκριβεῖς ἢ διὰ φθόνον ἢ διὰ τὸ σκολιὸν τῆς εἰσόδου παραπέμπονται καὶ καταγινώσκονται· ὅθεν χρὴ δοκιμάσαντας τὸ ἀκριβὲς προσέχειν τῇ φυσικῇ θεωρίᾳ κἂν ἐπὶ τὸ σύνεγγυς. καὶ γὰρ Ἀπολλινάριος πρὸς τὰ φαινόμενα κατὰ τὰς παλαιὰς τηρήσεις καὶ ἀποδείξεις ποικίλων ἀνακαθάρσεων καὶ σφαιρῶν πραγματευσάμενος καὶ κατὰ πολλῶν ψόγον εἰσενεγκάμενος ὁμολογεῖ παρὰ μίαν μοῖραν ἢ καὶ δύο διαπίπτειν. ἔστι δ’ εὐκατάληπτον τὸ τῆς παραμφοδίσεως τρόπῳ τοιῷδε, καθὼς καὶ αὐτὸς ἐπειράθην ἐξ αὐτῶν τῶν προγενομένων ἀποτελεσμάτων ἱστάναι τὴν τοῦ ἀστέρος ἀκριβῆ μοῖραν κατὰ τὴν φυσικὴν αὐτῶν ἐνέργειαν, ὡς καὶ ὁ παλαιὸς εἶπε.

251 προβαινούσης δὲ τῆς διηγήσεως αὐτά σοι τὰ πράγματα ὑπ’ ὄψιν πάντα φανερώτερον ποιήσει τὸ λεγόμενον. ὁπόταν οὖν εὑρεθῇ ἡ μοῖρα, καὶ τὸ περὶ τῶν μελλόντων βεβαίως ἀποφαίνεσθαι 〈δυνατὸν ἔσται〉 · ἔστι γὰρ δυσεπίληπτος ἡ μοῖρα, οὐκ ἀκατάληπτος. 〈δʹ.〉 Περὶ ἐπεμβάσεω ν . Εὔτονοι μὲν οὖν αἱ ἐπεμβάσεις τῶν ἀστέρων κριθήσονται, ὁπόταν τῶν χρόνων δεσπόζοντες ἐπεμβῶσι τοῖς τόποις ἢ καὶ εἰσὶ τούτων τετράγωνοι ἢ διάμετροι, ὅνπερ τρόπον καὶ ἐπὶ τῶν ἀρχὰς ἢ καὶ ἡγεμονίας λελογχότων ἕκαστος καθ’ ἣν ἐκληρώσατο ὥραν τὴν ἐπέμβασιν ποιησάμενος εὐτονεῖ εἰς τὸ σώζειν ἢ ἀναιρεῖν καὶ οὐδεὶς τὴν τούτου ἀπειλὴν ἢ καὶ πρός τινας εὐεργεσίαν κωλῦσαι δύναται, κἂν πάνυ μείζων γένει βίῳ δόξῃ τυγχάνῃ, ἀλλ’ εἴκει τοῖς τοῦ καιροῦ νόμοις, μέχρις οὗ τὴν ἀρχὴν ἀπόθηται· ἐπὰν δὲ συμπληρώσῃ τὸν χρόνον, παραδιδοὺς ἑτέρῳ τὴν ἡγεμονίαν ἄτονος πρός τε τὸ ἀγαθὸν ἢ φαῦλον ἀποκαθίσταται. αἱ μὲν οὖν ἀποτελεσματογραφίαι τῶν παραδόσεων καὶ συγκρατικαὶ πρὸς ἀλλήλους μαρτυρίαι τε καὶ συμπαρουσίαι ἐν τοῖς ἔμπροσθεν ἡμῖν δεδήλωνται· αἷς καὶ προσχρηστέον, ἑκάστου κατὰ τὴν ἰδίαν φύσιν καὶ κατὰ τὸν ἐπιβάλλοντα χρόνον ἐνεργοῦντος καὶ τὸ εἶδος τοῦ ἀποτελέσματος ἐνδεικνυμένου. 〈εʹ.〉 Περὶ τῆς εἰς ιʹ ἔτη καὶ μῆνας θʹ διαιρέσεως ἐμπράκτων τε καὶ ἀπράκτων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χρόνῳ ν . Καὶ ταύτην δὲ τὴν διαίρεσιν κωφῶς καὶ εἰκαίως παρερριμμένην διὰ τὸ τὰς εἰσόδους αἰνιγματώδεις ἐσχηκέναι δοκιμάσας καὶ ἀνευρὼν καὶ συγκομίσας ὑπέταξα, ὅπως οἱ φιλόκαλοι διὰ πολλῶν εἰς μίαν δύναμιν ἀποτελέσματος κατελθόντες ἐκθειάσωσι τὴν φύσιν, λογισάμενοι διὰ πολλῶν εὐθειῶν ὁδῶν τε καὶ δυσβάτων εἰς ἓν χωρίον κατηντηκέναι. Ἔστω οὖν ἡμῖν ὁ λόγος ἐπὶ μὲν τῶν ἡμερινῶν γενέσεων λαμβάνειν ἀφέτην Ἥλιον, ἐάνπερ ᾖ καλῶς κείμενος, ἐπὶ δὲ τῶν νυκτερινῶν Σελήνην, ἐπεὶ καθὼς προγέγραπται ἡμῖν ἐν ταῖς ἐπικρατήσεσιν, ἐκεῖνον 〈χρὴ〉 κρίνειν ἀφέτην τῶν ἡμερινῶν καὶ νυκτερινῶν τὸν καλῶς κείμενον.

252 ἐὰν δὲ κατ’ ἀμφότερα παραπέσῃ τὰ φῶτα, ὁ μετὰ τὸν ὡροσκόπον εὑρισκόμενος ἀστὴρ πρῶτος μεριεῖ τοὺς χρόνους καὶ δεύτερος ὁ μετ’ αὐτὸν κείμενος καὶ ἑξῆς οἱ λοιποί. Ὑποδείγματος χάριν τῆς διαιρέσεως τῆς δεκαετηρίδος καὶ μηνῶν θʹ ἔστω Ἥλιος ἀφέτης· λήψεται αὐτὸς ἔτη δέκα μῆνας θʹ, καὶ μετ’ αὐτὸν ἑξῆς ὁ κείμενος ἀστὴρ ἐπὶ τῆς γενέσεως κατὰ τὴν τοῦ ζῳδιακοῦ κύκλησιν ἔτη ιʹ καὶ μῆνας θʹ, καὶ μέχρις οὗ ἐὰν ἐπιδέχηται ὁ ἀριθμὸς τῶν ἐτῶν διδόναι τοὺς ἐνιαυσιαίους χρόνους. ἐπεὶ τοὺς περιοδικοὺς ἑκάστου ὡριαίους ἡμερησίους μηνιαίους συναναλαμβάνειν χρὴ τοῖς ἐνιαυσιαίοις καὶ συγκρίνειν τόν τε καθολικὸν τῶν χρόνων δεσπόζοντα καὶ τὸν τῶν μηνιαίων καὶ τῶν ἡμερῶν τε καὶ ὡρῶν τούς τε κύκλους, πόσοι ἦσαν καὶ τίς ἀπὸ τίνος δέχεται τὸν κύκλον καὶ τὴν ἑβδομάδα. οὕτως γὰρ ἀνακυκλούμενοι οἱ χρόνοι κἂν εἰς τοὺς αὐτοὺς καταντῶσιν ἀστέρας, οὐ μέντοι ἐκ τῶν αὐτῶν ἑβδομάδων οὐδὲ τῶν αὐτῶν κύκλων· ἕτερος δ’ ἑτέρῳ κύκλῳ συναρμοζόμενος κατὰ τὴν ἀκολουθίαν τοῦ χρόνου τὰς τῶν ἀστέρων ἐναλλοιοῖ δυνάμεις, καὶ γίνεται ὁ αὐτὸς ἀστὴρ ὁτὲ μὲν ἀγαθῶν αἴτιος ὁτὲ δὲ φαῦλος κατὰ τὴν τοῦ παραδιδόντος καὶ παραλαμβάνοντος ἐνέργειαν καὶ διάθεσιν οἰκείαν ἢ ἐναντίαν. προβλέπειν δὲ δεῖ τοὺς ἐνεστῶτας καὶ μέλλοντας χρόνους καὶ σκοπεῖν, κἂν μὲν εἰς ἀγαθοποιοὺς χωρῶσι, προλέγειν τὸ ἀγαθόν, κἂν ἔτι διακατέχῃ ὁ κακοποιὸς ἐλάχιστον χρόνον· προμαραίνεται γὰρ ἡ τοῦ κακοποιοῦ δύναμις ὑπὸ τῆς τοῦ παραλαμβάνοντος ἀστέρος ἀγαθοποιίας προκατασκευάζοντος ἀφορμὰς ποικίλας, φιλίας συμπαθείας συστάσεις εὐημερίας δόξας ὠφελείας καταθυμίων συντέλειαν. ἔσθ’ ὅτε μὲν οὖν καὶ μυστικαῖς πράξεσιν ἢ ἀπορρήτοις ἢ παραβόλοις μολύνας εὐτυχίαν εἰργάσατο, ὡς τοὺς γενομένους ἥδεσθαι ἢ μέσως φέρειν ἐφ’ οἷς πρότερον ἤχθοντο καὶ μετανοεῖν ὡς μάτην ἀπολέσαντας ἄπρακτον χρόνον. ὁμοίως δὲ καὶ ὁπόταν ἀγαθοποιῶν εἰς κακοποιοὺς χωρῶσιν οἱ χρόνοι, εἰς ἔχθραν καὶ ἀτιμίαν καὶ προδοσίαν καὶ ζημίαν καὶ κίνδυνον προσλαμβάνονται καὶ εἰς αἰφνιδίους καὶ ἀπροσδοκήτους αἰτίας καὶ καθαιρέσεις· ὅθεν πολλοὶ μετανοοῦσι μὴ προαμυνόμενοι τοὺς ἐχθρούς, ἀλλὰ καὶ πίστιν καὶ συμπάθειαν φυλάξαντες ματαίως, μὴ περιγινόμενοι δὲ ὧν θέλουσιν ἐπὶ τοῖς ἀλλοτρίοις ἀγαθοῖς ὀδυνῶνται καὶ ἄκοντες ὑποτάσσονται.

253 Ἔστω δὲ ἡμῖν ἐπὶ ὑποδείγματος γένεσις, ἵνα συντομώτερον τὴν εἴσοδον ἐνδειξώμεθα. Σελήνη Ἰχθύσι μοίραις ιηʹ, Ἀφροδίτη Κριῷ, Ζεὺς Ζυγῷ, Κρόνος ὡροσκόπος Τοξότῃ, Ἄρης Ὑδροχόῳ, Ἥλιος Ὑδροχόου ἀρχαῖς, Ἑρμῆς Ἰχθύσιν· οὕτως γὰρ διέκειντο ἐφεξῆς. ζητοῦμεν ἔτη νβʹ καὶ τοῦ νγʹ Παϋνὶ ιεʹ. ἐπεὶ οὖν ἐπὶ ταύτης τῆς διαιρέσεως 〈αἱ〉 ἡμέραι καὶ οἱ κύκλοι πρὸς τξʹ ἡμέρας τὴν πραγματείαν ἔχουσι, τὰ δὲ γενεθλιακὰ ἔτη πρὸς τὸν τξεʹ δʹ, ἔλαβον τῶν ὁλοκλήρων ἐτῶν νβʹ τὰς ἀνὰ εʹ δʹ· γίνονται σογʹ· καὶ ἀπὸ Μεχὶρ ιβʹ ἕως Παϋνὶ ιεʹ· γίνονται ρκδʹ· καὶ ὁμοῦ γίνονται ἡμέραι τϟζʹ. ἀφεῖλον κύκλον τξʹ, λοιπαὶ ἡμέραι λζʹ. ἐκρίθη οὖν νυκτερινῆς οὔσης τῆς γενέσεως Σελήνη, ὑπόγειος οὖσα ἐν θηλυκῷ ζῳδίῳ τριγώνῳ συναιρετιστοῦ καὶ οἰκείως κειμένη, ἀφέτης τῶν καθολικῶν χρόνων. πρώτη οὖν ἔλαβεν ἐκ τῶν προκειμένων ἐτῶν ἔτη ιʹ μῆνας θʹ, εἶθ’ ἑξῆς Ἀφροδίτη ἐν Κριῷ ἔτη ιʹ μῆνας θʹ, εἶτα ἑξῆς Ζεὺς Ζυγῷ ἔτη ιʹ μῆνας θʹ, εἶθ’ ἑξῆς Κρόνος Τοξότῃ ἔτη ιʹ μῆνας θʹ· γίνονται κύκλοι δʹ ἔτη μγʹ. μετ’ αὐτοὺς ἑξῆς ἀκολουθεῖ Ἄρης· τούτου ὁ κύκλος ἔτη ιʹ μῆνες θʹ εἰς συμπλήρωσιν ἐτῶν νγʹ καὶ μηνῶν θʹ. ἐπεὶ οὖν ὑπὲρ τὸν προκείμενον χρόνον καὶ ζητούμενον ὑπερβάλλει ὁ ἐνιαύσιος χρόνος, εἰς τὸν μηνιαῖον

κατέδραμον καὶ ἔδωκα αὐτῷ τῷ Ἄρει τῷ κυρίῳ τοῦ κύκλου μῆνας ιε′, προσθεὶς δὲ τῷ συντελεσθέντι τετάρτῳ κύκλῳ ἐτῶν δι᾽ ἀριθμοῦ μγ′· καὶ ἐγένοντο ἔτη μδ′ μῆνες γ′. εἶτα Ἡλίῳ ἔτος α′ μῆνας ζ′, εἶτα Ἑρμῇ μῆνας κ′, εἶτα Σελήνῃ μῆνας κε′, εἶτα Ἀφροδίτῃ μῆνας η′, εἶτα Διὶ μῆνας ιβ′· καὶ γίνονται ἔτη να′ καὶ μῆνες γ′. ἑξῆς Κρόνος λαμβάνει μῆνας λ′ εἰς συμπλήρωσιν τοῦ Ἀρεϊκοῦ κύκλου ἐτῶν νγ′ καὶ μηνῶν θ′· ἐπεὶ οὖν καὶ οὗτος ὁ χρόνος ὑπερβάλλει τὸν προκείμενον, εἰς ἡμέρας ἀνέλυσα οὕτως· ἕως τοῦ Διὸς συνήγετο ἔτη να′ μῆνες γ′· ἀνέλαβον τὰς λοιπὰς ἡμέρας τοῦ νβ′ ἔτους σο′ καὶ τοῦ νγ′ τξ′ καὶ τοῦ νδ′ ἔτους ἡμέρας λζ′· καὶ γίνονται ὁμοῦ ἡμέραι χξζ′ Κρόνου τοῦ ἀπὸ Ἄρεος παραλαμβάνοντος.

254 ἐξ ὧν παρέδωκεν ἑαυτῷ καὶ τοῖς ἑξῆς κειμένοις κύκλον α′ ἡμερῶν ρκθ′· εἶτα τὸν β′ κύκλον παρεχώρει Ἄρεϊ ὁμοίας ρκθ′, κἀκεῖνος ἐμέρισεν ἑκάστῳ τὰς ἰδίας ἡμέρας· τὸν δὲ γ′ κύκλον Ἥλιος διεδέξατο ἀπὸ Κρόνου καὶ ἐμέρισεν ρκθ′ ἡμέρας, τὸν δὲ δ′ Ἑρμῆς, τὸν δὲ ε′ Σελήνη καὶ ἐμέρισεν ἡμέρας ρκθ′. λοιπὸν περιλείπονται ἡμέραι κβ′ τοῦ ϛ′ κύκλου, ὅς ἐστιν Ἀφροδίτης. ἐμέρισεν οὖν ἑαυτῇ ἡμέρας η′, ἔπειτα Διὶ ἡμέρας ιβ′· λοιπαὶ β′ ἡμέραι εἰς τὴν ζητουμένην ἡμέραν, αἵ εἰσιν Κρόνου [πρώτη]. Γέγονεν οὖν ὁ μὲν καθολικὸς χρονοκράτωρ τῶν ἐτῶν Ἄρης ἀπὸ Σελήνης παραλαβών, ὁ δὲ τῶν μηνιαίων Κρόνος ἀπὸ Ἄρεως παραλαβών, τῶν δὲ ἡμερῶν Ἀφροδίτη παρὰ Κρόνου τὸν κύκλον παραλαβοῦσα. τῷ οὖν νβ′ ἔτει ἐγένετο γυναικὸς θάνατος ἐπίλυπος καὶ νόσοι ἐπισφαλεῖς αὐτῷ ἐπηκολούθησαν καὶ ζημίαι· ἐν δὲ ταῖς προκειμέναις ἡμέραις ἡ γένεσις κατεδικάσθη δίκην ἔχουσα ὑπὲρ γυναικὸς καὶ πρὸς γυναῖκα περὶ νεκρικῶν καὶ παλαιῶν πραγμάτων καὶ ὑπὸ μειζόνων κατεσπουδάσθη καὶ μικροῦ δεῖν ἐκινδύνευσε καὶ οἰκείων ἢ ἀλλοτρίων λύπην ἀνεδέξατο, ὡς εἰς ἀπόγνωσιν χωρῆσαι, καὶ ἑτέροις πράγμασι καὶ ἐπισφαλέσι καὶ ἐπιζημίοις περιεπλάκη. ἔτι γὰρ διεκράτει τὸν χρόνον Κρόνος παρ᾽ αἵρεσιν ὡροσκοπῶν καὶ καθυπερτερῶν Σελήνην, τὴν ἄφεσιν, καὶ Ἑρμῆν· ὅθεν καὶ πλαστογραφίαι πλεῖσται παρηκολούθησαν καὶ ψευδηγορίαι καὶ πλάναι καὶ ἐξοδιασμοὶ πλεῖστοι καὶ νόσοι ἐπισφαλεῖς. 〈ϛ′.〉 Περὶ τῆς ὑποδιαιρέσεως τῆς προκειμένης ἀγωγῆ ς . Ἡ δὲ τρίτη ἐπιδιαίρεσις οὕτως γίνεται. Κρόνος δεσπόζει ἐτῶν β′ καὶ μηνῶν ϛ′· παραδώσει ἑαυτῷ μῆνας ϛ′ ἡμέρας κθ′ ὥρας ϛ′ ϛ′, Διὶ μῆνας β′ ἡμέρας κϛ′ ὥρας η′ δ′, Ἄρει μῆνας γ′ ἡμέρας ιδ′ ὥρας ιε′ ϛ′, Ἡλίῳ μῆνας δ′ ἡμέρας ιβ′ ὥρας ιγ′ ϛ′, Ἀφροδίτῃ μῆνα α′ ἡμέρας κε′ ὥρας ιθ′ ∠ ′, Ἑρμῇ μῆνας δ′ ἡμέρας ιθ′ ὥρας ιβ′ ∠ ′, Σελήνῃ μῆνας ε′ ἡμέρας κδ′ ὥρας ι′· καὶ οὕτως συμπληροῦνται τὰ τοῦ Κρόνου ἔτη β′ μῆνες ϛ′. Ὁ Ζεὺς ἔχει ἐνιαυτόν· παραδώσει ἑαυτῷ μῆνα α′ ἡμέρας γ′ ὥρας ια′, Ἄρει μῆνα α′ ἡμέραν α′ ὥρας κ′, Ἡλίῳ μῆνα α′ ἡμέρας κγ′ ὥρας κ′ ∠ ′, Ἀφροδίτῃ ἡμέρας ιβ′ ὥρας ζ′ ∠ ′ γ′, Ἑρμῇ μῆνα α′ ἡμέρας κε′ ὥρας ιβ′ ϛ′, Σελήνῃ μῆνας ιβ′ ἡμέρας θ′ ὥρας ιη′ γ′, Κρόνῳ μῆνας β′ ἡμέρας κγ′ ὥρας ιζ′ δ′. Ἄρης ἔχει ἐνιαυτὸν α′ μῆνας γ′· παραδίδωσιν ἑαυτῷ μῆνα α′ ἡμέρας κβ′ ὥρας ζ′ δύο τρίτα, Ἡλίῳ μῆνας β′ ἡμέρας ϛ′ ὥρας ϛ′ δύο τρίτα, Σελήνῃ ἡμέρας οα′ ὥρας ε′, Ἀφροδίτῃ ἡμέρας κζ′ ὥρας κα′ ∠ ′ γ′, Ἑρμῇ μῆνας β′ ἡμέρας κζ′ ὥρας ιη′ γ′, Κρόνῳ μῆνας γ′ ἡμέρας ιδ′ ὥρας ε′, Διὶ μῆνα α′ ἡμέρας ια′ ὥρας κ′.

255 Ἥλιος ἔχει ἐνιαυτὸν α′ μῆνας ζ′· παραδίδωσιν ἑαυτῷ μῆνας β′ ἡμέρας κγ′ ὥρας κβ′ δ′, Ἑρμῇ μῆνας β′ ἡμέρας κη′ ὥρας η′ δ′, Ἀφροδίτῃ μῆνα α′ ἡμέρας ε′ ὥρας η′ ∠ ′, Σελήνῃ μῆνας γ′ ἡμέρας κ′ ὥρας ιδ′ δ′, Κρόνῳ μῆνας δ′ ἡμέρας ιβ′ ὥρας ιγ′ δ′, Διὶ μῆνα α′ ἡμέρας κγ′ ὥρας η′ δ′, Ἄρει μῆνας δύο ἡμέρας ϛ′ ὥρας ϛ′ δ′. Ἀφροδίτη δεσπόζει μηνῶν η′· ἐξ αὐτῶν ἑαυτῇ παραδίδωσιν ἡμέρας ιδ′, Ἑρμῇ μῆνα α′ ἡμέρας ϛ′ ὥρας ζ′ ε′, Σελήνῃ μῆνα α′ ἡμέρας ιϛ′ ὥρας ιβ′ δ′, Κρόνῳ μῆνα α′ ἡμέρας κε′ ὥρας ιθ′, Διὶ ἡμέρας κβ′ ὥρας δ′, Ἄρει ἡμέρας κη′ ὥρας κα′ δ′, Ἡλίῳ μῆνα α′ ἡμέρας ε′ ὥρας η′. Ἑρμῆς ἔχει ἐνιαυτὸν α′ μῆνας η′· ἐξ ὧν ἑαυτῷ παραδίδωσι μῆνας γ′ ἡμέρας γ′ ὥρας θ′ ∠ ′, Σελήνῃ μῆνας γ′ ἡμέρας ϛ′ ὥρας ϛ′ δ′, Κρόνῳ μῆνας δ′ ἡμέρας ιθ′ ὥρας ιβ′ δ′, Διὶ μῆνα α′ ἡμέρας κε′ ὥρας ιθ′, Ἄρει μῆνας β′ ἡμέρας θ′ ὥρας ιη′ δ′, Ἡλίῳ μῆνας β′ ἡμέρας κη′ ὥρας η′ δ′, Ἀφροδίτῃ μῆνα α′ ἡμέρας ζ′ ὥρας ε′. Σελήνη δεσπόζει ἐτῶν β′ μηνὸς α′· ἐξ ὧν ἑαυτῇ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μερίζει μῆνας δ′ ἡμέρας κδ′ ὥρας ι′, Κρόνῳ μῆνας ε′ ἡμέρας ιδ′ ὥρας ι′, Διὶ μῆνας ** ἡμέρας θ′ ὥρας ιη′, Ἄρει μῆνας β′ ἡμέρας κβ′ ὥρας ε′, Ἡλίῳ μῆνας γ′ ἡμέρας κ′ ὥρας ια′, Ἑρμῇ μῆνας γ′ ἡμέρας κϛ′ ὥρας ϛ′ δ′, Ἀφροδίτῃ μῆνα α′ ἡμέρας ιζ′ ὥρας ϛ′ δ′ [Κρόνῳ μῆνας ε′ ἡμέρας κδ′ ὥρας δ′]. 〈ζ′.〉 Μαθεῖν τίνος ἀστέρος εἰσὶν αἱ καταγόμεναι ἡμέραι τῆς προκειμένης ἀγωγῆ ς . Ἄλλως δ' ἂν θέλωμεν εἰδέναι αἱ καταγόμεναι ἡμέραι τίνος ἀστέρος εἰσίν, οὕτως ποιήσωμεν. τὰ καταγόμενα ἐπὶ τὰς τξε′ δ′ πολυπλασιάσαντες καὶ τὰς ἀπὸ γενεθλίων ἕως τῆς ζητουμένης ἡμέρας ἐπισυνθέντες καὶ συγκεφαλαιώσαντες ἀφαιροῦμεν κύκλους ἀνὰ ρκθ′ ἡμερῶν ὅσους δυνάμεθα καὶ σκοποῦμεν, πόσοι κύκλοι γεγόνασιν· ἐξ ὧν πάλιν ἑβδομαδικοὺς κύκλους διεκβαλοῦμεν, καὶ ὁ ἐντὸς τῆς ἑβδομάδος περιλειφθεὶς κύκλος προδηλώσει, τίνος ἀστέρος εἰσὶ [καὶ τίνος] αἱ ἡμέραι.

256 οἷον ἐπὶ τοῦ προκειμένου θέματος τὰ πλήρη νβ′ ἔτη ἐπὶ τξε′ δ′ πολυπλασιάσαντες γίνονται ἡμέραι μυριὰς , ηϡϟγ′· καὶ ἀπὸ Μεχὶρ ιβ′ ἕως τῆς ζητουμένης Παϋνὶ ιε′ ἡμέραι ρκγ′· ὁμοῦ γίνονται ἡμέραι μυριὰς , θρις′. ἐξ ὧν ἀφεῖλον κύκλους ἀνὰ ρκθ′· γίνονται κύκλοι ρμη′, καὶ λοιπαὶ ἡμέραι κδ′ τοῦ ρμθ′ κύκλου. πάλιν ἐκ τούτων ἀφεῖλον ἑβδομαδικοὺς κύκλους κα′, τουτέστιν ἐκ τῶν ρμθ′· λοιποὶ περιλείπονται κύκλοι β′. ἐπεὶ οὖν καθὼς πρόκειται ἡ Σελήνη ἀφέτης εὑρέθη, ἔδωκα πάλιν τὸν α′ κύκλον τῆς ἑβδομάδος αὐτῇ τῇ Σελήνῃ πρώτῃ. τὸν δὲ δεύτερον κύκλον ἔσχεν ἡ μετ' αὐτὴν Ἀφροδίτη ἡμέρας κδ′ ἔχουσα, ἐξ ὧν ἑαυτῇ ἔδωκεν ἡμέρας η′, ἔπειτα Διὶ ἡμέρας ιβ′· λοιπαὶ περιλείπονται ἡμέραι δ′ Κρόνου, ἐν αἷς κατεδικάσθη. Ἢ πάλιν πειρατέον τοὺς ἑβδομαδικοὺς κύκλους εἰς μθ′ετηρίδας κατάξαντας ἀπολύειν ἀπὸ τοῦ ἀφέτου ἀνὰ μίαν, καὶ εἰς οἷον ἂν ἀστέρα καταλήξῃ, ἐκεῖνος ἄρξει τῆς μθ′ετηρίδος καὶ τοῦ πρώτου κύκλου τοῦ ἑβδομαδικοῦ· εἶθ' ἑξῆς τοῖς λοιποῖς παραδώσεις τοὺς κύκλους. οἷον ἐπὶ τοῦ προκειμένου θέματος ἐπεὶ ρμθ′ κύκλοι ἑβδομαδικοὶ εὑρέθησαν, ἐκ τούτων ἀφεῖλον μθ′ετηρίδας γ′· λοιποὶ περιλείπονται κύκλοι δύο τῆς τετάρτης μθ′ετηρίδος. τὰς οὖν τέσσαρας ἀπέλυσα ἀπὸ Σελήνης καὶ κατέληξα ἐπὶ Κρόνον· ὥστε τῆς μὲν τετάρτης μθ′ετηρίδος ἄρχει Κρόνος· καὶ τὸν πρῶτον ἑβδομαδικὸν κύκλον ἑαυτῷ μερίσας τὸν δεύτερον παρέδωκε τῷ μετ' αὐτὸν Ἄρει ἔχοντι ἡμέρας κδ′, ἐξ ὧν ἑαυτῷ ἐμέρισεν ἡμέρας ιε′· καὶ λοιπαὶ ἡμέραι θ′ Ἡλίου. Ὅτι οὐ δεόντως ἔνιοι τὴν ἄφεσιν τῆς προκειμένης ἀγωγῆς ποιοῦντα ι . Οἱ πλεῖστοι μέντοι μερίζουσι τοὺς χρόνους ἐπὶ πάσης γενέσεως κατὰ τὴν ἑπτάζωνον ἀρξάμενοι ἀπὸ Κρόνου· ἔπειτα Διί, εἶτα Ἄρει, εἶτα Ἡλίῳ, μεθ' ὃν Ἀφροδίτῃ, ἔπειτα Ἑρμῇ καὶ ἑξῆς Σελήνῃ. καὶ ὁμοίως κατὰ ἀνακύκλησιν τῶν χρόνων σκοποῦσι τὸν δεσπόζοντα τῆς ἑβδομάδος καὶ τῶν ἡμερῶν. ἐμοὶ δ' οὐκ ἀρέσκει τὸ τοιοῦτον, ἐπεὶ οἱ αὐτοὶ χρονοκράτορες ἐπὶ τῶν πλείστων γενέσεων εὑρεθήσονται, ἀλλὰ καθὼς πρόκειται ἔκ τε Ἡλίου καὶ Σελήνης ὁ ἀφέτης κριθήσεται ἢ ὁ μετὰ τὸν ὡροσκόπον εὑρισκόμενος ἀστὴρ καὶ 〈οἱ〉 ἑξῆς, καθὼς ἔτυχον ἐπὶ γενέσεως ζῳδιακῶς τε καὶ μοιρικῶς διακείμενοι.

257 η′. Περὶ χρόνων ζωῆς ἀπὸ πανσεληνιακοῦ καὶ ὡροσκοπικοῦ γνώμονο ς . Ἐπεὶ δὲ τὴν μὲν εὕρεσιν τῶν ζητουμένων ῥᾳδίαν ἐκεκτήμην διὰ τὴν συνεχῆ γυμνασίαν καὶ ποικίλης ἀγωγῆς ὕλην, ἡ δὲ διάκρισις καὶ ὁ σαφὴς ἔλεγχος ἐδεῖτο χρόνου, οὗτος δέ μοι βραχὺς περιελείπετο (ἔστι γὰρ στιγμιαῖος ὁ τῶν ἀνθρώπων βίος, κἂν πάνυ τι δόξῃ ὑπερφρονεῖν), ὡσὰν πατὴρ πρὸς τῷ τέλει τοῦ βίου νόσῳ βαρούμενος τέκνοις ἐντολὰς συντόμους καταλείπει, πρὶν φθάσαι τὴν φίμωσιν, καὶ αὐτὸς μετὰ πάσης σπουδῆς τὰ συνεμπίπτοντά μοι κεφάλαια τῶν θεωρημάτων ἀνασκοπούμενος ἐσημειούμην, τοῖς φιλοκάλοις ἀρχὴν εἰσόδου δωρούμενος. εἰ δὲ ἦν μακρόβιος ἢ ἀθάνατος ὁ νοῦς, ἀναμφίλεκτος καὶ μονομερὴς ἡ διάκρισις ἐτύγχανε· θεοὶ δὲ πάντα ἴσασ ι. ἐπεὶ οὖν τὸ συνεκτικώτατον κεφάλαιόν ἐστι τὸ περὶ χρόνων ζωῆς, πολυμερῶς [τε] οὕτως ἐν τοῖς ἔμπροσθεν συντέτακται. συμβαλὼν δέ τινι μεγαλαυχοῦντι περὶ ἑτέρας ἀγωγῆς εὗρον διὰ πολλῆς πλάνης μεθοδικῶν ἀριθμῶν πεποικιλμένην τὴν αἵρεσιν, ἣν καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αὐτὸς πρότερον μὲν ἠπιστάμην σαφέστερον καὶ νῦν δὲ διὰ τὴν φιλονεικίαν διασαφήσω ἐκκόψας τὰς ματαιολογίας. πᾶσα γὰρ ἀγωγὴ συγκρινομένη πρὸς ἑτέραν καὶ τὸν ἔλεγχον λαβοῦσα φυσικὴν καὶ ἀκριβῆ καὶ τὴν θεωρίαν ἐνδείκνυται. Ἔστω οὖν ἡμῖν λόγος πρός τε τὴν φωσφόρον Σελήνην καὶ πρὸς τὸν ὡροσκόπον· οὗτοι γὰρ ἑαυτοῖς συγκιρνάμενοι κατὰ τὰς ὡριαίας κινήσεις πρὸς τὰς ἐπικαίρους στάσεις καὶ τὴν φυσικὴν μόρφωσιν τὴν ἄφεσιν καὶ τὴν ἀρχὴν καὶ τὸ τέλος ἐνδείκνυνται. τῆς γὰρ σπορᾶς καὶ τῆς ἐκτροπῆς μυστικῶς τὴν δύναμιν ἐκληρώσαντο, καὶ οὔτε Ἄρης οὔτε Κρόνος ἀναιρέται κριθήσονται οὔτε μὴν οἱ ἀγαθοποιοὶ βοηθοί, ἀλλ' ὁπόταν Σελήνη ἀφέτης εὑρεθῇ, παραφυλάσσειν χρὴ τὰς κολλήσεις καὶ τὰς ἑξαγώνους πλευρὰς καὶ τετραγώνους καὶ διαμέτρους τὰς πρὸς τὸν ὡροσκόπον, μάλιστα ἐν τοῖς ἰσανατόλοις ἢ ἰσαναφόροις ἢ ἰσοδυναμοῦσι τοῖς ἀκούουσι καὶ βλέπουσι ζῳδίοις ἢ ἀντισκίοις μοίραις.

258 ὡσαύτως δὲ κἂν ὁ ὡροσκόπος ἀφέτης, τὰς πρὸς Σελήνην διαστάσεις ὡσαύτως σκοπεῖν κατὰ ἀναφοράν. Ἔδοξε δέ μοι ἐκ πείρας θανατικὰς κρίνειν μοίρας καὶ δυναστικὰς τὰς μαρτυρίας τοῦ τε ὡροσκόπου καὶ τῆς Σελήνης πρὸς ἀλλήλους καὶ τὰς τούτων τετραγώνους καὶ διαμέτρους. αὗται γὰρ εἰς κεντροθεσίαν οὐ τὴν τυχοῦσαν κέκτηνται 〈δύναμιν〉. πολλῆς δὲ πλάνης συνεμπιπτούσης ἑκάστοτε περὶ τοὺς ἀφετικοὺς ἤτοι ἀναιρετικοὺς τόπους καὶ σχεδόν τινων καὶ παρεχομένων τὰς τῆς θεωρίας ὁ μὴ παρὼν ἔλεγχος τῆς ἀληθείας ψόγον καὶ ἀποτροπὴν ἐργάζεται, ἀναγκαίως ἔσχον ἐξευρὼν ἐπιδιασαφῆσαι τὴν πλάνην. Ὁπόταν μὲν γὰρ κατὰ μόνας αἱ ἀφέσεις ** πρὸς τὴν δοκοῦσαν ἀναίρεσιν ἀσύμφωνος εὑρεθῇ, σκοπεῖν δεῖ ἀμφοτέρους τοὺς ἀριθμοὺς καὶ κατὰ ἀναφορὰν ἡγεῖσθαι βιώσιμον χρόνον τοῦτον, ἐάνπερ μὴ κατὰ πολὺ ὑπερβάλλῃ τὸν μέγιστον χρόνον· σπανίως γάρ τινες βιοῦσιν. ἢ καὶ ἄλλως ὁπόταν πολὺ διάστημα τῆς ἀφέσεως εὑρεθῇ τῆς Σελήνης [ἢ] καὶ τοῦ ὡροσκόπου ἐν τῷ αὐτῷ ζῳδίῳ ὄντων ἢ καὶ καθ' ἑτέραν τινὰ ἄφεσιν μὴ συμβῇ τὸ διάστημα ἐν τοῖς πολυαναφόροις ζῳδίοις εὑρεῖν, ὥστε τοὺς ἀφετικοὺς τόπους συνεγγίζειν ἀλλήλοις, ἐξαριθμήσαντας τοὺς χρόνους κατὰ ἀναφορὰν καὶ τούτων λαβόντας τὴν ἡμίσειαν ἡγεῖσθαι ζωτικὸν χρόνον. οὐ μόνον δ' ἐπὶ τοῦ μεγίστου διαστήματος ἢ τῶν πολυχρονίων σκοπεῖν δεῖ τὴν ἄφεσιν, ἀλλὰ καὶ τοῦ ἐλαχίστου καὶ ἐπισυνθέτου τῶν ἀφέσεων πρὸς τοὺς ὀλιγοχρονίους. πρὸς δὲ τὴν ἀφετικὴν τῶν χρόνων διάκρισιν αἱ τῆς Σελήνης μοιρικαὶ φάσεις καθ' ἕκαστον ζῴδιον λογιζόμεναι πρὸς τὰς ἀφέσεις καὶ συναρμοζόμεναι 〈πρὸς〉 τὴν τοῦ διαστήματος χρονογραφίαν τὴν ἀναίρεσιν προδηλοῦσι, καὶ μάλιστα αἱ ἀπὸ Σελήνης· αὕτη γὰρ ἀφέτις γενομένη ὑπὸ ἑαυτῆς ἀναιρεθήσεται· εἰσὶ δὲ αἱ τῆς συνόδου ἢ πανσελήνου καὶ τῶν δυοῖν διχοτόμων, ἐνεργητικῆς οὔσης τῆς ἐπὶ δυτικὸν πρῶτον φερομένης. Ὅθεν μή τις ἡμᾶς δόξῃ πολυμερῶς καὶ ποικίλως συντεταχέναι· ἀγαπητὸν γὰρ ἐμοὶ μὲν πᾶσαν ζητήματος θέσιν προμεμηνυκέναι, δυνατὸν δὲ καὶ τοῖς ἐντυγχάνουσι προγυμνασθεῖσι χρόνῳ ταῖς ἀγωγαῖς καὶ τὰ πολλὰ παραπεμψαμένοις ἐπὶ τὴν φυσικὴν καὶ ἀτρεκῆ ὁδὸν καταντῆσαι.

259 προεῖπον γὰρ ἐν τοῖς ἔμπροσθεν, ὅτι ἃ μὲν ἐκ τῶν παλαιῶν σκοτεινῶς συντεταγμένα ἐπελυσάμην, ἃ δὲ καθὼς ἔδοξέ τισιν, οὕτως ἔχειν καλῶς ἐδόκουν, ἵνα μὴ δόξω ἀμύητος τῆς ἐντεύξεως γεγονέναι, ἃ δὲ καὶ αὐτὸς ἰδίως ἀνευρὼν συνέταξα, οἷς οἱ πεισθέντες ἀμετανόητον τὴν εἴσοδον κτήσονται. παρατηρητέον δὲ τοὺς ἀφετικοὺς καὶ ἀναιρετικοὺς τόπους, τίνων ἀστέρων ζῳδίοις ἢ καὶ ὁρίοις ἔτυχον· ἐκ γὰρ τούτων αἵ τε αἰτίαι καὶ οἱ θάνατοι καταλαμβάνονται κατὰ τὰς φυσικὰς αὐτῶν ἐνεργείας. χρὴ οὖν σκοπεῖν, τίς ὑπὸ τίνος κακοῦται ἢ βοηθεῖται ἢ καὶ συμπαθὴς ἢ ἀλλότριος τυγχάνει ὅπως τε αἱ πρὸς ἀλλήλους σχηματογραφίαι κατὰ γένεσιν τυγχάνουσι καὶ κατ' ἐπέμβασιν καὶ κατὰ τὰς τῶν χρόνων παραλήψεις. καὶ περὶ μὲν ζῳδιακῶν καὶ μοιρικῶν ὡρῶν καὶ χρηματιζουσῶν μοιρῶν πολὺς ἡμῖν ὁ λόγος ἔμπροσθεν δεδήλωται τὴν ἁρμονίαν ἐχουσῶν εἰς τὸν περὶ ζωῆς χρόνον πολυμερῶς καὶ ποικίλως, καὶ εἰ μὴ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κατὰ τὰς αὐτὰς μοίρας ἢ κατὰ τὰ αὐτὰ ζῴδια τὴν κατάληξιν ἐχουσῶν τὴν αὐτὴν καὶ συνεγγίζουσαν, ὅπερ σπάνιον καὶ δύσπιστον παρὰ πολλῶν νομίζεται, ἀλλὰ τῷ κοσμικῷ περιπολήματι πάντα δυνατὰ καὶ ἐφικτὰ καὶ σεμνὰ καὶ ἀληθινὰ τυγχάνει καὶ χωρεῖ ἐπὶ τοσοῦτον διὰ μυρίων καὶ ποικίλων ἀγωγῶν, ἐφ’ ὅσον ἂν ζητῶν τις εὑρίσκῃ οὐ διὰ πλάνων ἀλλὰ φυσικῆς δημιουργίας. καὶ γὰρ αὐτὸς ὁ κόσμος ἀπλανὴς τυγχάνει καὶ ἃ κέκτηται ἀγαθὰ καὶ σεβάσμια ἡμέρας καὶ νυκτὸς προφανῆ πᾶσι δείκνυται ἀφθόνως· καὶ βλεπόμενα μὲν οὖν οὐ καταλαμβάνεται, συνέσει δὲ νοούμενα γινώσκεται, καθὼς ἕκαστα ὑπολαμβάνει. ἐκ τούτου δὲ τὸ μὲν ὁρώμενον καὶ γινόμενον καὶ λεγόμενον καταληπτὸν ὂν καὶ αὐτὸς μετέλαβον παραπεμψάμενος, τίνες ἂν εἴησαν καὶ πόθεν καὶ πῶς· ἕτεροι γὰρ περὶ τῶν τοιούτων ἀπείρους λόγους ἐποιήσαντο. ἀλλ’ ἄγε ἐκ παρατηρήσεως χρόνων εὑρεθέντα καὶ δοκιμασθέντα συγκρίνας καὶ μύστης γενόμενος συνέταξα δοκῶν κόρον ἐν ταῖς γραφαῖς τεθεικέναι ἀρχήν, ἀνατυποῦμαι καὶ οὐ διαλιμπάνω κάμνων μεθ’ ἡδονῆς· ἄγει γάρ με ἡ τῶν κοσμικῶν δημιουργία καὶ ἡ τῶν ζητουμένων ἀνεύρεσις περιπλέκουσα καινοτέροις θεωρήμασιν.

260 〈θʹ.〉 Εὕρεσις σπορίμης Σελήνης καὶ ὡροσκόπο υ . Ψηφίζεται ἡ Σελήνη ἐπὶ πάσης γενέσεως μήκει καὶ πλάτει, καὶ σκοποῦμεν εἰς ποῖον ζῴδιον ἐκπίπτει τὸ πλάτος τῆς Σελήνης· ὅπου δ’ ἂν εὕρωμεν, ἐκεῖ ἕξει τὴν σπορίμην Σελήνην. πάντοτε γὰρ ἐπὶ πάσης γενέσεως τῆς ἐκτροπῆς τὸ πλάτος ἐκπίπτει ἐπὶ τὴν σπορίμην Σελήνην ἐπὶ τὴν αὐτὴν μοῖραν, ἣν καὶ εἶχεν ἐπὶ τῆς σπορᾶς· οὐ γὰρ δυνατὸν πληρωθέντος τοῦ χρόνου ὑπερβῆναι τὴν Σελήνην τὸν ἴδιον σκοπόν. ἀνάδραμε γὰρ τὰς ἡμέρας καὶ στήσας τὴν Σελήνην ἐπὶ τὴν μοῖραν ἴδε, πῶς γέγονεν ἡ προγενομένη σύνοδος, καὶ ἀπ’ αὐτῆς προτίθει τὰς ἡμέρας καὶ γνώσῃ, ποίᾳ ἡμέρᾳ καὶ ὥρᾳ συνελήφθη καὶ πότερον μηνῶν ηʹ ἢ ιʹ ἐγένετο ὁ γεννηθείς. Ἐὰν γὰρ ὁ σπόριμος Ἥλιος ὑποδείγματος χάριν ἐν Κριῷ ᾖ τῆς Σελήνης φερομένης ἀπὸ συνόδου ἄχρι μοιρῶν ρκʹ, ἕξει τὴν τελείαν σποράν (οὐ γὰρ δυνατὸν ὑπερβῆναι τὰς ρκʹ μοίρας διὰ τὸ ἐν αὐταῖς πληροῦσθαι τὸν τέλειον ὡροσκόπον τῶν σοʹ μοιρῶν) καὶ γίνεται ἐν τῷ δεκάτῳ μηνί. ἐὰν οὖν ὑπερβῇ τὰς ρκʹ μοίρας, πάντοτε τοῖς θʹ προστίθει εἰς τὰς ἡμέρας καὶ ἐπικεφαλαιώσας ἐπιγνώσῃ, πόσαις ἡμέραις συνελήφθη. πάντοτε οὖν θηρεύσας τὴν μοῖραν τοῦ πλάτους ἴδε, διὰ πόσων ἡμερῶν καὶ ὡρῶν ἡ Σελήνη ἐπέχει ἐπὶ τὸν αὐτὸν σκοπόν· ὥσπερ γὰρ τροχὸς κυλιόμενος ἐνέκοψεν ἐπὶ τὴν ἰδίαν ἐλθοῦσα ἐποχήν. Ταῦτα μὲν οὖν συνέταξα οὐ ποιητικῶς, ὥς τινες ἢ ἐπακτικὴν ἀκρόασιν πράσσουσι τῇ τῶν λόγων συνθήκῃ ἢ καὶ μέτρου ἁρμονίᾳ θέλγοντες τοὺς ἀκούοντας μυθώδεις καὶ ἐπιπλάστους ἐπιφερόμενοι σκοτεινολογίας. ἐγὼ δὲ οὐ λόγῳ καλῷ χρησάμενος, πολλὰ δὲ καμὼν καὶ παθὼν αὐτόπτης γενόμενος τῶν πραγμάτων δοκιμάσας συνέγραψα. τὸ γὰρ παθεῖν τοῦ ἀκούειν βέλτιον καὶ ἀληθέστερον ὑπάρχει· ὁ μὲν γὰρ ἀκούσας δύσπιστον καὶ ἀμφίβολον τὴν χρῆσιν ἔχει, ὁ δὲ πεπονθὼς παρεὶς πολλὰ καὶ μεμνημένος ἐκύρωσε τὸ πάσχον. ἀλλὰ φυσικῶς τινες βάσκανοι καὶ φιλόνεικοι καὶ ἐναντιόβουλοι ὑπάρχοντες ῥᾳδίως ἁλίσκονται καὶ τιμωροῦνται, φύσις δὲ ῥυθμισθῆναι μὲν οὐ δύναται, ἀναγκασθεῖσα δὲ μετὰ αἰδοῦς καὶ λύπης πραΰνεται, ἐλεγχομένη δὲ ἀγανακτεῖ καὶ τολμηροτέρα γίνεται ἐρεθιζομένη.

261 καὶ μάλιστα ἐπὶ τῶν νέων ἔστι συνιδεῖν, ὡς ἄλλο τὸ πράσσειν οἴονται καὶ τὴν ἐξουσίαν αὐτῶν διαδιδόασι τοῦ τε φαύλου καὶ ἀγαθοῦ καὶ πρὸς τὸ θέλον φερόμενοι βιάζονται ἄρχειν τε καὶ ἀντιπράσσειν 〈καὶ〉 πρὸς πάντα θρασύνεσθαι φίλων τε γένους ἀλλότριοι γινόμενοι ἐχθροῖς ἥδονται, βουκολοῦντες δὲ τὸ μέλλον πάντων καταφρονοῦσι χαίροντες ἐπὶ τοῖς ἀλλοτρίοις κακοῖς, ὡς καὶ καθ’ ἑαυτῶν ἐπιβάλλεσθαι καὶ ἐπικίνδυνον εὔξασθαι διὰ τοὺς ἐχθροὺς κακίαν. τοὐναντίον δὲ πάσχουσιν ὀδυνώμενοι μάτην θεούς τε μὴ τιμῶντες τὸν θάνατον οὐ φοβοῦνται, ἄγονται δὲ ὑπὸ τοῦ δαίμονος· τῶν δὲ τοιούτων καὶ τὸ τέλος αἰφνίδιον καὶ ἐπισφαλὲς καὶ ὁ βίος εὔθραυστος. βέλτιον οὖν ἐστι κατὰ τὸ δυνατὸν ἑκόντας ἀνθρώπους ἀποθέσθαι μὲν ἀπὸ τῆς ψυχῆς ὑψηλὸν αὐχένα καὶ μὴ θρασύνεσθαι, μεταμφιασαμένους δὲ τὸν λογισμὸν ἐκδότους

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἑαυτοὺς παρέχειν· οὐδεὶς γὰρ ἐλεύθερος, πάντες δὲ δοῦλοι τῆς εἱμαρμένης πεφύκασιν, ᾗ κατακόλουθοι γενόμενοι ἀτάραχοι μὲν καὶ ἀλύπητοι κατὰ τὸ ὅσιον διεξάγουσι προγεγυμνακότες θαρραλέαν τὴν ψυχήν. ἂν δέ τις ἀληθινὸν ἀναλαβὼν φρόνημα τὴν ἐξουσίαν τῶν πρασσομένων ἑαυτῷ ἀπονέμῃ, ἐλεγχόμενος ὑπὸ τοῦ μὴ δύνασθαι καὶ μάτην καταγέλαστος γενόμενος μιμήσεται τὸν τραγικὸν Εὐριπίδην λέγων· ἄγου δέ μ ’ ὦ Ζεῦ καὶ σύ γ ’ ἡ πεπρωμέν η , ὅποι πο θ ’ ὑμῖν εἰμι διατεταγμένο ς , ὡς ἕψομαί γε κἂν ὀκνῶ · κἂν μὴ θέλ ω , κακὸς γενόμενος αὐτὸ τοῦτο πείσομα ι. ἀλλ’ ἐπὶ παντὶ εἴδει λογικῷ τε καὶ ἀλόγῳ τέχνης καὶ ἐπιτηδεύσεως ἢ καὶ ἄλλης ἡσδηποτοῦν αἰτίας Νέμεσις χαλιναγωγὸς ἔπεστι, κατὰ τὸν μυθικὸν λόγον πῆχυν κατέχουσα, μηδὲν πράσσειν ὑπὲρ τὸ μέτρον ἐμφαίνουσα, καὶ τροχὸν ὑποκείμενον τῷ σφυρῷ κέκτηται σημαίνουσα τὰ λεγόμενα ἄστατα καὶ ἀβέβαια τυγχάνειν, ἐπεὶ καὶ ὁ τροχὸς εἰς ἑαυτὸν ἀνακυκλούμενος ἀστήρικτος ὑπάρχει.

262 τὸν αὐτὸν τρόπον καὶ ψέγοντες καὶ μεγαλαυχοῦντες παλίνδρομον τὴν διάνοιαν κτησάμενοι καὶ ἀμετανόητον λογισμὸν τοῖς αὐτοῖς πάθεσι περιπεσόντες ἐν ἱδρῶσι διάγουσι μὴ δυνάμενοι τυχεῖν, ὧν προτέρως μὲν καταφρονοῦντες ἐξ ὑστέρου δὲ θελήσαντες ἐσφάλησαν. Οὐεττίου Οὐάλεντος ἀνθολογιῶν βιβλίον ϛʹ τετέλεστα ι . Liber VII.

263 (1t) Οὐεττίου Οὐάλεντος Ἀντιοχέως ἀνθολογιῶν βιβλίον ἕβδομον. Προοίμιο ν . Χρὴ μὲν οὖν πρὸ πάντων καὶ περὶ ταύτης τῆς βίβλου ὅρκον προτάξαι τοῖς ἐντυγχάνουσιν, ὅπως πεφυλαγμένως καὶ μυστικῶς ἔχωσι τὰ λεγόμενα· ποικίλως γὰρ καὶ ἀκολούθως τὰς προκειμένας αἱρέσεις ἐθέμην εἰς προτροπὴν καὶ ἀγωγὴν φιλόκαλον πολλὴν δύναμιν ἐχούσας, ὅπως ἀπὸ τῶν ἐλαχίστων ἐπὶ τὰ μείζονα τὴν ἐπιθυμίαν ἐπεκτείνωσι καὶ μὴ διαλιπόντες ψόγον καθ’ ἡμῶν οἴσονται. βέλτιον οὖν ἐστι προγυμνασθέντας ταῖς συντεταγμέναις ὑφ’ ἡμῶν βίβλοις ἐπὶ ταύτας ἐλθεῖν· ἐκ γὰρ τῶν καθολικῶν καὶ μερικῶν συγκρίσεων ἄπταιστος ἡ διαίρεσις καὶ σεβάσμιος κριθήσεται. καὶ καθάπερ ἂν εἴς τινα ἀκρώρειαν διὰ βαθμῶν καὶ περικαμπῶν τόπων ἀνελθών τις μετὰ πολλοῦ πόνου καὶ εὑρὼν ναοῦ κατασκευὴν καὶ πολυτέλειαν ἀγαλμάτων χρυσοῦ τε καὶ ἀργύρου ἠ δ ’ ἐλέφαντος καί τινα ἁλουργήματα ἀμετανόητον καὶ ἀκοπίατον ἡγεῖται τὴν ἄνοδον καὶ μεθ’ ἡδονῆς θρησκεύει φαντασιούμενος οὐρανίοις θεοῖς προσομιλεῖν, τὸν αὐτὸν τρόπον καὶ οἱ ταῖς παραγγελίαις ἡμῶν πειθόμενοι· οὓς ὁρκίζω Ἡλίου μὲν ἱερὸν κύκλον καὶ Σελήνης ἀνωμάλους δρόμους τῶν τε λοιπῶν ἀστέρων δυνάμεις καὶ κύκλον δυοκαίδεκα ζῳδίων ἐν ἀποκρύφοις ταῦτα ἔχειν καὶ τοῖς ἀπαιδεύτοις ἢ ἀμυήτοις μὴ μεταδιδόναι τιμήν τε καὶ μνήμην τῷ εἰσηγησαμένῳ ἀπονέμειν. εὐορκοῦσι μὲν εὖ εἴη καὶ καταθύμιοι οἱ προκείμενοι θεοί, ἐπιορκοῦσι δὲ τὰ ἐναντία. 〈αʹ.〉 Ἀγωγὴ περὶ χρόνων ἐμπράκτων καὶ ἀπράκτων καὶ ζωῆς πρός τε τὸν οἰκοδεσπότην καὶ τὰς ἀναφορὰς καὶ τὸν ὡροσκόπο ν . Ἐπεὶ οὖν 〈ἐν〉 τοῖς ἔμπροσθεν περὶ τῶν ἀναφορῶν ἐδηλώσαμεν, ὡς δύναμιν ἔχουσι περὶ τὰς τῶν χρόνων αἱρέσεις, ἀναγκαῖον καὶ νῦν ἐπιδιασαφῆσαι.

264 ἐπὶ πάσης γενέσεως ἀκριβῶς τῶν ἀστέρων ἐκτεθέντων σκοπεῖν δεήσει τὸν οἰκοδεσπότην, πῶς ἐσχημάτισται ἢ ὑπὸ τίνων μαρτυρεῖται καὶ εἰ ἀνατολικὸς ἢ δυτικὸς καὶ εἰ οἰκεῖον σχῆμα ἢ ἀλλότριον τῆς αἱρέσεως κέκτηται, τόν τε τούτου ἐπίκοινον καὶ τὸν κλῆρον τῆς τύχης καὶ τὸν κύριον συνορᾶν, ὁμοίως δὲ καὶ τὸ μέγεθος τῆς γενέσεως. Ἐὰν γάρ πως ἐπίκεντρος ἢ χρηματίζων εὑρεθῇ ὁ οἰκοδεσπότης, αὐτὸς ἄρξει τῶν χρόνων, εἶτα ἑξῆς οἱ μετ’ αὐτόν. ἐὰν δὲ ἐν τῷ αὐτῷ ζῳδίῳ ὦσι, κατὰ τὰς μοίρας λογιστέον, ἐπεί τοι γε οἱ ἀνατολικώτεροι ** . προηγουμένως δὲ συνορᾶν χρὴ τὸ ὡροσκοπικὸν κέντρον τόν τε τούτου οἰκοδεσπότην ὅπως ἐσχημάτισται· ἐὰν γὰρ αὐτοῦ τύχῃ παρὼν ἢ οἰκείως ἐν ἑτέρῳ, ἀγαθὸς πρὸς τοὺς ζωτικοὺς χρόνους καὶ πρὸς τὰ τῆς ψυχῆς ἐνεργήματα· εἰ δὲ ὑπὸ δύσιν τύχῃ ἢ ἐναντίος ἢ ἀνοικείως σχηματισθῇ, χαλεπός. ἢ γὰρ τὴν τοῦ ὡροσκοποῦντος ζῳδίου ἀναφορὰν ἢ τὴν ἐφ’ οὗ πάρεστιν ἢ τὴν οὗ τὸ ζῴδιόν ἐστιν [ἢ τὴν] περίοδον τελέσας ἀπολείπει τοὺς χρόνους· ποιεῖ δὲ καὶ οὕτω

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τυχὼν ὀλιγοχρονίους ἢ καὶ ἀντὶ ἐτῶν μῆνας ἢ ἀντὶ μηνῶν ἡμέρας παρέχει. ἐὰν δὲ ὁ κύριος μὲν τοῦ ὡροσκόπου μὴ συμπαρῇ, ἕτερος δέ, ἐκεῖνος ἄρξει τῶν χρόνων· ἂν δὲ καὶ ἕτεροι συμπαρῶσι, κἀκεῖνοι συμμεριοῦσι, πρότερος μέντοι ὁ ἀνατολικώτερος ἢ οἰκειούμενος τῷ ζῳδίῳ. ὅμοια δὲ ἀποτελέσματα ἔκ τε τῆς τοῦ ἀστέρος καὶ ἐκ τῆς τοῦ ζῳδίου φύσεως καταληφθήσεται. εἰ δέ πως ἐν τῷ κέντρῳ μὴ εὑρεθεῖεν, προανηνεγμένοι δέ, πρὸς ὀλίγον ἄρξουσι τῶν χρόνων ἢ καὶ ὅσον τοῦ ζῳδίου μέρος κατὰ τὰς μοίρας διώδευσαν, ἀφελοῦσιν ἐκ τῶν ἰδίων ἀριθμῶν καὶ ἀναφορῶν. Μετὰ δὲ τὸ ὡροσκοπικὸν κέντρον θεωρεῖν δεῖ τὸ μεσουράνημα ὁμοίως καὶ τὸν τούτου κύριον συγκρίνειν καὶ ἑξῆς τὸ δῦνον, μεθ' ὃ τὸ ὑπόγειον. ἐὰν δέ πως ἐπὶ τῶν κέντρων μὴ εὑρεθῶσι, τὴν ἐπὶ τῶν ἀναφορῶν ἡγεμονίαν σκοπητέον· ἐὰν δὲ μηδὲ οὕτως τύχωσιν οἱ ἀστέρες ἐπιπαρόντες, τοὺς ἐν τοῖς ἀποκλίμασι συνορᾶν χρή· εἰ γὰρ καὶ μὴ τοσαύτην δύναμιν κέκτηνται πρός τε τὰς πράξεις καὶ τοὺς τελείους χρόνους, πλὴν ἐνεργήσουσιν. ἀναγκαῖον δὲ καὶ τὴν τῆς Σελήνης συναφὴν ἢ ἐπιμαρτυρίαν καὶ τὸν τοῦ ζῳδίου κύριον συνθεωρεῖν· ἐὰν γάρ πως ἐπίκεντρος εὑρεθῇ αἱρέσεως σχῆμα ἔχων, οὗτος ἄρξει τῶν πρώτων χρόνων, μεθ' ὃν οἱ ἐπικεντρότεροι ἢ φάσιν πεποιημένοι· οἱ μέντοι ἀνατολικώτεροι τῶν ἀπεράτων διοίσουσι.

265 Τούτων οὕτως κατ' ἐξέτασιν ἠκριβωμένων λοιπὸν ἐνταῦθα ἀναγκαῖον προειδέναι τὴν καθολικὴν ὑπόστασιν τῆς γενέσεως, καὶ εἰς ποῖον μέγεθος ἢ ἐλάττωμα καταντᾷ, τούς τε βλάπτοντας καὶ ὠφελοῦντας ἀστέρας καὶ τίς τίνος τόπου ἢ εἴδους τὴν κυρίαν κεκλήρωται, οἷον πράξεως δόξης γυναικὸς τέκνων πατρὸς μητρὸς ἀδελφῶν καὶ τῶν λοιπῶν τῶν περὶ τὸ σῶμα καὶ ψυχὴν καὶ τὸν βίον ἀνηκόντων, ὧν ἐν τοῖς ἐπιμερισμοῖς πρόδηλα τὰ ἀποτελέσματα γίνεται. Ἀλλὰ περὶ μὲν τούτων ἐν τοῖς ἔμπροσθεν ἐδηλώσαμεν. πολλάκις δὲ οἱ αὐτοὶ ἀστέρες πολλῶν πραγμάτων δεσπόζουσιν, ἅτινα ἀποτελέσουσι κατὰ τοὺς ἰδίους χρόνους· κἂν ὁμόσε δὲ τύχωσιν ἐν τῷ αὐτῷ χρόνῳ, τὰ πράγματα προδηλώσουσι· γνωστέοι δὲ οἱ χρόνοι ἐκ τῆς τῶν ζῳδίων ἀναφορᾶς καὶ ἐκ τῆς ἑκάστου ἀστέρος περιόδου. ἐὰν μὲν οὖν ἐπίκεντροι τύχωσιν ἢ ἐπαναφερόμενοι, τὰς ἀναφορὰς καὶ τὰς ἑκάστου ἀστέρος περιόδους ὁλοκλήρους μερίζουσι· καὶ εἰ μὲν πλείων ἡ περίοδος εὑρίσκοιτο τῆς τοῦ ζῳδίου ἀναφορᾶς, ὁ τοὺς χρόνους ἔχων τὴν περίοδον μεριεῖ· εἰ δὲ ἡ ἀναφορὰ τῆς περιόδου πλείων, τὴν ἀναφορὰν μεριοῦμεν· ποτὲ δὲ τὰ ὁλόκληρα αὐτῶν ἔτη μερίσουσι. πολλοὶ δὲ ἅμα παρόντες, εἰ μὲν αἱ περίοδοι ἐκ πάντων ὑπερβάλλοιεν τὸ τῆς ἀναφορᾶς μέγεθος, τὰς περιόδους μερίζουσιν· εἰ δὲ ἐλάττους εὑρίσκοιντο αἱ περίοδοι τῆς ἀναφορᾶς, τὴν ἀναφορὰν μεριοῦσιν. *** ἀλλὰ οἱ λόγον πρὸς τὸ μερίσαν ἔχοντες ζῴδιον· οἱ γὰρ μὴ ἔχοντες λόγον ὥσπερ ἀπὸ τῶν ἀποκλιμάτων οὕτως μερίζουσι τὰ ἐλάχιστα. εἰ δέ τις ἰδιοπροσωπῶν ἢ ἄλλο τι οἰκεῖον ἔχων ζῴδιον τύχῃ, τὴν τοῦ ζῳδίου ἀναφορὰν μόνην μεριεῖ. Τὰ δ' ἀποτελέσματα γίνεται συμπεραιουμένων τῶν ἀναφορῶν ἢ τῶν περιόδων. ἐὰν δέ πως ἐν τοῖς ἀποκλίμασιν εὑρίσκωνται, οὔτε τὰς ἑαυτῶν ἀναφορὰς οὔτε τὰς περιόδους τελείας μερίζουσι. Χρὴ δὲ καὶ τοῦτο προγινώσκειν, ὅτι οὐ πάντοτε οἱ κακοποιοὶ βλαπτικοὶ τυγχάνουσιν, ἀλλὰ καὶ ὠφέλιμοι καὶ ζωῆς καὶ δόξης παραίτιοι, ὁμοίως δὲ καὶ οἱ ἀγαθοποιοὶ κινδύνων καὶ βλάβης παρεκτικοί· ἅπερ διὰ τῆς οἰκείας αὐτῶν σχηματογραφίας ἢ καὶ ἐναντιότητος προγινώσκεται. κατελαβόμην μὲν οὖν τοὺς κακοποιοὺς ἐκ πείρας ἐπὶ μὲν τῶν μετρίων καὶ ταπεινῶν γενέσεων ἀληθῶς κακοποιούς· ἀλλεπαλλήλοις γὰρ κακοῖς περιτρέπουσι, κἂν πρὸς ὀλίγον ἀγαθοποιοὶ βοηθεῖν δόξωσιν, ἀφαιροῦνται τὰ περικτηθέντα καὶ ἀπράκτους καὶ δυστυχεῖς κατασκευάζουσι· πλήν τινας εὐεκτοῦντας περὶ τὸ σῶμα καὶ ὀρεκτικοὺς περὶ τὰς γραφὰς καὶ ἀδιαφόρους καὶ ἱλαροὺς περὶ τὰς πράξεις καὶ μεθ' ἡδονῆς κοπιῶντας.

266 ἐπὶ δὲ τῶν μειζόνων πρακτικοὺς καὶ ἐπιδόξους καὶ περιποιητικούς· ἀλλ' ὅμως οὐδ' οὕτως λείπονται τῆς οἰκείας αὐτῶν φύσεως· ἕξουσι γὰρ τὸ τολμηρὸν καὶ ἐπίφοβον καὶ τυραννικὸν καὶ τὸ πλεονεκτικὸν καὶ τὸ ἀναιρετικὸν καὶ τὸ ἀλλοτρίων ἐπιθυμεῖν καὶ παρανόμοις καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βιαίοις πράγμασι μολύνεσθαι τό τε καθαιρετικὸν τῆς δόξης καὶ τὸ εὐμετάβολον τῆς τύχης. ὅθεν οὐδὲ τὰς ἀρχὰς οὐδὲ τὰς ἡγεμονίας οὐδὲ τὸν βίον ὁμαλῶς διευθύνουσι, θορύβοις δὲ καὶ ἐπιβουλαῖς περιπίπτουσι πολέμοις τε καὶ ὄχλων ἐπαναστάσεσι καὶ ὕβρεσι. Συμβαίνει δὲ πολλάκις καὶ ἐπί τινων γίνεσθαι λοιμούς, ἐμπρησμούς, ἀφορίας καρπῶν, κατακλυσμούς, σεισμοὺς κατὰ τὴν ἑκάστου κακοποιοῦ σχηματογραφίαν. ὅθεν καὶ ἃ ἕτεροι ἐνεδείξαντο αὐτοῖς πάσχοντες ἀνιαρῶς διάγουσι καὶ θανάτοις δὲ βιαίοις ἢ ἀπροσδοκήτοις περιπεσόντες ἀπέτισαν δίκας· τῶν δὲ τοιούτων καὶ ἡ τύχη μυθώδης καὶ τὸ τέλος πολυθρύλλητον γίνεται. Ἵνα δὲ συντόμως τὴν ἀπόδειξιν ποιησώμεθα, ὁποῖον ἂν σχῆμα ἐπὶ γενέσεως οἱ ἀστέρες εὑρίσκωνται ποιούμενοι πρὸς ἀλλήλους, ἤτοι ἀγαθὸν ἢ φαῦλον κατὰ τὴν ὑπόστασιν τῆς καταβολῆς, ἐκεῖνο ἀποτελέσουσι τῶν χρόνων δεσπόζοντες. οἱ μέντοι καθυπερτεροῦντες ἢ ἐναντιούμενοι δυναμικώτεροί εἰσιν, εὐτονώτεροι δὲ καὶ βεβαιότεροι πρὸς ἀποτέλεσμα οἱ ἐν οἰκείοις καὶ ἐπικαίροις ζῳδίοις ὄντες καὶ οἱ τῶν χρόνων δεσπόζοντες. τὸ μέντοι Κρόνου καὶ Διὸς διάμετρον πρακτικὸν καὶ ὠφέλιμον διαλαμβανέσθω καὶ μάλιστα ἐν τοῖς οἰκείοις ζῳδίοις, ἐάνπερ μὴ ἀναλύηται ὑπὸ ἑτέρας κακωτικῆς δυνάμεως· ὁμοίως δὲ καὶ ἡ Διὸς καὶ Ἄρεως σχηματογραφία, ἐὰν 〈ἐν〉 οἰκείοις τύχῃ, ἀγαθή· καὶ ἕτερος δὲ ἐν ἑτέρου ζῳδίῳ παρὼν καὶ λόγον ἔχων πρακτικὸς καὶ ὠφέλιμος ἐν τοῖς ἐπιβάλλουσι χρόνοις. χρηματίσει δὲ καὶ ἕκαστος ἀστὴρ συντελειουμένης τῆς ἰδίας μεγίστης περιόδου. 〈β′.

267 〉 Ἀγωγὴ δευτέρα περὶ χρόνων διαιρέσεως πρὸς τὰς τῶν ζῳδίων ἀναφορὰς καὶ τὰς τῶν ἀστέρων περιόδου ς . Τῶν μὲν οὖν καθολικῶν χρόνων κατὰ σύγκρισιν προκειμένων λεπτομερεστέραν διαίρεσιν ἐκ πείρας καὶ πόνου ἐξηρευνημένην ὑποτάξω. προλέγω δὲ πᾶσι τοῖς τὰ βέλτιστα μετιέναι βουλομένοις καὶ μάλιστα ταῖς ἡμετέραις αἱρέσεσιν ἢ καὶ τοῖς πολυχρονίαν νόσον τοῦ μαθήματος ἀνίατον κτησαμένοις νηπτικῶς περὶ τὴν ἀγωγὴν φέρεσθαι καὶ μὴ παρέργως μηδεμιᾷ αἱρέσει χρησαμένους ἀποφαίνεσθαι. πολλάκις γὰρ μιᾷ μὲν συνδραμοῦσα τὸν χρόνον ἀγαθόν τε ** ἐσήμανεν (ὅπερ καὶ γενήσεται, ἐὰν μόνη τῶν χρόνων κυριεύσῃ)· ἐὰν δὲ καὶ ἄλλαι κακοποιῶν συνδράμωσιν, οὐ μόνον τὸ ἀγαθὸν ἀνέτρεψαν, ἀλλὰ καὶ φαύλων παραίτιοι γεγόνασι. κἂν μὲν εὔτονος ἡ τῶν ἀγαθοποιῶν χρονογραφία κατὰ τὴν γένεσιν τύχῃ, πρᾶξις ἢ δόξα γενήσεται μετ᾽ ἐναντιωμάτων καὶ ἀναλωμάτων· ἐὰν δὲ ἡ τῶν κακοποιῶν, ἀπραξίαι καὶ ζημίαι καὶ θόρυβοι παρακολουθήσουσι, μέχρις ἂν ἡ τῶν ἀγαθοποιῶν χρηματίσῃ. πολλάκις μὲν οὖν ἀστὴρ ἔν τινι ζῳδίῳ ὑπάρχων καὶ συντελέσας ἰδίαν περίοδον ἢ τὴν τοῦ ζῳδίου χρονογραφίαν καὶ δοκῶν ἀπολείπειν τοὺς χρόνους *** συναρμοζόμενος καὶ ἑτέρου ἀποτελέσματος αἴτιος καθίσταται ἢ καὶ ἐν τοῖς αὐτοῖς πράγμασι διακατέχει τὴν γένεσιν. προσπαραληπτέον δὲ καὶ τὰς ἑξαγώνους πλευράς, καὶ μάλιστα ὅταν μόναι χρηματίζωσιν, ὡς εὐτόνους καὶ εὐεργετικάς. ἐπὶ μέντοι τῶν νηπίων γενέσεων χρὴ τοὺς χρόνους τῶν μαρτυριῶν λογίζεσθαι, πρῶτον ἡμέρας, εἶτα αὐτὰ τὰ ἔτη. Ὡς ἐπὶ ὑποδείγματος δὲ γενέσεις ὑποτάξωμεν, ἃς μετὰ ἀκριβείας ἐδοκιμάσαμεν ἔν τισιν ἀποτελέσμασι καὶ ὡς παρέτυχον. οἷον ὑποδείγματος χάριν Ἥλιος Σελήνη Ἑρμῆς Τοξότῃ, Κρόνος Καρκίνῳ, Ζεὺς ὡροσκόπος Σκορπίῳ, Ἄρης Αἰγόκερῳ, Ἀφροδίτη Ὑδροχόῳ, κλῆρος τύχης Σκορπίῳ· κλίμα δεύτερον. τῷ λγ′ ἐφυγαδεύθη· ἡ γὰρ τοῦ ζῳδίου ἀναφορά, ἐν ᾧ ἦν Κρόνος, ἐναντιουμένου Ἄρεως καὶ ἑξάγωνος Σελήνης στάσις πρὸς Ἀφροδίτην 〈ἐπιβουλὴν〉 ἐδήλου διὰ θηλυκῶν προσώπων κατὰ τὰ λγ′ ἔτη. καὶ τῷ μὲν κζ′ ἔτει ἔσχε κίνδυνον διὰ τὸν Αἰγόκερων καὶ τῷ λ′ ἔτει καὶ τῷ μ′ σωματικὰ πάθη περὶ τὰς ὄψεις καὶ τοὺς πόδας· Καρκίνου γὰρ περίοδος κε′ καὶ Ἄρεως ἐναντιουμένου ιε′.

268 καὶ ἕως μὲν μβ′ ἡ τοῦ Ἄρεως περίοδος καὶ ἡ τοῦ Αἰγόκερω ἀναφορὰ ἐχρημάτισεν, ἐν οἷς πολλὰ αἴτια ἐγένετο· ὅθεν ὁρικῶς ἐπὶ τῶν τοιούτων σχημάτων προλέγειν χρή, ἐὰν μή πως ἀκτὶς ἀγαθοποιῶν συνδραμοῦσα τὰ πολλὰ τῶν φαύλων ἐκκόψῃ. Ἄλλ η. Ἥλιος Ἀφροδίτη Ζυγῷ, Κρόνος Κριῷ, Ζεὺς Ταύρῳ, Ἄρης Ἑρμῆς Παρθένῳ, Σελήνη Τοξότῃ, ὡροσκόπος Ζυγῷ· κλίμα γ′.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῷ λθʹ ἔτει ἐφυγαδεύθη. τοῦ Κριοῦ ἀναφορὰ κʹ· ἐκεῖ Κρόνος, καὶ Ἡλίου διαμετροῦντος ιθʹ· ἠναντιώθησαν γὰρ ἀμφότεροι τοῖς ἰδίοις ὑψώμασιν. ἔσχε μὲν οὖν καὶ ἐν τοῖς ἔμπροσθεν χρόνοις κλιμακτῆρας, ἀλλὰ πρὸς σύγκρισιν τῆς προκειμένης γενέσεως (ἔστι γὰρ ἀδελφός) παρεφυλάξαμεν τὸ λθʹ ἔτος· θαυμάζειν οὖν δεῖ τὴν φύσιν, ὅτι ἐπὶ τὸ αὐτὸ συνήγαγεν τοὺς χρόνους, καίτοι ἐν διαφόροις κλίμασι γεννηθέντων. Ἄλλ η. Ἥλιος Ἑρμῆς ὡροσκόπος Τοξότῃ, Σελήνη Καρκίνῳ, Κρόνος Λέοντι, Ζεὺς Αἰγόκερῳ, Ἄρης Ὑδροχόῳ, Ἀφροδίτη Σκορπίῳ· κλίμα βʹ. τῷ λδʹ ἔτει γυναικὸς θάνατος, τοῖς Λέοντος ιθʹ καὶ Σκορπίου ιεʹ ἢ αὐτοῦ τοῦ Ἄρεως· ἀμφότεροι δὲ οἱ κακοποιοὶ ἐμπεριέσχον τὴν Ἀφροδίτην. τῷ δὲ λϛʹ ἔτει διὰ τὴν αἰτίαν τοῦ θανάτου τῆς γυναικὸς ὡς ἐπιβουλευθείσης ἔμελλε κινδυνεύειν ἐπὶ βασιλέως κατηγορηθείς, πλὴν ἐφυγαδεύθη· τὰ γὰρ λϛʹ ἔτη ἀναφορὰ Λέοντος, ὁμοίως δὲ καὶ Σκορπίου, ἔνθα ἔτυχεν Ἀφροδίτη καθυπερτερουμένη ὑπὸ Κρόνου. ἔμελλε δὲ καὶ φιλανθρωποτέρα χρονογραφία γίνεσθαι τῷ λζʹ ἔτει, Διὸς ιβʹ καὶ Σελήνης κατὰ διάμετρον κεʹ. πολλαὶ μὲν οὖν καὶ ἄλλαι ἐπὶ τῶν παρῳχημένων καὶ μελλόντων ἐχρημάτιζον, ἀλλ᾽ ἃς αὐτὸς ἀκριβέστερον ἐπέγνων καὶ αἷς παρέτυχον, ἐκείνας ἀναγκαῖον ἡγησάμην προτάξαι. Ἄλλ η. Ἥλιος Ἄρης Ἀφροδίτη Τοξότῃ, Σελήνη Ζυγῷ, Κρόνος Διδύμοις, Ζεὺς Παρθένῳ, Ἑρμῆς Σκορπίῳ, ὡροσκόπος Αἰγόκερῳ. τῷ ιθʹ ἔτει πατρὸς βιαιοθανασία καὶ αὐτὸς ὀφθαλμοὺς πονήσας ἐπηρώθη· ἐν δὲ τῷ αὐτῷ ἔτει ἐξενίτευσε καὶ κίνδυνον κατὰ θάλασσαν ἔσχε· ἐχρημάτισε γὰρ Ἡλίου περίοδος συνόντος Ἄρεως καὶ διαμετροῦντος Κρόνου. τῷ δὲ κʹ ἔτει χρησμῷ θεοῦ ἀγωγῇ καὶ χρίσμασιν ἀνέβλεψε· ἐχρημάτισε μὲν γὰρ τότε Κρόνος τῶν [δὲ] Διδύμων τὰ κʹ δόντων, ὅθεν καὶ πολλὰ κακὰ ἔπαθε· καὶ ἡ Παρθένος τὰ κʹ ἐδήλου Διὸς ἐπόντος, ἢ Διὸς ιβʹ καὶ τῆς κατὰ τετράγωνον Ἀφροδίτης ηʹ γίνεται κʹ.

269 [καὶ] πρὸς πολλοὺς οὖν ἀστέρας ὁ χρόνος ἐχώρησε, πλὴν δυναμικοὶ οἱ χρηματίζοντες· οἱ δὲ συμπαρόντες ἢ μαρτυροῦντες ἥττονες εἰς τὸ εὐεργετεῖν ἢ κακοποιεῖν, ἀλλ᾽ ὅμως σθένουσι, καὶ μάλισθ᾽ ὅταν καθὼς προείπομεν συναιρετιστοῦ ζῴδιον ἢ ὕψωμα ἢ τρίγωνον ἔχωσι. τὴν αὐτὴν οὖν δύναμιν ἔσχον οἱ ἀγαθοποιοὶ καὶ οἱ κακοποιοὶ [οἱ] ἐν ἀποκλίμασι τετευχότες, ἐνεργέστερος δὲ Ζεὺς ζῳδίῳ καὶ τόπῳ περὶ θεοῦ καὶ ξένης· ἄλλως τε καὶ ἐὰν ἐν ἰσαναφόροις ζῳδίοις ἢ ὁμοζώνοις εὑρεθῶσιν, εἰσὶν εὔτονοι ὡς κατὰ μαρτυρίαν, καὶ μάλισθ᾽ ὅταν ἐπίκεντρα ἢ χρηματίζοντα 〈τὰ〉 ζῴδια εὑρεθῇ. Ἄλλ η. Ἥλιος Ζεὺς ὡροσκόπος Καρκίνῳ, Σελήνη Τοξότῃ, Κρόνος Διδύμοις, Ἄρης Ταύρῳ, Ἀφροδίτη Ἑρμῆς Λέοντι· κλίμα γʹ. ἐν ἐπισήμῳ τάξει στρατευσάμενος κατηγορίᾳ περιπεσὼν τῷ ληʹ ἔτει καθῃρέθη τῆς δόξης. ἐχρημάτισε γὰρ ἡ ἀναφορὰ τοῦ Ταύρου κγʹ καὶ Ἄρεως περίοδος ιεʹ, γίνονται ληʹ, ἀλλὰ καὶ ἑξάγωνος πλευρὰ Κρόνου καὶ Ἀφροδίτης ληʹ. ἀπὸ μὲν οὖν τοῦ λζʹ ἔτους φθόνους καὶ ἐναντιώματα ὑπέμεινε· Σελήνη γὰρ τὰ κεʹ ἐδήλου καὶ Τοξότης τὰ ιβʹ· γίνονται λζʹ, ἐναντιουμένου Κρόνου· ἀλλὰ καὶ Καρκίνος κεʹ καὶ Ζεὺς ιβʹ, ὅθεν μικρᾶς βοηθείας ἔτυχε. τῷ δὲ λθʹ ἔτει ἀπολογηθεὶς καὶ δεηθεὶς οὐδὲν ἴσχυσε κατορθῶσαι· Ἑρμῆς γὰρ Λέοντι ὢν τὰς κʹ ἐμέρισε καὶ τοῦ ζῳδίου ιθʹ, καθυπερτερηθεὶς 〈δὲ〉 ὑπὸ τοῦ τὸ αἴτιον ἀποτελοῦντος ἥττων ἐγένετο. ἄλλως τε καὶ ἔμελλεν ἑτέρου ἐναντιώματος ἄρχεσθαι Κρόνος· Διδύμων ἀναφορὰ κηʹ καὶ Τοξότου ιβʹ· γίνονται μʹ· γέγονεν οὖν καὶ ἐν τούτοις τοῖς χρόνοις [καὶ] ἐν ξενιτείαις καὶ προδοσίας ἀπὸ γυναικὸς ἔσχε διὰ γραπτὰ καὶ ὑπόχρεως ἐγένετο καὶ ἐπὶ δούλοις ἐλυπήθη, ὧν μὲν δι᾽ ἀλλοτρίωσιν, ὧν δὲ διὰ φθορὰν καὶ ζημίαν· καὶ αὐτὸς δὲ σωματικῶς ὠχλήθη. ἐπὰν οὖν κακοποιῶν ὄντων τῶν χρόνων μέλλῃ τινὶ ὑπὸ ἀγαθοποιῶν ὑποφαίνεσθαι, οὐ παντελὴς μείωσις οὐδ᾽ ἀδοξία παρακολουθήσεται· προϋποσπείρονται γὰρ φιλίαι καὶ ἐλπίδες, δι᾽ ὧν ὁ γενόμενος εὐπαρηγόρητος καθίσταται. ὁμοίως δὲ ἐὰν ἀγαθοποιῶν ὄντων τῶν χρόνων μέλλῃ τι κακοποιὸν συντρέχειν, αἱ μὲν φιλίαι εἰς ἔχθρας συγκατατίθενται καὶ κατ᾽ ὀλίγον δὲ τοῦ βίου μείωσις γίνεται, τῆς δὲ δόξης καθαίρεσις κατασκευάζεται. ἐὰν δέ πως οἱ ἐν τριγώνοις ἢ

ἑξαγώνοις ἢ καθ’ ἑτέραν μαρτυρίαν χρηματίσωσιν ἀστέρες, ἐν δὲ τῷ ἑξῆς χρόνῳ μὴ συντρέχῃ ἑτέρα μαρτυρία, ἡ πρώτη διακρατήσει· ἢ κἂν ἐξ ὑστέρου οἱ αὐτοὶ ἀστέρες παραλάβωσι τὸν χρόνον, τὴν αὐτὴν δύναμιν τῶν ἀποτελεσμάτων ἐνδείξονται ἐν τοῖς αὐτοῖς πράγμασιν ἢ ταῖς αὐταῖς δόξαις διακρατοῦντες, μέχρις ἂν ἑτέρα δύναμις χρηματίσῃ.

270 Ἄλλ η. Ἥλιος Κρόνος Ζεὺς Ἑρμῆς Τοξότῃ, Σελήνη Καρκίνῳ, Ἄρης Παρθένῳ, Ἀφροδίτη ὡροσκόπος Ζυγῷ· κλίμα α′. τῷ ξθ′ ἔτει ἡγεμονίας κατηξιώθη καὶ ἐπίφοβος καὶ εὐφαντασίωτος γενόμενος καὶ ὑπὸ πολλῶν μακαρισθεὶς διεφθονήθη καὶ θορύβοις ὀχλικοῖς καὶ ταραχαῖς περιπεσὼν ἀτέλεστον τὴν ἀρχὴν ἐκτήσατο, ἐπωδύνοις νόσοις καὶ θανάτῳ προληφθείς· ἐχρημάτισε γὰρ τότε ἡ ἀναφορὰ τοῦ Ζυγοῦ λη′ κ′ καὶ ἡ τοῦ Καρκίνου λα′ μ′· γίνονται ξθ′· ἔνθα οἱ κακοποιοὶ ἐτύγχανον· ἀλλὰ καὶ Κρόνου λ′ καὶ Ἡλίου ιθ′ καὶ Ἑρμοῦ κ′ γίνονται ξθ′ καὶ πάλιν Παρθένου λη′ κ′, Διὸς ιβ′, Ἡλίου ιθ′ γίνονται ξθ′. πάντες οὖν οἱ ἀστέρες ἐχρημάτισαν καὶ ἕκαστος αὐτῶν κατὰ τὴν ἰδίαν φύσιν καὶ σχηματογραφίαν τὸ ἴδιον ἀπετέλεσεν. Ὅτι δὲ οἱ πλείους τῶν ἀστέρων ἢ καὶ πάντες κατὰ τὸν αὐτὸν χρόνον δύνανται ἐνεργεῖν πρὸς τὰ ἀποτελέσματα, ἐκ τούτων ἔστι συνιδεῖν. εὑρίσκομεν ἐν τῷ κοσμικῷ καταστήματι τῆς γῆς κατὰ πᾶσαν ἡμέραν καὶ πᾶσαν ὥραν πράγματα γινόμενα, οἷον γέννας θανάτους κληρονομίας δόξας καθαιρέσεις σίνη πάθη καὶ τὰ λοιπά, ὅσα τῷ τῶν ἀνθρώπων βίῳ συνέστηκεν ἀγαθά τε καὶ φαῦλα. ὁ γὰρ κόσμος σφαιρηδὸν εἰλούμενος καὶ τὰς τῶν ἀστέρων ἀπορροίας εἰς τὸν οὐρανὸν πέμπων οὐδὲν ἄπρακτον ἀποτελεῖ οὐδ’ ἀργόν, κατὰ πᾶσαν δὲ στιγμῆς παρέγκλισιν πολλὰ τῷ βίῳ καινίζει, ἅπερ ἕκαστος ἄλλοτε ἄλλως ὑπομένων τὸν τῆς εἱμαρμένης ἐκπληροῖ σκοπόν. πολλοὶ μὲν οὖν περὶ τὰ τοιάδε ἐσχολακότες πολλὰς βίβλους καὶ πολλὰς αἱρέσεις συνέταξαν· καίτοι γε πάντες διηγήματα αἰώνια μεγάλα καὶ πολλὰ κατέλιπον τοῖς ἀνθρώποις. ὅνπερ οὖν τρόπον οἱ πλούσιοι μὲν τῇ φαντασίᾳ, πολλὰ δὲ ὀφείλοντες τοῖς κληρονόμοις καταλείπουσιν, οἵτινες κατ’ ἀρχὰς μὲν ἡδέως φέρονται ὀλίγων ἁψάμενοι καὶ πολλῶν ὀλιγοχρόνιον τὴν κτῆσιν ἔχοντες (ἡ γὰρ πρόφασις τῆς ἁγνείας τῦφον μέγαν αὐτοῖς περιτίθησιν), ἐπὰν δὲ δίκαις καὶ μόχθοις καὶ ἐναντιώμασι περιπέσωσιν, αἱροῦνται οὐ μόνον τῆς κενοδόξου κληρονομίας ἀπαλλαγῆναι, ἀλλὰ καὶ ὧν ἡδέως ἐκέκτηντο διὰ τὸν φθόνον καὶ τὴν μέριμναν, τὸν αὐτὸν τρόπον καὶ οἱ πολλαῖς ὕλαις συνταγμάτων ἐνδιατρίψαντες πολυχρονίαν νόσον μὴ θεραπεύσαντες προσαπώλεσαν καὶ τὸν νοῦν καὶ τὴν προϋπάρχουσαν παιδείαν καὶ τὴν πρᾶξιν.

271 ἐγὼ δὲ εἰ καὶ φαντασίᾳ λόγων ἢ πλήθει βίβλων οὐ περιπεφρούρημαι, ἀλλ’ οὖν γε τῇ συντομίᾳ καὶ ἀληθείᾳ συγκεκόσμημαι· ὥστε τοὺς κληρονόμους ἄτερ δίκης καὶ φθόνου καρπώσασθαι, ἐφ’ ὅσον χρόνον διαμένουσι, τοὺς μὲν προσιόντας μετὰ πόνου καὶ ἀκριβείας πολλὰ τῶν ἀποτελεσμάτων, 〈τοὺσ〉 δὲ ἀκροθιγῶς ἢ ἀκολάστως ὀλίγα, πλὴν περισσότερα καὶ μείζονα τῶν διὰ μοχθηρίας καὶ πολυχρονιότητος ἑτέραις αἱρέσεσιν ἐσχολακότων. ἐπεὶ οὖν αὐτὸς θησαυροῦ μηνυτὴς ἐγενόμην καὶ οὐ μόνον τοὺς παραφυλάσσοντας τόπους ἐμήνυσα, ἀλλὰ καί τινα τῶν ἀποκειμένων ἐφώτισα, συνεπινοεῖν [δὲ] δεῖ καὶ τοῦς ἐντυγχάνοντας, ὅπως κατὰ βάθους ὀρύττοντες τὰ μυστικῶς κατακεχωσμένα ἀνεύρωσιν. δεῖ μέντοι καὶ τὸν ἀπογραψάμενον τῇ ἐμῇ αἱρέσει προγινώσκειν τὸ ἴδιον διάθεμα ὁποίαν δὴ ὑπόστασιν κέκτηται, καὶ κατὰ τοὺς πρακτικοὺς χρόνους ἐπιβάλλεσθαι τοῖς ἀποτελέσμασιν, ἵνα καὶ ὠφελείας ἢ μαρτυρίας τύχῃ· ἐὰν δὲ κακοποιοῖς χρόνοις ἐπιβάληται, ἀποτυχὼν δι’ ἄγνοιαν ἢ παραλιπών τινα τόπον μέμψεται τὴν ἀγωγήν. ἀλλ’ ὅμως, ἐὰν μετὰ ἀκριβείας τις ζητῇ, οὐ διαψευσθήσεται τῆς δωρεᾶς ἢ καὶ τοσαύτης τιμῆς καταξιωθήσεται, ὅσην οἱ τῶν καιροφίλων τις ἐδήλου κατὰ τὴν τῆς γενέσεως ὑπόστασιν. ταῦτα δὲ ἐν τοῖς ἐμαυτοῦ πεπειρακὼς ἐδήλωσα· ὥστε οὐ δεῖ μέμφεσθαι τοὺς χρόνους οὔτε ἐμαυτῷ οὔτε τῇ προγνώσει, ἀλλὰ καταμαθόντα τὸ μέγεθος τῆς ἑαυτοῦ γενέσεως συστρατεύεσθαι τοῖς καιροῖς γενναίως καὶ ἀλύπως (οὐδὲν γὰρ ἀνύει μοχθηρῶς διάγων καὶ ἑτέρων τύχαις ἐξισοῦσθαι βουλόμενος ἑαυτόν), ἔχειν δὲ κατὰ νοῦν τὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοιοῦτον· ἄγου δέ μ ’ ὦ Ζεῦ καὶ σύ γ ’ ἡ πεπρωμέν η , ὅποι πο θ ’ ὑμῖν εἰμι διατεταγμένος · ὡς ἕψομαί γ ’ ἄοκνο ς . ἂν δὲ μὴ θέλ ω , κακὸς γενόμενος αὐτὸ τοῦτο πείσομαι καὶ τό· γινομένῳ ἐπένησε λίν ῳ , ὅτε μιν τέκε μήτηρ καί· μοῖραν δ ’ οὔτινά φημι πεφυγμένον ἔμμεναι ἀνδρῶ ν.

272 〈γʹ.〉 Ἀγωγὴ περὶ χρόνων ζωῆς πρὸς τὸν κλῆρον τῆς τύχης καὶ τὸν τούτου κύριο ν . Πότερον οἱ παλαιοὶ τὴν ἐνέργειαν τῆς προγνώσεως ἐπιστάμενοι διὰ τὸ μεγαλαυχὲς καὶ ἀνθρωπίνῃ φύσει δυσέφικτον φθόνῳ ἐνεχθέντες ἀπέκρυψαν ἢ μὴ καταλαμβανόμενοι, ἅπερ ἡ φύσις διήρθρωσε καὶ ἐνομοθέτησε καὶ ἀνάγκη περικλείσασα ἀφθόνως ἀνθρώποις ἐδωρήσατο, ὅμως ᾐνίξαντο, οὐκ ἔχω λέγειν. οὐδὲν γάρ μοι δοκεῖ τῶν ἐν κόσμῳ καλλίστων στοιχείων καὶ πλείστων καὶ μεγάλων δημιουργημάτων ὑπὸ τοῦ θεοῦ ἐφθονημένον ἀνθρώποις πρὸς καιρικὴν χρῆσιν· οὐδὲ γὰρ ἂν προέδειξε τὸ θεῖον μὴ βουληθὲν παρέχειν. ἀλλ’ ἐκεῖνοι μὲν ὡς ἠθέλησαν ἢ ὡς ἠδυνήθησαν· διὸ καὶ τὸ κάτω κεφάλαιον αὐτῶν μνημονεύων θαυμάζω τὴν γνώμην σκολιάν τε καὶ δυσθήρατον. ἐγὼ δὲ ὅσα ποτὲ μὲν εὗρον διὰ πείρας προέδειξα, ὅσα δὲ καὶ ἐν τῷ μεταξὺ χρόνῳ ἐπεξεῦρον, οὐκ ἐβουλήθην ἀποκρύψαι διὰ τὸ παράδοξον τῶν πολλῶν ἀποτελεσμάτων, ἀγαθῶν τε καὶ φαύλων, ἐν ὀλίγῳ χρόνῳ γενομένων ἢ καὶ ἐπὶ τοῖς αὐτοῖς ἐπιμενόντων· ἡ δὲ ὑποκειμένη ὑποδιαίρεσις διδάξει τοὺς φιλομαθεῖς· ταύτην γὰρ προκρίνας μὲν πασῶν καὶ συγκοσμῆσαι βουλόμενος ἀλλεπαλλήλως κατὰ τὴν λεπτομέρειαν διασαφήσω. ἡ γὰρ πλατικὴ θεωρία ἀμαυροτάτην τάξιν. ἔχουσα διὰ τὴν ἀκόλαστον τῶν ἐντυγχανόντων γνώμην ἐλέγχεται ῥᾳδίως. μὴ ὑπολάβῃ δέ τις διὰ τὸ ποικίλον καὶ πολυμερὲς τεχνικὸν ὑπάρχειν τὸν λόγον, ἀλλ’ ἐκθειάζειν τὴν φύσιν· πολλοὶ μὲν γὰρ πολλὰς αἱρέσεις διαγραψάμενοι οὐδεμίαν βεβαίαν συνέταξαν. Τοιγαροῦν ἐπὶ τὰ προκείμενα βαδιστέον. οἱ μὲν οὖν θανατικοὶ κλιμακτῆρες καταληπτέοι ἔσονται, καθὼς ἐν τῷ περὶ χρόνων ζωῆς προέταξα καὶ νῦν δὲ ἐν τούτῳ ἀκριβέστερον δηλώσω. ἐκ τριῶν ὅρων συνεστώτων τῶν χρόνων, ἐλαχίστου μέσου καὶ μεγίστου, τὴν σύγκρασιν οὕτως ἀνεῦρον· ἐκ τοῦ κλήρου τῆς τύχης καὶ τοῦ οἰκοδεσπότου λογιζόμενος τὰς περιόδους τῶν ἀστέρων καὶ τὰς ἀναφορὰς τῶν ζῳδίων, πρῶτον ὥρας εἶτα ἡμέρας εἶτα μῆνας εἶτα ἔτη, ἢ ὧν μὲν ὥρας ὧν δὲ ἡμέρας ὧν δὲ μῆνας ὧν δὲ ἐνιαυτούς, κατὰ τοὺς ἐπικέντρους καὶ ἀνατολικοὺς ἀστέρας καὶ τὰ οἰκεῖα σχήματα ἡμέρας εἶτα μῆνας εἶτα τὰς περιόδους.

273 ἐπὶ μὲν γὰρ τῶν ἤδη τὴν ἡλικίαν προβεβηκότων δυνατὸν τὰς περιόδους καὶ τὰς ἀναφορὰς μερίζειν, ἐπὶ δὲ τῶν νηπίων ἀπὸ τῶν ἐλαχίστων ἀρξάμενος. Ἔστω δὲ ἐπὶ ὑποδείγματος Ἥλιος Ἀφροδίτη Ὑδροχόῳ, Σελήνη Ζεὺς ἀρχαῖς Κριοῦ, Κρόνος Κριῷ, Ἄρης Τοξότῃ, Ἑρμῆς Αἰγόκερῳ, ὡροσκόπος Σκορπίῳ, κλῆρος τύχης Ζυγῷ, κλίμα ςʹ. οἱ μερίζοντες οὗτοι· Ἀφροδίτη διὰ τὸν Ζυγόν, Κρόνος διὰ τὸ τὴν Ἀφροδίτην εἶναι Ὑδροχόῳ, Ἄρης διὰ τὸ τὸν Κρόνον Κριῷ εἶναι. ἐλογισάμην οὖν κατά τε τὰς περιόδους καὶ τὰς ἀναφορὰς πρῶτον ὥρας εἶτα ἡμέρας εἶτα μῆνας οὕτως· ἔλαβον τοῦ Ζυγοῦ ἡμέρας ηʹ καὶ ὥρας ηʹ καὶ πάλιν τοῦ Ζυγοῦ ἀναφορὰς κλίματος ςʹ ὥρας γʹ, καὶ ἐπεὶ Ἀφροδίτη Ὑδροχόῳ ἐστίν, ἔλαβον Κρόνου ὥρας νζʹ, καὶ πάλιν ἐπεὶ ὁ Κρόνος ἐν τῷ Κριῷ ἐστιν, ἔλαβον Ἄρεως ὥρας ιεʹ· γίνονται ἐπὶ τὸ αὐτὸ ἡμέραι ηʹ καὶ ὧραι ρκγʹ, αἵ εἰσιν ἡμέραι εʹ ὧραι γʹ· γίνονται αἱ πᾶσαι ἡμέραι ιγʹ ὧραι γʹ· ἔζησεν ἡμέρας ιγʹ ὥρας γʹ. Ἄλλ η. Ἥλιος Ἀφροδίτη Ἑρμῆς Καρκίνῳ, Σελήνη Αἰγόκερῳ, Κρόνος Σκορπίῳ, Ζεὺς Ὑδροχόῳ, Ἄρης Λέοντι, ὡροσκόπος Ταύρῳ, κλῆρος τύχης Σκορπίῳ, ὁ κύριος Λέοντι. ὁ τούτου κύριος Καρκίνῳ τὰς ὥρας καὶ τὰς ἡμέρας τῶν τε ἀστέρων καὶ τῶν ζῳδίων παρεληλύθει· διὰ τοῦτο οὖν τρίτῳ τόπῳ μῆνας ἐλογισάμην· Ἄρεως μῆνες ξςʹ καὶ ιεʹ καὶ Ἡλίου τοῦ ἐν Καρκίνῳ μῆνες κεʹ· γίνονται μῆνες ρςʹ, οἵ εἰσιν ἔτη ηʹ μῆνες ιʹ. Ταύτας προεθέμην τὰς γενέσεις. προσκοπεῖν οὖν χρὴ τοὺς οἰκοδεσπότας καὶ τοὺς τόπους, μὴ ὑπὸ τῶν κακοποιῶν διακατέχονται ἢ ἐναντιοῦνται ἢ παρ’ αἵρεσιν τύχωσι, καὶ τὰς λοιπὰς παραγγελίας. Ἄλλ η. Ἥλιος Ἑρμῆς Ὑδροχόῳ, Σελήνη Ταύρῳ, Κρόνος Τοξότῃ, Ζεὺς Κριῷ, Ἄρης Αἰγόκερῳ, Ἀφροδίτη ὡροσκόπος Ἰχθύσι, κλίμα ςʹ, κλῆρος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τύχης Διδύμοις. ἔλαβον Ἑρμοῦ μῆνας ος′, καὶ ἐπεὶ Ἑρμῆς ἐν Ὑδροχόῳ ἐστίν, ἔλαβον τοῦ Ὑδροχόου τὴν ἀναφοφορὰν μῆνας κγ′ καὶ Κρόνου ἐν Τοξότῃ ὄντος τοῦ Τοξότου μῆνας λγ′· γίνονται οἱ πάντες μῆνες ρλβ′, ἃ γίνεται ἔτη ια′· τοσούτων ἐτελεύτα.

274 τὰς δὲ λεπτομερεῖς ἡμέρας καὶ σταλαγμιαίας ὥρας ἀπὸ τῆς ἑκάστου ἀστέρος περιόδου τὸ ιβ′ λαμβάνοντες εὑρήσομεν. Συμμερίζουσι δὲ οἱ ἀστέρες ἀλλήλοις οἰκείως κείμενοι καὶ τῆς αἱρέσεως ὄντες. οἷον Ἥλιος Ἑρμῆς Καρκίνῳ, Σελήνη Ἄρης Ζυγῷ, Κρόνος Ἀφροδίτη Λέοντι, Ζεὺς Τοξότῃ, ὡροσκόπος Αἰγόκερῳ, κλίμα ϛ′, ὁ κλῆρος τῆς τύχης Τοξότῃ. τούτου 〈ὁ〉 κύριος Ζεὺς ἐπίκειται τῷ κλήρῳ· ἐμέρισεν οὖν τὴν ἀναφορὰν τοῦ Τοξότου ἔτη λγ′ καὶ τὴν ἰδίαν περίοδον ἔτη ιβ′· γίνεται ἔτη με′. τούτῳ οὖν τρίγωνος Κρόνος ὑπάρχων συνεμέρισε τῆς ἰδίας περιόδου μῆνας νζ′· γίνεται ἔτη ἔγγιστα ν′· ἐν τούτῳ καὶ ἐτελεύτα. εἰ δέ τις λογίσηται καὶ τῆς τοῦ Λέοντος ἀναφορᾶς μῆνας λη′ καὶ ἡλίου μῆνας ιθ′, τοσούτους μῆνας συνάξει. Αὗται αἱ γενέσεις δεδοκιμασμέναι ἐξ αὐτοψίας πρόκεινται. εἰ δέ τις ἐξ ἀκοῆς θέλει δοκιμάζειν λαβὼν γένεσιν, διαψευσθήσεται τὴν ἀγωγήν. καὶ ἕτεροι δὲ κλιμακτῆρες σημαίνονται, ὁπόταν κακοποιοῦ σχήματος καὶ μαρτυρίας χρόνος συνδράμῃ· ὁ δὲ αὐτὸς λόγος καὶ περὶ τοῦ ὡροσκόπου καὶ τοῦ τούτου κυρίου, ὁπόταν κατὰ διαδοχὴν ἢ ἀντιπαραχώρησιν οἱ ἀστέρες τύχωσι μὴ χρηματίζοντος τοῦ κλήρου τῆς τύχης ἢ τοῦ οἰκοδεσπότου. 〈δ′.〉 Ἀγωγὴ λεπτομερεστέρα καὶ περὶ χρόνων ἐμπράκτων καὶ ἀπράκτων πρὸς τὰς ἀναφορὰς καὶ τὰς περιόδους τῶν ἀστέρω ν . Ὁμοίως δὲ καὶ περὶ τῶν πρακτικῶν καὶ ἀπράκτων χρόνων στοιχητέον, μετὰ τοὺς ἐνιαυσίους χρόνους μηνιαίους ἐπιμερίζειν τοῖς χρηματίζουσι ζῳδίοις καὶ τοῖς τούτων οἰκοδεσπόταις. καὶ ὥσπερ κανονικῆς συμπήξεως φυσικῆς ἐχούσης διὰ πολυχώρων ἀριθμῶν καὶ λεπτομερῶν μορίων εἰς στερεὰν σύμπηξιν τὴν ἁρμονίαν οὐ καθεστῶσαν ὁρῶμεν 〈μὴ〉 προκειμένης τῆς ἀρχῆς τοῦ ἀριθμοῦ ἐνδηλοτέρας, οὕτως χρὴ καὶ τοὺς βουλομένους δι’ ἀκριβείας διεξιέναι ἀρξαμένους ἀπὸ ὡρῶν καὶ μηνῶν κατάγειν τοὺς χρόνους πολυμερῶς ἐπὶ τοσοῦτον, μέχρις οὗ ἡ τοῦ ζητουμένου χρονογραφία ἐπιτρέπῃ. οὕτως γὰρ εὑρήσομεν ἀναφορᾶς μὲν ἕτερον χρονοκρατοῦντα, περιόδου δὲ ἕτερον· καὶ προκειμένου πλατικῶς τοῦ ἀποτελέσματος ἀγαθοῦ ἢ φαύλου ἐν ταῖς μεταξὺ ἡμέραις καὶ μησὶ τὸ ἐναντίον γίνεται, καὶ ποτὲ μὲν δοκεῖ προλαμβάνειν ποτὲ δὲ μετέπειτα γίνεσθαι.

275 ὅνπερ οὖν τρόπον λίθος ἀκοντισθεὶς ἐπί τι χάλκειον δαιδαλούργημα τὴν μὲν εὐθεῖαν στιγμὴν ἔχει, τὸν δὲ ἦχον ἐπὶ πολὺ κατασκευάζει, τὸν αὐτὸν τρόπον καὶ οἱ ἀστέρες, ἐπὰν τῶν χρόνων κυριεύσωσι, πρὸς ὀλίγον ἐνδειξάμενοι ἀποτέλεσμα ἐξ ὑστέρων ἀπηχήματος τρόπον ἐνεργοῦσιν. οἱ μὲν οὖν σχηματισμοὶ τῶν ἀστέρων καὶ αἱ πρὸς ἀλλήλους μαρτυρίαι εὐτονοῦσιν ἐν τοῖς ἁρμόζουσι χρόνοις, ἐξαιρέτως δὲ αἱ πρὸς τὸν κλῆρον τῆς τύχης· τὰ γὰρ ὅλα ἐκ τούτου συνορᾶται καὶ συνέστηκεν καὶ ἐκ τοῦ οἰκοδεσπότου. Ἔστω δὲ ἐπὶ ὑποδείγματος Ἥλιος Ἑρμῆς Διδύμοις, Σελήνη Ὑδροχόῳ, Κρόνος Ἀφροδίτη Λέοντι, Ζεὺς Τοξότῃ, ὡροσκόπος Ζυγῷ, κλίμα α′. ἔστω ἡμᾶς ζητεῖν ἔτος μβ′· ἔλαβον τὴν ἀναφορὰν τοῦ Ζυγοῦ λη′ κ′, ἅ ἐστιν ἔτη λη′ μῆνες δ′, καὶ πάλιν τούτων ἰσάριθμοι μῆνες λη′, οἵ εἰσιν ἔτη γ′ μῆνες β′. γίνονται ὁμοῦ ἔτη μα′ μῆνες ϛ′· τούτῳ τῷ ἔτει ἐκ πολέμου φεύγων καὶ ἀπὸ ἵππου πεσὼν ἐπελθόντων τῶν πολεμίων καὶ πολλῶν ἀναιρεθέντων καὶ αὐτὸς τρωθεὶς συνεφυρήθη ἑτέροις πτώμασι καὶ ὑποκριθεὶς νεκρὸς διέφυγε τὸν κίνδυνον καὶ διέμεινεν εἰς τὴν τῶν πολεμίων χώραν ἕως τοῦ μδ′ ἔτους στρατεύματος ἡγούμενος. προσεπικατήγαγον οὖν τοῖς προκειμένοις ἔτεσι καὶ τοὺς Ἀφροδίτης μῆνας η′ διὰ τὸν Ζυγὸν καὶ Ἄρεως ἐπικειμένου μῆνας ιε′· ἄλλως τε καὶ τὸ διάμετρον Κρόνου καὶ Σελήνης ἐχρημάτιζε κατ’ ἐκεῖνον τὸν χρόνον· Λέοντος ἀναφορὰ λε′ καὶ Κρόνου μῆνες νζ′ καὶ Ἀφροδίτης μῆνες η′ καὶ Σελήνης μῆνες κε′ καὶ Λέοντος μῆνες ιθ′· γίνεται ὁμοῦ ἔτη μδ′ μὴν α′. ὥστε ἐφ’ ὅσον μὲν 〈ἡ〉 γένεσις χωρεῖ, πλῆθος ἀναφορῶν οὐ περιόδων διδόναι χρή· ἔπειτα δὲ μῆνας καὶ ἡμέρας, ἕως ἐπὶ τὸ λεπτομερέστατον τοῦ χρόνου τὸ ἀποτέλεσμα καταντήσῃ· ὅθεν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐπὶ πάσης γενέσεως παρατηρητέον τὰ τετράγωνα καὶ διάμετρα, μάλιστα κακοποιῶν συσχηματιζομένων ἀνοικείως· δυσεκλύτοις γὰρ καὶ ἀλλεπαλλήλοις πράγμασι περιτρέπουσιν· οἱ γοῦν τοιοῦτοι ἐν τῷ βίῳ ἀθλοῦσι δυσκαταγωνίστοις καιροῖς παλαίοντες, εὔθραυστοι δὲ ὄντες καὶ ὀλισθηροὶ ῥᾳδίως σφάλλονται.

276 ἐὰν δὲ καὶ κατοπτεύσωσιν, οὐκ ἀφίστανται μεμφόμενοι τοὺς θεοὺς καὶ ὀδυνηρῶς διάγοντες μάτην τὸν θάνατον ἀνακαλοῦνται, ἐκτὸς εἰ μὴ ἑτέρα ἀγαθοποιῶν μαρτυρία εὐτονήσασα βοηθήσῃ. ὁπόσον ἂν χρηματίσῃ χρόνον ἀγαθοποιὸς κακοποιῷ, ἡμιτελὲς τὸ φαῦλον ἔσται καὶ εὔκρατον· ἐὰν δὲ κατὰ μόνας ὁποῖός τις ἂν ᾖ, βέβαιον καὶ πλῆρες τὸ ἀποτέλεσμα δηλοῖ· κωλύεται μὲν γὰρ τὸ ἀγαθὸν ὑπὸ τοῦ κακοποιοῦ νικώμενον, θραύεται δὲ τὸ φαῦλον ὑπὸ τοῦ ἀγαθοῦ παρηγορούμενον. Σημαίνεσθαι δεῖ τὰς ἀρχὰς καὶ τὰ πέρατα τῶν χρόνων, καθ’ οὓς ἐὰν ἄρξωνται οἱ ἀστέρες χρονοκρατορεῖν ἢ καὶ ἀπολείπειν τοὺς χρόνους· ἐν τούτοις γὰρ τὰ ἀποτελέσματα ἐνεργῆ τὴν δύναμιν κέκτηνται· ἔστι δὲ καὶ τοῦτο ἀκριβέστερον ἐξιχνευτέον, τὰ σχήματα τῶν ἀστέρων καὶ τῶν μαρτυριῶν εἰ κατὰ μόνας ἢ ὁμοῦ ὄντων πότερον ἀγαθοποιὸν ἢ κακοποιὸν ἢ μέσον ἢ εὔκρατον ὑπάρχει, ἵνα καὶ πρὸς τοῦτο ἡ ἀπόφασις γένηται. πολλάκις γὰρ διάμετροι καὶ τετράγωνοι σχηματογραφίαι κακοποιῶν οὐδὲν φαῦλον εἰργάσαντο, ἀλλὰ καὶ μᾶλλον ὠφέλησαν διὰ ἰδιοτοπίαν ἢ ἀγαθοποιοῦ μαρτυρίαν ἢ οἰκείου σχήματος αἵρεσιν· καὶ ἐν τούτοις οἱ ἀμαθεῖς πλανῶνται. ὅθεν περὶ τῶν αὐτῶν πολλάκις ὑπομιμνήσκω· ἄμεινον γάρ ἐστι δισσολογοῦντα καὶ πολυλογοῦντα τὴν σύνταξιν ἀκατηγόρητον διαφυλάξαι ἢ τοῖς βασκάνοις καὶ ματαίοις ἀφορμὴν τοῦ κακῶς λέγειν καταλεῖψαι· ἀχθόμενοι γὰρ ἐπὶ τῇ ἑτέρων εὐημερίᾳ λοιδοροῦσι τὰ καλῶς ἔχοντα, μήτε παρακολουθεῖν δυνάμενοι τοῖς λεγομένοις μήτε ψέξαι ἃ λέγουσι. Πρὸς τοὺς τοιούτους ὁ λόγος οὗτος ἁρμόσει. λέγεταί ποτε νεανίσκον τινὰ ψέξαντα τὰ Εὐριπίδου δράματα διορθῶσαι· τὸν δ’ Εὐριπίδην παραγενόμενον λέγειν· κακῶς γέγραπται, σὺ κρεῖττον ποίησον. τὸν δὲ εἰρηκέναι· γράφειν ποιήματα οὐκ ἐπίσταμαι, τὰ δὲ κακῶς γραφέντα διορθοῦσθαι. τοιγαροῦν κακῶς γράψας, φησί, τὰ σαυτοῦ καλῶς διόρθωσον. καὶ δοκεῖ μὲν ἡ προκειμένη αἵρεσις τὴν εἴσοδον εὐχερεστάτην κεκτῆσθαι, λαβυρινθοειδὲς δὲ τὸ τέλος καὶ τὴν δίοδον τοῖς τὸ ἀκριβὲς φιλοπευστοῦσι· τῆς γὰρ ἀρχῆς δραξάμενοι καθάπερ μίτου ὁδηγούσης τῆς Ἀριάδνης, τουτέστι τῆς ἐπιδιαιρέσεως, εἰς τὸν ζητούμενον τόπον καταντήσαντες καὶ εὑρόντες τὸν περαιούμενον χρόνον καὶ τὸ ἀποτέλεσμα, ὡς ὁ Θησεὺς τὸν Μινώταυρον, εἴδησιν μεγίστην ἀναδέξονται. Μερίσουσι δὲ οἱ ἀστέρες καὶ τοὺς μέσους χρόνους ὧν δεσπόζουσιν ἐτῶν· Ἥλιος μὲν τὴν ἡμίσειαν τῶν ρκʹ ἐτῶν κεκτημένος τὰ ξʹ παραλήψεται καὶ τὰ ἐλάχιστα τὰ ιθʹ, καὶ γίνεται οθʹ, ὧν τὸ ἥμισυ γίνεται λθʹ μῆνες ςʹ, Σελήνη δὲ τὴν ἡμίσειαν τῶν ρηʹ νδʹ καὶ ἐλάχιστα κεʹ, καὶ γίνονται ὁμοῦ οθʹ, ὧν τὸ ἥμισυ λθʹ μῆνες ςʹ· ταῦτα μερίσει.

277 Ἄρης δὲ τὰ μὲν μέγιστα ξςʹ καὶ τὰ ἐλάχιστα ιεʹ, καὶ γίνονται παʹ, ὧν τὸ ἥμισυ μʹ ἔτη καὶ μῆνες ςʹ. Ἀφροδίτη τὰ τέλεια πδʹ καὶ τὰ ἐλάχιστα ηʹ, γίνονται ϟβʹ, ὧν τὸ ἥμισυ μςʹ. Ἑρμῆς τὰ μέγιστα οςʹ καὶ τὰ ἐλάχιστα κʹ, γίνονται ϟςʹ, ὧν τὸ ἥμισυ γίνονται μηʹ. Ζεὺς τὰ μέγιστα οθʹ [καὶ τὰ οςʹ] καὶ τὰ ἐλάχιστα ιβʹ γίνονται ϟαʹ, ὧν τὸ ἥμισυ γίνονται μεʹ μῆνες ςʹ. οὗτοι οἱ μέσοι χρόνοι φυσικώτεροί μοι ἔδοξαν τυγχάνειν. 〈εʹ.〉 Ἀγωγὴ περὶ χρόνων ἐμπράκτων καὶ ἀπράκτων πρὸς τὸ ἥμισυ καὶ τρίτον καὶ δύο τρίτα τῶν τε ἀναφορῶν καὶ τῶν περιόδων τῶν ἀστέρω ν . Μετὰ πολλῆς μὲν οὖν κακοπαθείας καὶ ζητήσεως εὑρόντες τὰς αἱρέσεις καὶ ἐπιδιακρίναντες ἐκ τῶν γενέσεων προεθέμεθα. ὑποτάξομεν δέ, καθὼς ὁ βασιλεὺς καὶ Πετόσιρις ᾐνίξαντο περὶ χρόνων ἐμπράκτων τε καὶ ἀπράκτων. εἰ δέ πως δόξει τοῖς ἐντυγχάνουσι ποικίλην καὶ ἀναμεμιγμένην ὑπάρχειν αὐτὴν τὴν αἵρεσιν, τὰ τῆς ἀποτελεσματογραφίας καὶ τῆς φυσικῆς ἐνεργείας ἀποθαυμάσειεν. τὸ γὰρ ἕνα χρονοκράτορα τῶν ἀστέρων καὶ πρὸς τὰς λοιπὰς ἀγωγὰς εὑρόντα ἀποφαίνεσθαι περὶ τῶν μελλόντων, δι’ ἀνακυκλήσεως χρόνων τὸν αὐτὸν πάλιν παραλαβόντα τὰ αὐτὰ πράγματα ἀποτελεῖν, ἀμαθές μοι δοκεῖ καὶ πλάνης ἀνάμεστον. ὁ γὰρ εἷς

ἤτοι ἀγαθὸν ἢ φαῦλον ἀποτελεῖ [καὶ] κατὰ τὴν ἰδίαν φύσιν ἐν τῷ ἔτει ἢ δυσὶν ἢ τρισὶν ἔτεσιν. εὑρίσκομεν δὲ ἐν ἑνὶ χρόνῳ ἢ καὶ μησὶ καὶ ἡμέραις διάφορα ἀποτελέσματα συμβαίνοντα καὶ ἀναμεμιγμένα κακῶν τε καὶ ἀγαθῶν, ὅθεν πίστιν ἡμῖν παρέχει αὐτὰ τὰ πράγματα. εὑρίσκομεν γὰρ ἐπὶ γενέσεως καθ' ἕνα χρόνον δόξαν κληρονομίαν κατηγορίαν φυγαδείαν ἢ πάλιν ἀρχὴν ἐπίσημον, πένθος ἐπίλυπον, ἀσθένειαν καὶ πάλιν ἡγεμονίαν, περίκτησιν βίου, θάνατον· καὶ τινὰς μὲν περὶ τὸ σῶμα κακοδαιμονοῦντας, περὶ δὲ τὸν βίον εὐτυχοῦντας, ἑτέρους περὶ γυναῖκα καὶ πράξεις ἀνωμαλοῦντας, ῥωμαλέους δὲ καὶ ἱλαρούς.

278 ταῦτα δ' οὐκ οἶμαι ἀπὸ ἑνὸς κοσμοκράτορος συντελεῖσθαι, ἀλλὰ ὑπὸ τῶν πολλῶν· καὶ τὸ μὲν ἀγαθὸν προδειχθὲν ἀναλύεται ὑπὸ τῆς τῶν κακοποιῶν δυνάμεως, ὁμοίως δὲ καὶ τὸ φαῦλον ὑπὸ τῆς τῶν ἀγαθοποιῶν. ὅθεν καὶ ὁ συγγραφεὺς ἔφη τινὰ μὲν εἶναι ἀφύλακτα, τινὰ δὲ φυλακτά· ἀφύλακτα μέν, ἐπὰν οἱ κακοποιοὶ μόνοι παρατυγχάνοντες ἐνεργῶσί τι, φυλακτὰ δέ, ὅταν τῶν κακοποιῶν ἀποτελούντων ἀγαθοποιὸς περιπεσὼν τὴν ἐκείνων δύναμιν θραύσῃ. ὅταν δὲ ἐπὶ γενέσεως σχῆμα ἀγαθοποιοῦ εὑρεθῇ καὶ τῶν χρόνων δεσπόζῃ, πλῆρες τὸ ἀγαθὸν γενήσεται, ὁμοίως δὲ καὶ τῶν κακοποιῶν ἐὰν συγχρηματίσωσι τῶν μαρτυριῶν οἱ χρόνοι, ἀμφότερα γενήσεται κατὰ τὴν τῶν ἀστέρων τε καὶ ζῳδίων φύσιν. ἄλλως τε καὶ κατὰ τὸ μέγεθος τῆς γενέσεως καὶ τῆς ὑποστάσεως τά τε ἀγαθὰ καὶ φαῦλα συντελεῖται. καὶ καθάπερ ἐπὶ τῶν νηπίων καθολικῶν γενέσεων, ἐπὰν τοῦς ἀγαθοποιοὺς εὕρωμεν χρηματίζοντας καὶ τὸν Ἥλιον ἢ τὴν Σελήνην ἐπιθεωροῦντας [καὶ] τὸν ὡροσκόπον, ἐπαγγελλόμεθα καὶ χρόνον ζωῆς καὶ δόξαν καὶ ὑπόστασιν βίου, ἐὰν δὲ τοὺς κακοποιούς, ἀποδοκιμάζομεν τὴν γένεσιν, τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τῆς τῶν χρόνων διαιρέσεως σκοπεῖν δεήσει, ἐφ' ὅσον μὲν ἂν οἱ ἀγαθοποιοὶ διακρατῶσι, μεγάλα καὶ πρακτικὰ ἐπαγγέλλεσθαι, ἐὰν δὲ ἀναμεμιγμένοι, ὁμοίως, ἐὰν δὲ μόνη κακοποιῶν χρονογραφία συνδράμῃ, κινδύνους καθαιρέσεις καὶ πολλῶν αἰτίων ἐπιφορὰς προλέγειν. Φησὶν οὖν ὁ βασιλεύς · ἐπὰν τῆς χρονογραφίας ὑπὸ ὄψιν ἐκτεθείσης (τουτέστι τῆς γενέσεως) χρηματίσωσιν ὁποῖοι ἂν τύχωσ ι , πρὸς πάντας λέγε τοὺς ἀστέρα ς , ἕτερος δέ τις κατὰ τὸ ἐναλλὰξ ἐφεστὼς ἐπιμαρτυρήσῃ ἢ καὶ τὴν συναφὴν ἐπίσχ ῃ , συναμφοῖν οἱ χρόνοι ἀναγραπτέο ι . οἷον οὕτως · ἐὰν ἡ Σελήνη τὸν ἀρίθμιον τόπον ἐπίσχ ῃ , ἕτερος δέ τις ἐπὶ τοῦ τῆς Σελήνης τύχῃ ζῳδίο υ , ἐπειδὴ αὐτὴ ἡ Σελήνη ἐ φ ' ἑτέρου τόπου τὴν συναφὴν ἐπίσχε ι , τοὺς μὲν τοῦ ζῳδίου χρόνους κατάξε ι , οἵτινές ποτε ἂν ὦσι ν , εἴτε ἀγαθοποιοὶ προσόντες ἢ καὶ [ ὡ ς ] ἐναντίο ι . ἐπὰν γὰρ ὁ τοῦ Διὸς ἐπὶ τοῦ προκειμένου τόπου τύχ ῃ , δόξης δηλωτικὸς ἢ δόξα μέτριος ἐπικτητικοῦ βίου συλλογῇ γενήσεται (τουτέστι τὸν κλῆρον τῆς τύχης, ὅστις τὸν περὶ ὑπαρχόντων καὶ ὠφελείας δηλοῖ.

279 τὴν δὲ περὶ δόξης ἕτερον)· εἰ δὲ τούτῳ συνεπιμαρτυρήσῃ ἢ καὶ τούτῳ συναφὴν ἐπίσχῃ κακοποιό ς , ἐν τοῖς τῶν ἀγαθοποιῶν χρόνοις καὶ τὸ κακὸν ἐπιτελεσθήσετα ι . συμπαραλαμβανομένου δὲ καὶ συμψηφοθετουμένου τοῦ τὴν συνεπιπλοκὴν ἔχοντος τοῦ ἀστέρος χρόνο υ , ὅσοι ἂν ὦσι συμπεραιούμενο ι , πρὸς τὰ τέλη τῶν περιόδων ἢ τῶν ἀναφορῶν τὰ ἀποτελέσματα λέγειν γίνεσθα ι . πᾶς μὲν οὖν ἀστὴρ ἐπίκεντρος ὑπάρχων τοὺς ἰδίους χρόνους πλήρεις δίδωσι (περὶ τούτου καὶ ἡμεῖς ἐν τοῖς ἔμπροσθεν ἐδηλώσαμεν), ἔκκεντρος δὲ ὑπάρχω ν , ὅσους ἂν ἀπομερίζῃ λοιπογραφουμένους ἀπὸ τῶν ἰδίων ἀριθμῶν (τοῦτον δὲ τὸν λόγον, ὡς ἐμοὶ δοκεῖ, ἐν τῷ περὶ χρόνων ζωῆς ἐδηλώσαμεν). Ἄλλως δὲ πάλιν ὑπόθου τὴν Σελήνην ἐπικρατεῖν τῷ προκειμένῳ τόπ ῳ , ἐπιπαρεῖναι δὲ τούτῳ τὸν τοῦ Κρόνο υ , ὡροσκοπεῖν δὲ τὸν τῆς Σελήνης τόπο ν , ὅπου ὁ τοῦ Κρόνου τέτευχεν ἐπιπροσώ ν . ὁ μὲν οὖν ὁλοτελὴς τοῦ Κρόνου χρόνος ἔχει τὰ λʹ ἔτη πλήρ η , ὁ δὲ τῆς Σελήνης λαʹ μοίρα ς . ἔστω δὲ καὶ τὴν Σελήνην ἐν ᾧ δήποτε ζῳδίῳ τετευχυῖαν ἐπίκεντρο ν , ἐπαναφέρεσθαι δὲ ἢ ἐπικαταφέρεσθαι τὸν τοῦ Ἄρεως ἐπὶ τοῦ ἐχομένου ζῳδίο υ , ἐ φ ' ὃν καὶ τὴν συναφὴν ποιήσετα ι , μαρτυρεῖσθαι δὲ τὸν τοῦ Κρόνου ὑπὸ τοῦ Ἄρεως ἢ καὶ αὐτῆς τῆς Σελήνης ἢ καὶ τοῦ Ἡλίο υ .

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οἱ τοιοῦτοι ἐκ ταπεινῶν γονέων ἔσονται · τοὺς δὲ τοῦ ζῳδίου χρόνου ς , ἐ φ ᾽ οὗ ὁ τοῦ Κρόνου τέτευχ ε , καὶ τοὺς τοῦ Ἄρεως ἐπισυνθέντα ς , τούτους ἀνωμαλήσει ἢ καὶ ἐν ξενιτείαις ἔσται · ἐν δὲ τοῖς αὐτοῖς χρόνοις σινῶν καὶ τομῶν παραίτιος γενήσεται τῶν περὶ τὰς ὄψει ς . ἐὰν δέ πως ἡ Σελήνη ἐπὶ προσθέσεως ὑπάρχουσα καὶ μηδέπω ἐπὶ τὴν πανσέληνο ν , ἐπιδεῆ σημαίνει φέρεται φέρεται ἀποσκότωσιν ἐπὶ μηδενὸς τῶν ὁρατικῶν μέντοι γε τὰ περὶ τοὺς ὀφθαλμοὺς γενόμενα αἴτια · ἤτοι πρὸς ἀναφοραῖς ἢ καὶ τομαῖς ἐπὶ τῶν αὐτῶν τόπων διὰ τὸ φωσφορούσῃ συνάπτειν Ἄρεα ἢ καὶ καύσεσι ἐμπεριισχάνοντα ι .

280 εἶ τ ᾽ ἐχομένως τὰ τοῦ ἐπιμαρτυροῦντος ἀστέρος τὸ τῆς Σελήνης ζῴδιον ἢ καὶ συμπροσόντο ς , εἰ τὶς ἢ καὶ τινὲς τύχωσιν ἐπισυμπαρεῖναι τῷ κλήρ ῳ , λέγειν · εἶ θ ᾽ ἑξῆς τοὺς ἐπαναφερομένου ς , κα θ ᾽ ὃν ἂν τόπον ἐπαναφερόμενοι κέντρῳ οἱῳδήποτε τύχωσ ι. Καὶ ταῦτα μὲν αὐταῖς λέξεσι προεθέμεθα διὰ τὴν ἐπακολουθοῦσαν ἐπίλυσιν· καὶ αὐτοὶ γὰρ δοκιμάσαντες καὶ συνεπινοήσαντες εὕρομεν. Ἐὰν οὖν καθὼς προείπαμεν σχήματος χρόνος συντρέχῃ τῷ ζητουμένῳ χρόνῳ κατ᾽ ἐπισύνθεσιν ζῳδίου ἀναφορᾶς ἢ καὶ περιόδου ἀστέρος, χρῆσθαι τοῖς προκειμένοις παραγγέλμασι· εἶτ᾽ οὖν διὰ τὸ συνθέτους χρόνους συντρέχειν τοῖς μέλλουσι λέγεσθαι προσέχειν καὶ συγκρίνειν τὰ ἀποτελέσματα κατὰ τὰς τῶν κέντρων καὶ ἐπαναφορῶν καὶ ἀποκλιμάτων τοποθεσίας τῶν τε κλήρων καὶ συνόδων καὶ πανσελήνων κατὰ τὰς οἰκείας μαρτυρίας τῶν ἀστέρων ἢ καὶ ἐναντιότητας. ἐὰν οὖν συντεθῶσι τῶν μαρτυριῶν οἱ χρόνοι, ἐν τοῖς διὰ μέσου τούτων ἢ καὶ τρίτοις ἢ καὶ διμοίροις συντελεσθήσονται τὰ ἀποτελέσματα, ἐάνπερ μὴ κατὰ μόνας συνάπτωσι. σκοπεῖν δὲ δεῖ καὶ τὴν τῆς Σελήνης συναφήν, κἂν μὴ ἐν τῷ αὐτῷ ζῳδίῳ ᾖ καθ᾽ ἑτέρου σχηματογραφίαν, ἀλλ᾽ ἐν τῷ ἑξῆς, ἀμφοτέρων συνθέντας τοὺς χρόνους ἢ τῶν ζῳδίων, ἐν οἷς πάρεισιν, ἀποφαίνεσθαι. πολυμερῶς μὲν οὖν τὰ τῶν χρόνων γενήσονται, ὁτὲ μὲν ἐκ τῆς σεληνιακῆς φορᾶς καὶ τοῦ κλήρου, ὁτὲ δὲ πρὸς τὰ κέντρα, ὁτὲ δὲ πρὸς τὰς ἑῴους καὶ ἑσπερίους καὶ τὰς λοιπὰς φάσεις, ὁτὲ δὲ λήγοντες ** οἵ τε χρόνοι καταληπτέοι ἔσονται ἐκ τῆς τῶν κακοποιῶν καὶ ἀγαθοποιῶν παρεμπλοκῆς. τὸ μέντοι λέγειν ἐν τῷ διὰ μέσου ἢ καὶ ἐπὶ τρίτοις ἢ καὶ διμοιριαίοις χρόνοις, εἰς τὸν περὶ σίνους τόπον ἡ τομὴ γενήσεται τὸ μοιρικὸν διάστημα λαβόντα λογίζεσθαι· ἡμεῖς δὲ ἐπεξεύρομεν καὶ εἰς τὸν περὶ ἐμπράκτων καὶ ἀπράκτων χρόνων τόπον. Ἔστω δὲ ἐπὶ ὑποδείγματος Ἥλιος Σελήνη Λέοντι, Κρόνος Παρθένῳ, Ζεὺς Ἰχθύσιν, Ἄρης Τοξότῃ, Ἀφροδίτη Διδύμοις, Ἑρμῆς Καρκίνῳ, ὡροσκόπος Ζυγῷ, κλίμα ζʹ.

281 τῷ λζʹ ἔτει ὑπὲρ γυναικός, ἐξ ἧς μεγάλην ὠφέλειαν προσεδόκα, δίκην περὶ κληρονομίας ὑπομείνας ἡττήθη ἐπὶ βασιλέως· οὐ μέντοι ἐπιβλαβὴς αὐτῷ ὁ χρόνος παντελῶς ἐγένετο, πλὴν τῆς ἐλπίδος ἀφαιρετικός. τὰ μὲν οὖν λζʹ ἔτη καὶ αἱ τρίγωνοι στάσεις ἐδήλουν Σελήνης πρὸς Ἄρεα· Σελήνης μὲν κεʹ, Τοξότου δὲ ιβʹ, γίνονται λζʹ. καὶ Διὸς πρὸς Ἑρμῆν· Διὸς ιβʹ, Καρκίνου κεʹ, γίνονται λζʹ. ζητήσαντες καθὼς προεκτεθείμεθα εὕρομεν τὴν ἐναντίωσιν Ἄρεως καὶ Ἀφροδίτης χρηματίζουσαν οὕτως κατὰ τὸ ζʹ κλίμα καὶ τὴν τετράγωνον πλευράν· Κρόνου τῶν Διδύμων κζʹ καὶ Ἀφροδίτης ηʹ καὶ Παρθένου κʹ, γίνονται νεʹ, ὧν τὸ δίμοιρον γίνονται λϛʹ μῆνες ηʹ· τὸ αὐτὸ καὶ οἱ Ἰχθύες ἐσήμαινον. πλὴν ἴσχυσαν οἱ κακοποιοί· ἦν γὰρ καὶ Ἀφροδίτη κυρία τοῦ κλήρου· τὴν αὐτὴν δίκην τῷ λεʹ ἔτει ἐνίκησεν, ἐπικλήσεως δὲ γενομένης ἡττήθη· ἐσήμαινε γὰρ ὁ λεʹ τὸ μὲν ἀγαθὸν ἀπὸ τῆς ἀναφορᾶς τῶν Ἰχθύων ιεʹ καὶ Διδύμων κʹ, καὶ πάλιν Διδύμων κζʹ καὶ Ἀφροδίτης ηʹ γίνονται λεʹ, καὶ πάλιν Διδύμων κʹ καὶ Ἄρεως ιεʹ γίνονται λεʹ, καὶ πάλιν Παρθένου κʹ καὶ Ἄρεως ιεʹ γίνονται λεʹ. ἐχρημάτισαν οὖν καὶ οἱ ἀγαθοποιοὶ καὶ οἱ κακοποιοί, καὶ καθότι ἐν δισώμοις, δεήσει πολλάκις περὶ αὐτῶν. ἡ οὖν καθυπερτέρησις καὶ ἐναντίωσις τῶν κακοποιῶν πολλὴν δύναμιν ἔχουσιν, ὅθεν καὶ αὐτὸς Πετόσιρις ἔφη· οἱ δὲ χρόνοι ἔσονται ἐκ τῆς τῶν κακοποιῶν καὶ ἀγαθοποιῶν παρεμπλοκῆ ς. Ἦν δὲ καὶ τῆς ἡττηθείσης γυναικὸς τὸ θέμα οὕτως ἔχον. Ἄλλη. Ἥλιος Καρκίνῳ, Σελήνη Κρόνος Ζεὺς Τοξότῃ, Ἄρης Ἀφροδίτη Ἑρμῆς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Διδύμοις, ὡροσκόπος Αἰγόκερῳ, κλίμα ζʹ. τῷ μὲν κεʹ ἔτει ἔδοξε περιγενέσθαι τοῦ πράγματος· ἐσήμανε γὰρ ἡ Σελήνη τὰ κεʹ μετὰ τοῦ Διὸς καὶ Κρόνου ὑπάρχουσα, καὶ ὁμοίως Ἥλιος ἐν Καρκίνῳ τὰ κεʹ ἐδήλου. ἀλλὰ καὶ οἱ λοιποὶ ἀστέρες κατὰ συμπλοκὴν καὶ ἐναντίωσιν ἐχρημάτισαν, οἷον Κρόνου ἔτη λʹ καὶ Ἑρμοῦ κατὰ διάμετρον κʹ γίνονται νʹ, ὧν τὸ ἥμισυ γίνονται κεʹ· καὶ πάλιν Κρόνου λʹ καὶ Ἑρμοῦ κʹ καὶ Σελήνης κεʹ γίνονται οεʹ, ὧν τὸ τρίτον γίνονται κεʹ· ὅθεν εἰς ἐναντίωμα ἐχώρει τὸ πρᾶγμα τότε. τῆς δὲ ἐπικλήσεως γενομένης τῷ κζʹ ἔτει κατεδικάσθη· ἐχρημάτισε γὰρ ἡ ἀναφορὰ τῶν Διδύμων, ἔνθα ὁ κλῆρος τῆς τύχης Ἄρεως καὶ Ἑρμοῦ ἐπόντων. ἄλλως τε καὶ Σελήνης κεʹ καὶ Ἄρεως διαμέτρου ιεʹ γίνονται μʹ, ὧν τὸ δίμοιρον γίνονται κϛʹ μῆνες ηʹ.

282 ὡσαύτως δὲ καὶ ἐνθάδε ἐν δισώμοις οἱ ἀστέρες ἔτυχον. Ἄλλη. Ἥλιος Ἑρμῆς Ζεὺς Σκορπίῳ, Σελήνη Ταύρῳ, Κρόνος Ὑδροχόῳ, Ἄρης Παρθένῳ, Ἀφροδίτη Ζυγῷ, ὡροσκόπος Λέοντι, κλίμα δεύτερον. τῷ νβʹ ἔτει μεγίστην ταραχὴν καὶ πρὸς ἀδελφὴν 〈δίκην〉 ἔσχε περὶ ὑπαρχόντων καὶ κληρονομίας καὶ ἐπὶ βασιλέως ἐνίκησεν· ἐχρημάτισε γὰρ ἡ διάμετρος στάσις Σελήνης κεʹ, Διὸς ιβʹ, Σκορπίου ιεʹ· γίνονται νβʹ. ἄλλως τε καὶ κατὰ δεύτερον κλίμα Σκορπίου λϛʹ, Διὸς ιβʹ, Κρόνου ἐπικειμένου τῷ κλήρῳ λʹ γίνονται οηʹ, ὧν τὸ δίμοιρον γίνονται νβʹ. καὶ πάλιν Ταύρου κδʹ, Ὑδροχόου κδʹ καὶ Κρόνου λʹ γίνονται οηʹ, ὧν τὸ δίμοιρον νβʹ. ἐχρημάτισαν οὖν πάντες οἱ ἀστέρες ἐκτὸς Ἄρεως· ἐνόσησε μὲν οὖν ἐν τούτῳ τῷ χρόνῳ καὶ ἐν θαλάσσῃ μικροῦ δεῖν ἐκινδύνευσε καὶ πολλὰ ἀναλώματα ἐποίησεν· ἀλλὰ οἱ ἀγαθοποιοὶ ἔδοξαν καθυπερτερεῖν τὸν Κρόνον καὶ μᾶλλον ἴσχυσαν. Ἡ δὲ ἡττηθεῖσα οὕτως εἶχε τὸ θέμα. Ἄλλη. Ἥλιος Ἑρμῆς Τοξότῃ, Σελήνη Καρκίνῳ, Κρόνος Ὑδροχόῳ, Ζεὺς Παρθένῳ, Ἀφροδίτη Αἰγόκερῳ, Ἄρης Σκορπίῳ, ὡροσκόπος Διδύμοις, κλίμα δʹ. τὸ νδʹ ἔτος Κρόνου καὶ Ἀφροδίτης ἐδήλουν λʹ καὶ κδʹ, γίνονται νδʹ· καὶ πάλιν Σκορπίου λϛʹ καὶ Ἄρεως ἐπικειμένου τῷ κλήρῳ, ὃς ἐχρημάτισεν, ιεʹ καὶ Κρόνου λʹ, γίνονται παʹ, ὧν τὸ δίμοιρον νδʹ· ἐχρημάτισε γὰρ καὶ αὕτη ἡ καθυπερτέρησις τῶν κακοποιῶν. τῷ μὲν οὖν νγʹ φαντασίαν καὶ οἴησιν νίκης ἔσχε διὰ μειζόνων προσώπων βοηθείας, ὅθεν καὶ ἐπὶ τὴν δίκην προετράπη, ἐπεὶ Σελήνη ἐμέρισεν κεʹ καὶ Αἰγόκερως κηʹ, γίνονται νγʹ. τῷ δὲ νδʹ ἔτει ὑπὸ τῶν βοηθῶν κατελείφθη· οὐδὲ γὰρ συμπαρῆσαν τοῖς χρόνοις οἱ ἀγαθοποιοί. Ἄλλ η. Ἥλιος Σελήνη Καρκίνῳ, Κρόνος Ζεὺς Ἄρης Κριῷ, Ἀφροδίτη Ἑρμῆς ὡροσκόπος Διδύμοις, κλίμα αʹ. τῷ μὲν μζʹ ἔτει καὶ μηʹ καὶ μθʹ ἐνόσησε καὶ αἵματος πολλὴν ῥύσιν ὑπομείνας παρείθη, ἐν δὲ τοῖς αὐτοῖς χρόνοις ἔκπτωτος ἐγένετο. τὰ μὲν οὖν μζʹ ἔτη ἐδήλου Καρκίνος λαʹ μʹ καὶ Ἄρης ιεʹ, γίνονται μϛʹ μῆνες ηʹ· τὰ δὲ μηʹ πάλιν Καρκίνου λαʹ μʹ καὶ Σελήνης κεʹ καὶ Ἄρεως ιεʹ, γίνονται οβʹ, ὧν τὸ δίμοιρον μηʹ. ἐχρημάτισε μὲν οὖν τῷ μηʹ ἔτει καὶ ἡ τῶν Διδύμων ἀναφορὰ κηʹ κʹ καὶ ἡ τοῦ Ἑρμοῦ περίοδος κʹ, γίνονται μηʹ μῆνες δʹ· ὅθεν καὶ μικρᾶς φιλανθρωπίας ἔτυχε καὶ πορισμοῦ τῷ μθʹ ἔτει. Ἥλιος καὶ Κρόνος ἐμέρισαν ιθʹ καὶ λʹ, γίνονται μθʹ· οἱ οὖν κακοποιοὶ καθυπερτερήσαντες τὰ φῶτα μεγάλων κινδύνων παραίτιοι· καὶ εἰ μὴ συμπαρῆν Ζεύς, πάντως ἂν καὶ βιαιοθανασίαν ἐπήγαγον.

283 Ἄλλ η. Ἥλιος Ἑρμῆς Αἰγόκερῳ, Σελήνη Ἄρης ὡροσκόπος Ταύρῳ, Κρόνος Σκορπίῳ, Ζεὺς Καρκίνῳ, Ἀφροδίτη Ἰχθύσιν, κλίμα ϛʹ. τῷ λεʹ ἔτει ἀπὸ δουλείας φυγὼν πολλὰ ἐσύλησε καὶ πρὸς ὀλίγον χρόνον διαλαθὼν συνελήφθη τῷ αὐτῷ ἔτει. ἀμφότερα γὰρ τὰ διάμετρα ἐχρημάτισε· συνήγαγε γὰρ ἀνὰ ξʹ, ὧν τὸ ἥμισυ λʹ· Αἰγόκερω γὰρ κηʹ καὶ Ἑρμοῦ κʹ καὶ Διὸς ιβʹ γίνονται ξʹ, ὧν τὸ ἥμισυ λʹ· καὶ Κρόνου λʹ καὶ Ἄρεως ιεʹ, ὧν τὸ δίμοιρον λʹ· καὶ Καρκίνου κεʹ καὶ Διὸς ιβʹ, ἐκ τριγώνου δὲ Ἀφροδίτης ηʹ γίνονται μεʹ, ὧν τὸ δίμοιρον γίνεται λʹ. ἔδοξεν οὖν διὰ τοὺς ἀγαθοποιοὺς πρὸς ὀλίγον ἀποπεφευγέναι τὸν κίνδυνον καὶ ἡδέως διατεθεῖσθαι ἐκ τῶν συλῶν διὰ 〈τὸ〉 τοὺς κακοποιοὺς ἐμπεπτωκέναι. Ἄλλ η. Ἥλιος Κρόνος Ἑρμῆς Τοξότῃ, Σελήνη Καρκίνῳ, Ζεὺς Ταύρῳ, Ἄρης Λέοντι, Ἀφροδίτη Αἰγόκερῳ, ὡροσκόπος Παρθένῳ, κλίμα βʹ. οὗτος ἡγεμονικὸς ὑπάρχων ἡγεμονικῇ ἔχθρᾳ περιπεσὼν τῷ λδʹ ἔτει κατεδικάσθη εἰς

μέταλλον· Ἄρης γὰρ σὺν Ἡλίῳ ἐπικρατεῖ τοῦ χρόνου· Ἡλίου μὲν ιθʹ, Ἄρεως δὲ ιεʹ γίνονται λδʹ. τῷ δὲ λϛʹ ἔτει διὰ βοήθειαν μειζόνων ἀνείθη τῆς συνοχῆς ὡς ἐπισινής· καὶ τότε μὲν ἡ ἀναφορὰ τοῦ Λέοντος ἐχρημάτισε τῷ λϛʹ ἔτει, ἀλλὰ Διὸς καθυπερτεροῦντος ιβʹ καὶ Ταύρου κδʹ γίνονται λϛʹ· ἀλλὰ καὶ Αἰγόκερω κηʹ καὶ Ἀφροδίτης ηʹ γίνονται λϛʹ· οἱ οὖν ἀγαθοποιοὶ ἴσχυσαν. τῷ δὲ λθʹ ἔτει τοῦ πράγματος ἀνασκευασθέντος διὰ τὴν προϋπάρχουσαν ἔχθραν εἰς νῆσον κατεδικάσθη· οἱ γὰρ ἐν Τοξότῃ ἐκράτουν τῶν χρόνων, Ἡλίου ιθʹ καὶ Ἑρμοῦ κʹ γίνονται λθʹ· καὶ λάβε τὸ δίμοιρον τῶν νηʹ, ὅπερ ἐστὶν νηʹ μῆνες ηʹ. πάλιν Ἡλίου ιθʹ Ἑρμοῦ κʹ καὶ Λέοντος διὰ τὸν Ἄρεα τρίγωνον ιθʹ γίνονται νηʹ· Ἄρεως γὰρ ιθʹ καὶ Ἡλίου ιθʹ καὶ Ἑρμοῦ κʹ γίνονται νηʹ. τῷ δὲ μʹ ἔτει ἐπικινδύνως διῆξε καὶ νόσοις περιέπεσε· πλὴν συνεξελθοῦσα αὐτῷ γυνὴ κατὰ φιλοστοργίαν τά τʼ ἄλλα παρηγόρει καὶ τῶν ὑπαρχόντων μέτοχον ἐποίησε. τὰ μὲν οὖν μʹ ἔτη καὶ τῇ τῆς Σελήνης συναφῇ πρὸς Ἄρεα δηλοῦνται (Σελήνης γὰρ κεʹ καὶ Ἄρεως ιεʹ γίνονται μʹ) καὶ ἡ τρίγωνος δὲ Διὸς καὶ Ἀφροδίτης στάσις τὸ αὐτὸ ἐδήλου· Διὸς γὰρ ιβʹ καὶ Ἀφροδίτης κηʹ γίνονται μʹ.

284 καὶ τούτοις τοῖς ἀποτελέσμασιν αὐτὸς παρέτυχον. Ἄλλ η. Ἥλιος Ἑρμῆς Αἰγόκερῳ, Σελήνη Κρόνος Τοξότῃ, Ζεὺς Καρκίνῳ, Ἄρης Παρθένῳ, Ἀφροδίτη Ὑδροχόῳ, ὡροσκόπος Ζυγῷ, κλίμα βʹ. τῷ μηʹ ἔτει πένθος βαρύτατον τέκνου φιλοστόργου θάνατον θεασάμενος, ἐν δὲ τῷ αὐτῷ καὶ μητρός. ἐσήμανεν οὖν καὶ ἡ Παρθένος καὶ ὁ Ζυγὸς διὰ τὸ ἰσανάφορον· Ζυγοῦ μὲν ἔτη ηʹ, Παρθένου δὲ μʹ γίνονται μηʹ· ὅθεν ὡς κατὰ συμπαρουσίαν ὁ Ἄρης τῷ ὡροσκόπῳ τὸ ψυχικὸν ἐλύπησε. ἄλλως τε καὶ Παρθένου μʹ καὶ Τοξότου λβʹ γίνονται οβʹ, ὧν τὸ δίμοιρον γίνονται μηʹ. Ἄλλ η. Ἥλιος Ἑρμῆς Ἀφροδίτη Λέοντι, Σελήνη Παρθένῳ, Κρόνος Ζυγῷ, Ζεὺς Αἰγόκερῳ, Ἄρης Κριῷ, ὡροσκόπος Καρκίνῳ, κλίμα ϛʹ. ἐκ παρατηρήσεως καὶ τούτους τοὺς χρόνους ἐσημειωσάμην, καὶ ἐπεὶ ἔτι νήπιος ἦν, ἀντὶ τῶν ἐτῶν μῆνας ἐλογισάμην· τῷ γὰρ ηʹ μηνὶ συμπληρουμένῳ καὶ ἕως μέρους τοῦ θʹ σπασμοῖς περιέπεσεν, ὥστε μικροῦ δεῖν κινδυνεῦσαι. τὸ μὲν οὖν ηʹ Ζυγὸς ἐδήλου ἐπικειμένου Κρόνου καὶ τῷ ἐνάτῳ ἡμίσει ἀναφορὰ γὰρ τοῦ Κριοῦ [τῶν] ιζʹ ἕως συμπληρώσεως μηνῶν ηʹ καὶ ἡμερῶν ιεʹ. ἀλλὰ καὶ ἡ ἀναφορὰ τοῦ Αἰγόκερω ἐχρημάτισεν οὕτως· τῶν κζʹ τὸ τρίτον γίνονται θʹ καὶ Ἡλίου ιθʹ καὶ Ἀφροδίτης ηʹ γίνονται κζʹ, ὧν τὸ τρίτον γίνονται θʹ. καὶ τοῖς μὲν ἄλλοις μησὶ τοῖς ὑπὸ τῶν κακοποιῶν διακατεχομένοις ἐπεσημαίνετο καὶ ἐξανθήμασι καὶ ἐκζέμασι περιέπεσεν, οἷον τῷ ιεʹ καὶ ιζʹ καὶ κγʹ καὶ τοῖς λοιποῖς, ἐξαιρέτως δὲ περὶ τὸν κζʹ μῆνα· ἐκ προφάσεως γὰρ τετράποδος παγνίῳ πεσὼν ἐπλήγη περὶ τοὺς φυσικοὺς τόπους. τὸν μὲν κζʹ Ἄρης καὶ Σελήνη ἐδήλουν, Ἄρεως ιεʹ καὶ Σελήνης κεʹ γίνονται μʹ, ὧν τὸ δίμοιρον γίνονται κϛʹ ἡμέραι κʹ· Κριοῦ καὶ Παρθένου διαμέτρῳ ἡγοῦμαι ἢ καὶ ὅτι πρὸς αὐτὸν ἐφέρετο. ἄλλως τε Ἄρεως ιεʹ καὶ τοῦ ὡροσκόπου Καρκίνου κεʹ γίνονται μʹ, ὧν τὸ δίμοιρον κϛʹ ἡμέραι κʹ· ἀλλὰ καὶ τότε ἡ ἀναφορὰ τοῦ Αἰγόκερω ἐχρημάτιζε τὰ κζʹ, καὶ [ἡ] Ἄρεως ιεʹ καὶ Διὸς ιβʹ γίνονται κζʹ, καὶ πάλιν Ἡλίου ιβʹ καὶ Ἀφροδίτης ηʹ γίνονται κζʹ. ἀπὸ οὖν τοῦ κηʹ μηνὸς ἀνωμάλως διῆγε· συνέτρεχε γὰρ καὶ ἡ ἀναφορὰ τοῦ Ζυγοῦ καὶ ἡ τοῦ Κρόνου περίοδος· τῷ δὲ λβʹ μηνὶ ἐπισφαλῶς ἐνόσησε καὶ ἐσπάσθη. Ἄρεως γὰρ ιεʹ καὶ τῆς ἀναφορᾶς τοῦ Κριοῦ ιζʹ γίνονται λβʹ. τῷ δὲ λγʹ μηνὶ ἐτελεύτα· συνετελεῖτο γὰρ ἡ ἀναφορὰ τοῦ Καρκίνου· ἀλλὰ καὶ Καρκίνου κεʹ καὶ Ζυγοῦ ηʹ γίνονται λγʹ ἢ καὶ Σελήνης κεʹ καὶ Ζυγοῦ ηʹ γίνονται λγʹ· ὡς συνούσης οὖν τῷ Ζυγῷ καὶ τῷ Κρόνου διὰ τὸ ἰσανάφορον ἐλογισάμην.

285 Ἄλλ η. Ἥλιος Ἑρμῆς Ζυγῷ, Σελήνη Ὑδροχόῳ, Κρόνος Ἰχθύσι, Ζεὺς Αἰγόκερῳ, Ἄρης Κριῷ, Ἀφροδίτη Λέοντι, ὡροσκόπος Καρκίνῳ, κλίμα ϛʹ. οὗτος πλούσιος ὑπάρχων περὶ τὸ μζʹ ἔτος ἐξέπεσεν· ἐχρημάτισε γὰρ Κρόνος μεσουρανῶν θʹ καὶ ἡ ἀναφορὰ τῶν Ἰχθύων, Κρόνου μὲν λʹ Ἰχθύων δὲ ιζʹ γίνονται μζʹ. ἀλλὰ καὶ τὸ διάμετρον Ἡλίου καὶ Ἄρεως καὶ Ἑρμοῦ, Ἄρεως μὲν ιεʹ καὶ τῆς ἀναφορᾶς τοῦ Κριοῦ ιζʹ καὶ Ἡλίου ιθʹ καὶ Ἑρμοῦ κʹ [καὶ Λέοντος ληʹ] γίνονται ὁμοῦ οαʹ, ὧν τὸ δίμοιρον γίνεται μζʹ μῆνες δʹ· ἀλλὰ καὶ ἡ τετράγωνος πλευρὰ Ζυγοῦ τε καὶ Αἰγόκερω, Αἰγόκερω μὲν κζʹ Ἑρμοῦ δὲ κʹ, γίνονται μζʹ. τῇ μὲν οὖν φαντασίᾳ ἔδοξε περισκέπεσθαι,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐναντιώματα δὲ καὶ μείωσιν διὰ γυναῖκα ὑπέμεινε. Τοὺς οὖν ὑποτεταγμένους τόπους δοκιμάσαι ἀναγκαίως ὑπῆρξεν. Κρόνος νυκτὸς μεσουρανῶν ἐκπτώσεως δηλωτικός· Ἄρης ἡμέρας ἐπαναφερόμενος τῷ μεσουρανήματι τὸ αὐτὸ ἀποτελεῖ· ἐὰν δὲ ὁ κύριος τοῦ μεσουρανήματος ἐπιθεωρήσῃ τὸ μεσουράνημα ἢ χρηματίσῃ, μετὰ τὴν ἔκπτωσίν ἐστιν ἀνάσφαλσις καὶ ἀποκατάστασις ἀπὸ τῶν τῆς ἀναφορᾶς τοῦ ζῳδίου χρόνων ἢ ἀπὸ τῆς τοῦ ἀστέρος κυκλικῆς ἀποκαταστάσεως. Ἥλιος νυκτὸς ὑπὸ γῆν ἄνευ οἰκοδεσποτείας χρηματίσας, Σελήνη ὑπὲρ γῆν κεκινδυνευκυίας τὰς γενέσεις ἀποτελοῦσι· σύνοδοι καὶ διχότομοι Σελήνης ὑπὸ Κρόνου τετραγωνιζόμεναι ἢ διαμετρούμεναι ἢ συνόντα ἔχουσαι ἐκπτώσεως δηλωτικαί· ὁμοίως δὲ καὶ αἱ πανσέληνοι καὶ αἱ πρῶται διχότομοι ὑπὸ Ἄρεως διαμετρούμεναι ἢ τετραγωνιζόμεναι ἢ συνόντα ἔχουσαι μεγάλας ἄτας καὶ συμφορὰς σημαίνουσι ἀοιδίμους τε καὶ περιβοήτους τὰς ἐκπτώσεις, καὶ ἐπὶ μὲν τῶν στερεῶν ζῳδίων ἢ μοιρῶν παρόντες ἅπαξ τε καὶ ἀπαραιτήτως δαμάζουσιν, ἐν δὲ τοῖς δισώμοις πλεονάκις, ἐν δὲ τοῖς τροπικοῖς πολυθρυλήτως περιάπτουσι· καὶ ἐπίκεντροι μὲν τυχόντες ἐκ μεγίστων εὐτυχιῶν εἰς μεγίστας ἀτυχίας περιιστάνουσιν, ἐν δὲ ταῖς ἐπαναφοραῖς ἐξ ἑτέρων ἕτερα πάσχειν ποιοῦσι καὶ προσδοκᾶν, ἐν δὲ τοῖς ἀποκλίμασι σφάλσιν καὶ ἐπαγωγὴν ἢ λατρείας καὶ ὕβρεις καὶ βασάνοις καὶ κακοθανασίαις περιτρέπουσι.

286 χαλεπὸν τοῖς νυκτὸς τὴν Σελήνην ἐν ἀποκλίμασι κεκτημένοις καὶ τὸν Ἥλιον ἡμέρας. ἐὰν δέ πως καὶ οἱ κακοποιοὶ τετραγωνίσωσι τὸν Ἥλιον καὶ τὴν Σελήνην, ἐν καθολικοῖς πολέμοις καὶ περιστάσεσιν ἐμπίπτουσι καὶ ἀναιροῦνται. ἢ καθολικοῦ Κρόνος Ἄρεϊ κατὰ διάμετρον οὐκ ἀγαθὸς οὔτε ἐπὶ δούλου οὔτε ἐπὶ ἐλευθέρου· πολὺ γὰρ τὸ δυστυχὲς παρέξεται· καὶ τετραγωνίζοντες δὲ καὶ συνόντες ἐπιμόχθους ποιοῦσι καὶ ἐπιταράχους. βέλτιον δὲ τοὺς τοιούτους αὐτῶν σχηματισμοὺς ἐν ἀποκλίσει τετευχέναι· ἐπὶ μὲν γὰρ τῶν κέντρων ὄντες τῇ τε τύχῃ τὸν θάνατον καὶ τῇ πράξει καὶ τῇ ὅλῃ ὑποστάσει τοὺς κινδύνους ἐπιφέρουσιν· ἐπὶ δὲ τῶν ἐπαναφορῶν τὰ ἐλπιζόμενα ἐπὶ χεῖρον ἀποβαίνειν ποιοῦσι καὶ θλίβουσι τὰς ἐγχειρήσεις, ἐπιμόχθους δὲ καὶ ἐπιπόνους ποιοῦσι τὰς τύχας· ἐν δὲ τοῖς ἀποκλίμασι περὶ τὰ βιωτικὰ ποικίλως καὶ εὐπροφασίστως τοῖς ποριζομένοις ἀντήλλακται. ἐὰν δέ πως οἱ ἀγαθοποιοὶ τοῖς προειρημένοις σχήμασι μαρτυρήσωσι, ἧττον τὸ φαῦλον ἢ εὐπαραμύθητον γενήσεται· τὸ δ’ ὅμοιον καὶ ἐπὶ τῆς τῶν χρόνων διαιρέσεως ἀποτελοῦσι τῶν σχημάτων κυριεύσαντες. ἐπεὶ δὲ δοκοῦσιν οἱ πλείους ἀστέρες ἢ καὶ πάντες πλειστάκις τῶν χρόνων ἐπικρατεῖν, ἡ διάκρισις τοῦ τε φαύλου καὶ ἀγαθοῦ καταληφθήσεται ἐκ τῶν κατὰ καιρὸν ἐπεμβάσεων, καὶ μάλιστα ὁπόταν ἀστὴρ χρονοκρατῶν ἐπεμβῇ εἰς τοὺς χρηματιστικοὺς τόπους λόγον ἔχων εἰς τὰ τῆς γενέσεως πράγματα· βέβαιον γὰρ τὸ σημαινόμενον ἀποτέλεσμα δηλοῖ. Πρὸς δὲ τὸ θαυμάσαι τὴν φύσιν καὶ ὅτι χωρὶς εἱμαρμένης οὐδὲν γίνεται, ἀλλὰ καὶ οἱ ἐν πολέμῳ καὶ συμπτώσει καὶ ἐμπρησμῷ καὶ ναυαγίῳ ἢ καὶ κατὰ ἄλλην αἰτίαν τινὰ ἁλισκόμενοι ὁμοθυμαδὸν συνάγονται ὑπὸ τῆς εἱμαρμένης, ἐκ μικροῦ ὑποδείγματος δηλώσομεν. Ἥλιος Ἑρμῆς Λέοντι, Σελήνη Ζυγῷ, Κρόνος Κριῷ, Ζεὺς Ταύρῳ, Ἄρης Ἀφροδίτη Παρθένῳ, ὡροσκόπος Αἰγόκερῳ, κλίμα β′. τῷ μ′ ἔτει κλιμακτῆρα ἔσχε· Σελήνης μὲν κε′, Κριοῦ δὲ ιε′ γίνονται μ′· ἢ καὶ αὐτοῦ τοῦ διαμετροῦντος Κριὸν κ′ Ζυγοῦ μ′ γίνονται ξ′, ὧν τὸ δίμοιρον γίνεται μ′· γέγονεν οὖν διπλοῦς ὁ κλιμακτήρ. ἐν δὲ τῷ αὐτῷ χρόνῳ εὗρον καὶ Αἰγόκερω τοῦ ὡροσκόπου κη′ καὶ τοῦ κατὰ τρίγωνον Διὸς ιβ′, γίνονται μ′· καὶ πάλιν Αἰγόκερω λ′ καὶ Ταύρου κβ′ καὶ περιόδου η′, γίνονται ξ′, ὧν τὸ δίμοιρον μ′. Ἄλλ η.

287 Ἥλιος Ἑρμῆς Ὑδροχόῳ, Σελήνη Σκορπίῳ, Κρόνος Καρκίνῳ, Ζεὺς Ζυγῷ, Ἀφροδίτη Αἰγόκερῳ, Ἄρης ὡροσκόπος Παρθένῳ, κλίμα ζ′. τῷ λε′ ἔτει κλιμακτῆρα ἔσχεν· ἐχρημάτισε γὰρ Ἄρεως ἡ περίοδος ἔτη ιε′ καὶ Παρθένου κ′, γίνεται λε′· ἀλλὰ καὶ Ἀφροδίτης η′ καὶ ἡ ἀναφορὰ τοῦ Αἰγόκερω κζ′ γίνεται λε′. καὶ πάλιν τὸ διάμετρον Κρόνου λ′ καὶ Καρκίνου λβ′ λ′ καὶ Ἀφροδίτης

Eulogikon public reading copy · View original HTML at eulogikon.org

η′ γίνονται ο′ μῆνες ϛ′, ὧν τὸ ἥμισυ γίνεται λε′ μῆνες γ′. ἀλλὰ καὶ Ζεὺς Κρόνος τότε συμμετέσχον τοῦ χρόνου, Ζυγοῦ μβ′ μῆνες ϛ′ Καρκίνου κζ′ μῆνες ϛ′ γίνονται ο′, ὧν τὸ ἥμισυ γίνεται λε′. Ἄλλ η. Ἥλιος Ἄρης Ἀφροδίτη Τοξότῃ, Σελήνη Ζυγῷ, Κρόνος Διδύμοις, Ζεὺς Παρθένῳ, ὡροσκόπος Ἑρμῆς Αἰγόκερῳ, κλίμα ϛ′. τῷ λϛ′ ἡμίσει ἔτει κλιμακτῆρα ἔσχε. Διδύμων κζ′ μῆνες ϛ′ καὶ Ἀφροδίτης η′ γίνονται λε′ μῆνες ϛ′· Ἡλίου ιθ′, γίνονται νδ′ μῆνες ϛ′, ὧν τὸ δίμοιρον γίνεται λϛ′ μῆνες δ′. συμμετέσχον οὖν καὶ ἐνθάδε οἱ ἀγαθοποιοί. Ἄλλ η. Ἥλιος Ἑρμῆς Ἀφροδίτη Καρκίνῳ, Σελήνη Κριῷ, Ζεὺς ὡροσκόπος Διδύμοις, Κρόνος Ζυγῷ, Ἄρης Λέοντι, κλίμα α′. τῷ κζ′ κλιμακτῆρα ἔσχε. Ἡλίου μὲν ιθ′ Ζυγοῦ δὲ η′ γίνονται κζ′· ἀλλὰ καὶ Διδύμων κη′ μῆνες δ′ καὶ Διὸς ιβ′ γίνονται μ′ μῆνες δ′, ὧν τὸ δίμοιρον μζ′ ἔγγιστα· καὶ πάλιν Λέοντος ιθ′ καὶ Καρκίνου λα′ μῆνες η′, Κρόνου λ′ γίνονται π′ μῆνες η′, ὧν τὸ τρίτον γίνεται κζ′ ἔγγιστα. Ἄλλ η. Ἥλιος Ὑδροχόῳ, Σελήνη Κριῷ, Κρόνος Λέοντι, Ζεὺς Τοξότῃ, Ἄρης Ζυγῷ, Ἀφροδίτη Ἑρμῆς Αἰγόκερῳ, ὡροσκόπος Ἰχθύσι, κλίμα ϛ′. τῷ λγ′ ἔτει κλιμακτῆρα ἔσχε. Σελήνης κε′ καὶ Ζυγοῦ η′ γίνονται λγ′· καὶ Κρόνου λ′ καὶ Ἡλίου ιθ′ γίνονται μθ′, ὧν τὸ δίμοιραν λβ′ μῆνες η′· ἀλλὰ καὶ Τοξότου ἀναφορὰ ἐχρημάτισε Διὸς ἐπικειμένου, τουτέστι τὰ λγ′. Ἄλλ η. Ἥλιος Ἑρμῆς Ἀφροδίτη Σελήνη Ταύρῳ, Κρόνος Τοξότῃ, Ζεὺς Σκορπίῳ, Ἄρης Λέοντι, ὡροσκόπος Ἰχθύσι, κλίμα β′. τῷ κβ′ ἔτει κλιμακτῆρα ἔσχε. Λέοντος ιθ′ καὶ Σελήνης κε′ γίνονται μδ′, ὧν τὸ ἥμισυ γίνεται κβ′· ἀλλὰ καὶ Σκορπίου λϛ′ καὶ Ταύρου η′ γίνονται μδ′, ὧν τὸ ἥμισυ γίνεται κ〈β′〉. Οὗτοι οἱ ϛ′ ἄνθρωποι πλέοντες, ἕτεροι δὲ πολλοὶ καὶ βίᾳ ἀνέμου περιπεσόντες ἀποπτερυγωθέντος τοῦ πηδαλίου ἐκινδύνευσαν ὑποβρύχιοι ἀπελθεῖν τοῦ σκάφους τὸ κῦμα ἐκδεξαμένου. ἀλλὰ τῇ φορᾷ τοῦ πνέοντος ἀνέμου καὶ τῷ ἀρμένῳ χρησαμένου τοῦ κυβερνήτου διέφυγον· καὶ ἑτέροις δὲ κινδύνοις περιέπεσον κατὰ τὸν αὐτὸν χρόνον κατὰ θάλασσαν καὶ διὰ πλάνην πειρατικήν.

288 Ὅθεν ἐὰν πολλάκις κατά τινας χρόνους οἱ πλείους ἢ πάντες οἱ ἀστέρες εὑρίσκωνται χρηματίζοντες, συγκρίνειν δεήσει ἑκάστῳ, πῶς σχηματίζεται καὶ τίνος ἐπικαιρότερος ἢ δυναστικώτερος τυγχάνει, πότερον ὁ τὸ φαῦλον ἢ ὁ τὸ ἀγαθὸν ἀποτελῶν, κἀκείνῳ τὸ βραβεῖον τοῦ ἀποτελέσματος ἀπονέμειν, εἶτα τοῖς λοιποῖς τοῖς ἀσθενέστερον δυναμένοις ἀποτελεῖν δι' ἐλπίδος καὶ ὑπερθέσεως καὶ φόβου καὶ ζημίας· πολλάκις γὰρ ὑπ' ὄψιν προδείξαντες τὸ ἀποτέλεσμα ἠτόνησαν διὰ τὸ ἐπὶ δυναστικοῦ τόπου ἕτερον τετευχότα ἐξισχῦσαι. ἐὰν δὲ τὴν αὐτὴν δύναμιν τῆς σχηματογραφίας ἢ τῶν ζῳδίων ἐπισχῶσιν, ἀμφότερα γενήσεται τά τε φαῦλα καὶ τὰ ἀγαθά. πολλάκις μὲν οὖν πρὸς χρόνους δυσέκλυτοι καὶ εὔτονοι πλευραὶ εὑρισκόμεναι ἐπὶ πολὺ διακατέχουσι, κἂν ἤδη δοκῶσι τῶν χρόνων ἐξίστασθαι, πάλιν ἐπικρατοῦσι καὶ ἄρχουσιν· ὡς καὶ ἂν ἑτέρα μαρτυρία χρηματίσῃ, οὐκ εὐτονήσει νικωμένη ὑπὸ τῆς πρώτης, καὶ μάλιστα ὅταν κατὰ διάμετρον ἢ καθυπερτέρησιν τύχῃ κακοποιὸς ἐνεργῶν τι. Ἔστω δὲ [ἐπὶ] ὑποδείγματος χάριν Ἥλιος Κρόνος Ἑρμῆς Κριῷ, Σελήνη Ζεὺς Λέοντι, Ἄρης Ταύρῳ, Ἀφροδίτη Ὑδροχόῳ, ὡροσκόπος Παρθένῳ, κλίμα α′. τῷ ιη′ ἔτει σὺν ἐπισήμῳ γυναικὶ ἐξενίτευσε διὰ φιλίαν καὶ δόξαν καὶ πρὸς ἄλλην συνήθειαν καὶ ἐρωτικὴν ἐπιθυμίαν ἔσχεν· ἐσήμαινε γὰρ τὰ κε′ ἔτη ἡ ἀναφορὰ τοῦ Ὑδροχόου, ἔνθα ἡ Ἀφροδίτη ἐπῆν· καὶ εἰ μὲν μόνη κεχρηματίκει, τὸ τῆς εὐεργεσίας ἐν τάχει συνετελεῖτο· νυνὶ δὲ καὶ Ἄρης διὰ τὴν τοῦ Ταύρου ἀναφορὰν τὰ κε′ ἐπεκράτει, ἀλλὰ καὶ ἡ Σελήνης περίοδος τὰ κε′ ἔφερεν, ὧν τὸ δίμοιρον γίνεται ιϛ′ μῆνες η′· εἰ μὲν οὖν ἐπισυνῆν ἑτέρα ἀγαθοποιῶν μαρτυρία μετὰ τοὺς προγεγραμμένους χρόνους, τὸ ἐλπιζόμενον ἐπετελεῖτο· νυνὶ δὲ οἱ αὐτοὶ πάλιν ἐπεκράτησαν· τῷ γὰρ ιη′ ἔτει τὸ μὲν θηλυκὸν πρόσωπον ἐτελεύτα, αὐτὸς δὲ τῆς ἐλπίδος σφαλεὶς ὑπέστρεψεν ὀλίγα ὠφεληθείς. Ζεὺς γὰρ ἐμέρισε ιβ′ καὶ Ἄρης αὐτὸν καθυπερτερήσας ιε′, γίνεται κζ′, ὧν τὸ δίμοιρον ἔτη ιη′· ἀλλὰ καὶ Λέοντος ιθ′ καὶ Ταύρου η′ γίνονται κζ′, ὧν τὸ δίμοιρον ιη′. τῷ ιθ′ ἔτει ὠφελείας μὲν καὶ περικτήσεως ἔτυχε, στάσεις δὲ καὶ μετεωρισμοὺς ψυχῆς καὶ πρὸς οἰκείους ἔχθρας ἔσχε· τὰ

μὲν γὰρ ιθʹ ὁ Λέων ἐσήμαινε Διὸς καὶ Σελήνης ἐπόντων· ἀλλὰ καὶ αὐτὸς Ἥλιος σὺν Κρόνῳ ὢν ἐν Κριῷ ἐσήμαινε τὰ ιθʹ· καὶ πάλιν Ὑδροχόου λʹ καὶ Ταύρου ηʹ, ὧν τὸ ἥμισυ γίνεται ιθʹ.

289 τῷ δὲ κʹ ἔτει διὰ τὴν τῆς γυναικὸς φιλίαν ἐξενίτευσε καὶ μείζονας ἐλπίδας καὶ ὠφελείας προσεδόκησε, πλὴν καὶ τότε ἐσφάλη θανούσης αὐτῆς· ἐδήλου γὰρ Ἄρης ιεʹ καὶ Σελήνη κεʹ, γίνονται μʹ, ὧν τὸ ἥμισυ κʹ· ἀλλὰ καὶ Ταύρου ἀναφορὰ κεʹ καὶ Λέοντος λεʹ γίνονται ξʹ, ὧν τὸ τρίτον γίνεται κʹ· καὶ Ἑρμῆς δὲ ἐν Κριῷ σὺν Κρόνῳ ἐσήμαινε τὰ κʹ. ὁμοίως δὲ καὶ τῷ καʹ ἔτει οἱ αὐτοὶ κατέσχον· Λέοντος ιθʹ καὶ Ταύρου ηʹ, Ἄρεως ιεʹ γίνονται μβʹ, ὧν τὸ ἥμισυ γίνεται καʹ· καὶ ἀναφορὰ Κριοῦ καʹ μῆνες ηʹ καὶ Ἑρμοῦ κʹ γίνονται μαʹ μῆνες ηʹ, ὧν τὸ ἥμισυ ἔτη κʹ μῆνες ιʹ. καὶ τῷ κβʹ ἔτει ὁμοίως οἱ αὐτοὶ κατέσχον· Λέοντος ιθʹ καὶ Ταύρου κεʹ γίνεται μδʹ, ὧν τὸ ἥμισυ γίνεται κβʹ. τὸ κγʹ ἔτος Ἀφροδίτη καὶ Ἄρης· Ἀφροδίτης ηʹ Ἄρεως ιεʹ γίνονται κγʹ. Οὕτως πολλάκις κατὰ πλατικὴν καὶ καθολικὴν θεωρίαν οἱ ἀστέρες καλῶς δοκοῦντες ἐσχηματίσθαι ἐναντιωμάτων εἰσὶ δηλωτικοί, ἀνταναλυόμενοι ὑπὸ τῆς τῶν χρόνων δυνάμεως. οἷον τὸ καʹ ἔτος ἐσήμαινε μὲν Λέων ιθʹ καὶ Διὸς ἐπικειμένου ιβʹ, ὧν τὸ δίμοιρον γίνεται ἔτη κʹ μῆνες ηʹ· ἀλλὰ καὶ τὸ τρίγωνον Διὸς καὶ Ἡλίου τὸ αὐτὸ ἐδήλου· ἔσχεν οὖν φιλίαν πρὸς μείζονα καὶ βασιλικὸν πρόσωπον, παρ’ οὗ καὶ στεμματοφορίαν καὶ ἀρχιερωσύνην προσεδόκησεν. ἀναμφιλέκτως οὖν τὸ τοιοῦτο ἐγεγόνει ἄν, εἰ μὴ Ἄρης καθυπερτερῶν κεχρηματίκει· καὶ Κρόνου δὲ συνόντος τοῖς τὴν δωρεὰν παρεχομένοις ἀνακρίσεις καὶ βραδυτῆτες καὶ ἀναλώματα καὶ φθόνοι παρηκολούθησαν, καὶ οὐ τοσοῦτον ἐμποδιστικὸς δόξης ἐφαίνετο τρίγωνος Διὶ τυγχάνων, ὅσον παρ’ αἵρεσιν Ἄρης καθυπερτερήσας. ἐγένετο οὖν καὶ κλιμακτηρικὴ νόσος καὶ αἱμαγμὸς καὶ ἐμπόδιον τῆς δόξης, δούλων προδοσία, ἐπιθέσεις ζημίαι ἔνδειαι. εἶθ’ οὕτος ἐξ ὑστέρου εὐπόρησε καὶ εἰς μέλλοντα χρόνον ἀναβολῆς γενομένης ἀπηλλάγη εἰς τὴν τῶν ἀγαθοποιῶν καὶ κακοποιῶν κατὰ τὸν αὐτὸν χρόνον χρημάτισιν· ἔσονται μὲν πράξεις, ἀναλώματα δὲ πλεῖστα, ἢ καὶ ἐκ προγενομένης πράξεως αὐτάρκεια ἔσται ἢ καὶ ἐξ ἑτέρας τινὸς προσόδου καὶ φίλων ἐπικουρίας. γίνεται δὲ καὶ τὰ ἀποτελέσματα μετὰ τὸ συμπληρωθῆναι τὰς ἀναφορὰς τῶν ζῳδίων ἢ τὰς τῶν ἀστέρων περιόδους, καθὼς καὶ αὐτός φησιν ὁ βασιλεὺς ἐπὶ γενέσεως· ὁ τοιοῦτος διελθὼν τοὺς τῆς Ἀφροδίτης καιρικοὺς χρόνους ἄτεκνος τῶν ἀναγκαίων στερηθήσεται καὶ πάντα ἀχρειώσας τρόπον ἐπαίτου ζήσετα ι.

290 ἄρχονται οὖν τότε ἐνεργεῖν οἱ χρόνοι, ἐπὰν εἰς συντέλειαν συντρέχωσι, προκατασκευάζοντες ἐπὶ τῶν ἀγαθῶν ἀποτελεσμάτων φιλίας συστάσεις ὠφελείας συμπαθείας δόξας, ἐπὶ δὲ τῶν φαύλων κακωτικὰς αἰτίας. Ἔστω δὲ ἐπὶ ὑποδείγματος Ἥλιος Ζεὺς Ἑρμῆς Ζυγῷ, Σελήνη Ταύρῳ, Κρόνος Καρκίνῳ, Ἄρης Τοξότῃ, Ἀφροδίτη ὡροσκόπος Σκορπίῳ, κλίμα βʹ. ὁ τοιοῦτος διελθὼν τὸ μʹ ἔτος κατεδικάσθη φυγῇ. ἐδήλουν τὰ μʹ ἔτη ἡ καθυπερτέρησις Κρόνου Ζυγοῦ Καρκίνου μοῖραι λβʹ καὶ Ζυγοῦ ηʹ, γίνονται μʹ· καὶ τὸ διάμετρον Σελήνης πρὸς Ἀφροδίτην Ταύρου κεʹ Σκορπίου ιεʹ γίνονται μʹ· ἔνθεν καὶ δι’ εἴδη θηλυκὰ καὶ ὠφελείας πρόφασιν ἐνήργει τὸ ἀποτέλεσμα· καὶ πάλιν ἡ τῆς Σελήνης συναφὴ πρὸς Ἄρεα, Σελήνης κεʹ καὶ Ἄρεως ιεʹ γίνονται μʹ, ὡς καὶ ὁ βασιλεύς φησιν· ἔστω δὲ καὶ τὴν Σελήνην ἐν ᾧ δήποτε ζῳδίῳ τετευχέναι ἢ ἐπίκεντρον εἶνα ι , ἐπαναφέρεσθαι δὲ ἢ ἐπικαταφέρεσθαι τὸν τοῦ Ἄρεως ἐν τῷ ἐχομένῳ ζῳδίῳ ἐπόντ α , ᾧ καὶ τὴν συναφὴν ποιήσετα ι . ὥστε κἂν μὴ ἐν τῷ αὐτῷ ζῳδίῳ συμπαρῇ ἀστὴρ τῇ Σελήν ῃ , ἐν δὲ τῷ μεταξὺ ἢ ἐν τῷ τούτου τετραγώνῳ ἢ διαμέτρῳ εὑρεθ ῇ , βέβαιον τὴν συναφὴν προκρίνειν καὶ συμπεριθέντα τὰς τούτων περιόδους ἢ καὶ τὰς τῶν ζῳδίων ἀναφορὰς ἀποφαίνεσθαι τὸν χρόνο ν. Πρὸ πάντων οὖν, καθὼς προείπαμεν, ἐκ τῶν καθολικῶν ἀποτελεσμάτων σκοπεῖν δεήσει τὰ σχήματα τῶν ἀστέρων ὁποῖα τυγχάνει, πότερον ἀγαθοποιὰ ἢ φαῦλα καὶ τίς ὁ τόπος καὶ τί δύναται σημᾶναι, καὶ τῶν ἐπιπαρόντων ἀστέρων ἢ μαρτυρούντων τὰς φάσεις, καὶ οὕτως ἐν τοῖς ἐπιμερισμοῖς τὰ ἀποτελέσματα προλέγειν. οἷον τὸ διάμετρον οὐ πάντως κακοποιὸν οὐδὲ τὸ τετράγωνον, ἀλλ’ ἔσθ’ ὅτε. ὥσπερ οὖν ἐν τοῖς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καθολικοῖς ἀποτελέσμασιν ἐναλλοιοῦται ὑπὸ τοῦ τόπου ἢ μαρτυρίας ἢ κέντρου ἢ ἄλλης τινὸς φύσεως, οὕτως καὶ ἐπὶ τῆς τῶν χρόνων διαιρέσεως ἐναλλοιοῦται ἢ βεβαιοῦται τὰ ἀποτελέσματα ἐκ τῆς τῶν ἀστέρων καιρικῆς ἐπεμβάσεως. τῇ οὖν ἐπεμβάσει τῶν ἀστέρων ἀναγκαίως δεῖ προσέχειν, ὅπως καὶ τὸ λεγόμενον ἀκριβὲς 〈ᾖ〉 καὶ εὐκατάληπτον τὴν δύναμιν ἔχῃ. Ἵνα δὲ μὴ δόξω πάλιν τὰ αὐτὰ σοφίζεσθαι, καθὼς ἐμήνυσεν ὁ βασιλεὺς περὶ τούτων, αὐταῖς λέξεσιν ὑποτάξω.

291 πάντα δὲ ἀστέρα ἢ ἐπὶ τοῦ ἰδίου τόπου ἐπιπαρόντα ἢ καὶ ἐπὶ τῶν τετραγώνων ὄντ α , ἐάνπερ ᾖ προσφορώτερος ἐπὶ τῆς γενέσεως ἢ βλαπτικὸς ἐπὶ τῶν ὁμοίων τόπω ν , ἐάνπερ ᾖ βλαβερὸν ὑπὸ τῶν τῆς γενέσεως χρόνω ν . εἰ δὲ ὁ μὲν ὠφέλιμος ὑπάρχε ι , ὁ δὲ βλαβερό ς , καὶ τύχωσιν ἑκάτεροι ἐπὶ ἰδίου τόπου ἢ τετραγώνο υ , καὶ ὁ μὲν περιποιῶν ἐπιμερίσει ἐπὶ τὸν κακοποιοῦ τόπον ἐπιπαρελθώ ν , ὁ δὲ στερητικὸς γενήσεται ὧν προεμέρισ ε , χάριν τοῦ ἑκάτερον αὐτῶν ἐκ τετραγώνου γενομένους τὸν μὲν δοτικὸν γεγονένα ι , τὸν δὲ ἕτερον ἐπιμαρτυρήσαντα τῇ δόσει τῆς βλάβης τὸ μεῖον ἀποδεδειχένα ι. πάλιν λέγει· νοεῖν δὲ χρὴ καὶ τὸν τῶν χρόνων κρατοῦντα [ τ ὸ ] πῶς τέτακται πρὸς τὰ τῆς γενέσεως πράγματ α , ἔτι δὲ τοὺς ἐπικρατήτορας καὶ περιποιητικοὺς ἢ βλαπτικοὺς τόπου ς . οὐκ ἐπὶ μόνης δὲ τῆς καταρχῆς τῶν χρόνω ν , ὅπου τετεύχασιν οἱ ἀστέρε ς , συνορατέος ὁ τρόπος ἔσται ὁλοτελῶ ς , ἀλλὰ καὶ ἐν τοῖς διαμέσοις προσκοπητέον τὰς ἐπεμβάσεις τῶν λοιπῶν ἀστέρων τὰς τῶν προσμαρτυρούντων ἢ συμπαρεδρευόντων τῷ δεσπόζοντι τῶν χρόνω ν , συμπαραλαμβανομένων δὲ καὶ Ἑρμοῦ καὶ Σελήνη ς . ἐνδέχεται γὰρ ἐπὶ τῆς καταρχῆς τῶν χρόνων συμφόρων ὄντων αὐτῶν τὸν ἀγαθοποιὸν ἐπὶ τοῦ περιποιητικοῦ τόπου παρεῖναι ἢ με θ ’ ὁπόσον οὖν δήποθεν χρόνον τὴν ἐπέμβασιν ποιεῖσθα ι , κακοποιὸν δὲ ἐπεμβεβηκέναι · καὶ τῶν χρόνων καλῶν ὄντων ἀποβολὴν τῶν εἰσοδιασθέντων ποιήσετα ι . εἰ δὲ τῶν χρόνων κατὰ τὸ ἐναλλὰξ ἀποβάντων ἀγαθοποιὸς ἐπὶ τοῦ περιποιητικοῦ τύχ ῃ , ὁ δὲ κακοποιὸς χρηματίσας πρὸς τὴν γένεσιν τύχ ῃ , ἐ φ ’ ὧν χρόνων ὁ κακοποιὸς ἐπικρατε ῖ , τότε πάντοτε περιποιητικὸς ἔσται ὁ χρόνος οὐδενὶ τῶν χρόνων ἐναντίων ὄντω ν , προσεπισημανθήσεται δὲ ταῖς προσκυρούσαις δυσκολίαις καὶ ἀντερείσεσ ι. Παρ’ ἕκαστα δὲ ἐπιτηρεῖν τὰς ἑκάστου ἀστέρος ἐπεμβάσεις εἰς τὰ προσήκοντα τῇ γενέσει ζῴδια· καὶ τῆς Σελήνης ἐπιμελῶς τοὺς δρόμους σκοπεῖν· ὁπότε γὰρ ἐπ’ ἀνατολῆς τύχῃ ἐν τοῖς τετραγώνοις τοῖς δεξιοῖς ἢ εὐωνύμοις ὑπὸ Ἄρεως ἢ Κρόνου κατοπτευομένη, προφυλακτέα ἡ παράδοσις ἔσται, ὅπερ οὐδὲν ὄφελος.

292 κἂν μὲν ἐν χρόνοις κακοποιῶν τοῦτο συμβῇ, οἷον ἐπὶ τῶν τοῦ Ἄρεως χρόνων, ἐν συνοχαῖς καὶ βάρεσι γίνονται ἢ τραυμάτων περιπλοκαῖς· εἰ δὲ ὁ τοῦ Ἑρμοῦ τούτοις συμπροσγένηται τοῖς χρόνοις ἤτοι σὺν τῷ τοῦ Ἄρεως ἢ ἐπὶ τῶν προσηκόντων ζῳδίων τῷ τοῦ Ἄρεως, γραπτῶν [γὰρ] χάριν τὴν ἐπιφορὰν ἢ τὴν σύσχεσιν ἔσεσθαι σημαίνει· Κρόνος δὲ ἐπιμαρτυράμενος ἢ συμπαρὼν χάριν παλαιῶν τινῶν [ἢ χρόνων] ἢ πατρικῶν ἢ τῶν ὁμοίων 〈ἢ〉 πρεσβυτέρας κεφαλῆς χάριν. ἐπὰν δὲ τῶν χρόνων ὁ τῆς Ἀφροδίτης τὴν κυρίαν ἔχῃ, ὁ δὲ τοῦ Ἄρεως ἐπὶ τῶν τῆς Ἀφροδίτης 〈οἴκων〉 τύχῃ, γυναικείας χάριν κεφαλῆς· εἰ δὲ Ἀφροδίτη τοῦ Διὸς τοὺς χρόνους τύχῃ, ἐπὶ δὲ τῶν τοῦ Διὸς ὁ τοῦ Ἄρεως τύχῃ, βασιλικῶν χάριν ἢ καὶ μεγιστᾶνός τινος· ἰσχάνουσι δὲ καὶ προκοπὰς μεγίστας, ἐπὰν τῶν χρόνων τοῦ Διὸς ὄντων ὁ τοῦ Διὸς ἐπὶ τοῦ κατὰ κορυφὴν ἢ τοῦ περιποιητικοῦ σὺν τῷ τοῦ Ἄρεως ὑπάρχῃ. σκοπεῖν οὖν δεήσει ἐπί τε τοῦ Διὸς καὶ τοῦ Ἄρεως τὸ πράσσειν παρεχόντων, ἐπὰν ὁ τοῦ Κρόνου τὴν ἐπέμβασιν ἐπιλάβῃ καὶ τὴν ἐναντιότητα, ἵνα οἱ χρόνοι τῶν πράξεων ἐναντίοι γένωνται. εἰ δὲ ὁ τοῦ Ἑρμοῦ τὴν κυρίαν ἔχει, ὁ δὲ τοῦ Διὸς ἐπ’ αὐτοῦ παρέξει, τοῖς χρόνοις τούτοις ἐπὶ πράγματος προβιβασθήσεται καὶ καλῶς διάξει· κἂν μὲν ἐπὶ τῆς γενέσεως τύχῃ καλῶς διακείμενος, μείζονας τὰς πράξεις ἕξει κατὰ τὴν ἐπὶ τῆς γενέσεως διαστολήν· ἐναλλοιοῦται γὰρ ταῦτα ἐκείνοις καὶ ἐκεῖνα τούτοις ἐπὶ τῶν ἐκ γενετῆς διαστολῶν. τῶν γὰρ προσηκόντων κατὰ γένεσιν τόπων ἀκυρολογήτων κατὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὰς θέσεις τῶν ἀστέρων φανέντων, ἐπὰν δοτῆρες οἱ χρόνοι τύχωσι, καθάπερ προείπαμεν, ἐπὶ τοῦ περιποιητικοῦ παρῆν ὁ ἀστήρ. προσοδικῶς οὖν γενόμενος οὐ παράμονα ποιήσει τὰ προσοδιασθέντα ὑπὸ τῶν ἀνοικείως κατὰ γένεσιν ἠστερισμένων· τὰ δὲ ὑπὸ τῶν ἰδίως πρὸς ἑκάστην γένεσιν ἠστερισμένων δοθέντα, ἐπὰν οἰκείως τύχῃ κατὰ τοὺς χρόνους δοθέντα, κυρίως περιέσται, ἐπὰν οἱ πλείους τῶν ἀστέρων τῶν ἀγαθοποιῶν συμπροσῶσιν ὁποτέρῳ εἴτε καὶ ἐπὶ τῶν προσκυρούντων τῇ γενέσει ζῳδίων ἐπιμαρτυρῶσι τῷ κρατοῦντι τῶν χρόνων ὑπὸ τὸν τῆς γενέσεως καιρόν. τοῦ δὲ τοῦ Κρόνου ἐπιλαβόντος τὸν τόπον ἐναντιότητα καὶ ψύξιν ἀποτελεῖ τῶν πράξεων· εἰ δὲ καὶ τὸν τῶν ἐπόντων ἀστέρων τόπον ἐπιλάβῃ, ὁ δὲ τοῦ Ἄρεως τὸν περιποιητικὸν ἐπέχῃ τοῦ τοῦ Κρόνου καὶ τὸν τῶν πράξεων τόπον ἔχοντος, καὶ κινδύνοις ἰσοθανάτοις περιβαλεῖ.

293 δεῖ μὲν οὖν νοεῖν πάντοτε τὸν τοῦ Κρόνου κατὰ τὸ περιποιητικὸν ζῴδιον ἐπόντα βλαπτικὸν ὑπάρχοντα καὶ ἐπὶ τοῦ τούτου ἐναντίου ἐπί τε τὸν τοῦ Ἄρεως καὶ Ἀφροδίτης καὶ Ἑρμοῦ κατὰ τὴν ὁποτέρου τούτων διαστολήν. τὸ δ’ ὅμοιον ἀποτελεῖ καὶ ὁ τοῦ Ἑρμοῦ ἐπὶ τῶν τῆς Σελήνης καὶ τῶν οἰκείων ζῳδίων μαρτυρούμενος ὑπὸ Ἄρεως καὶ Κρόνου· τὸ δ’ αὐτὸ καὶ ὁ τῆς Ἀφροδίτης· πᾶς δὲ ἀστὴρ ἐπιπαρὼν τοῖς κατὰ γένεσιν ζῳδίοις οἰκείως ἐπί τε τοὺς Ἡλίου καὶ Σελήνης τόπους καὶ συγκερασθεὶς τῇ προκειμένῃ συγκρατικῇ διαστολῇ. τὸ δ’ ὅμοιον ἀποδείκνυσι τῶν ἀποτελεσμάτων τῆς κυρίας τοῦ δεσπόζοντος τῶν χρόνων συνεπικρατούσης σὺν τοῖς παρατυγχάνουσι τῶν λοιπῶν ἀστέρων. πάντοτε δὲ δεῖ τηρεῖν κατὰ φάσιν τὴν Σελήνην ἀπὸ συνόδου φωτιζομένην τοῖς τετραγώνοις μάλιστα ἐπὶ τοῦ δεκάτου ζῳδίου, καθὼς πρόκειται, ὑπὸ τῶν κακοποιῶν μαρτυρουμένην· εἰ δὲ καὶ ὁ τοῦ Ἄρεως καὶ ὁ τοῦ Κρόνου 〈ἐπὶ〉 τῶν ἐναντίων τόπων θεωρούμενοι κατὰ τὸν τῆς γενέσεως χρόνον καὶ τοὺς κυρίους τόπους διαπορευομένης τῆς Σελήνης. ὠφέλιμος δέ ἐστιν ἐπὶ τοὺς τῶν ἀγαθοποιῶν τόπους παριοῦσα, εἴπερ ἐπὶ τῶν ἐπικαίρων τῆς γενέσεως τόπων τετευχυῖα καταλαμβάνεται. Καὶ ταῦτα μέν, ὦ Μάρκε, μετὰ πολλοῦ πόνου καὶ ἐγκρατείας ζητήσας καὶ ἀνευρὼν συνέταξα καὶ τὰς αἱρέσεις ἐξεδόμην. τοιγαροῦν ὁρκίζω σε Ἥλιον καὶ Σελήνην καὶ τῶν πέντε ἀστέρων τοὺς δρόμους φύσιν τε καὶ πρόνοιαν καὶ τὰ τέσσαρα στοιχεῖα μὴ ταχέως τινὶ μεταδοῦναι καὶ ταῦτα ἀμαθεῖ μηδ’ ὡς ἔτυχε, λογισάμενον τὸν πόνον καὶ τὸν πόθον καὶ τὴν πολυχρονίαν εἰς τὰ τοιαῦτα διατριβήν τε καὶ ζήτησιν. τοῦ γὰρ χρόνου τὴν πρᾶξιν εἰκάσας ἀντὶ πολλῶν σοι χρημάτων κατέλιπον· τὸ γὰρ ἀργύριον εὐανάλωτον καὶ ἐπίφθονον καὶ εὐεπιβούλευτον ὑπάρχει, τὰ δὲ συντάγματά μου καὶ βίον σοι καὶ δόξαν καὶ τιμὴν καὶ ἡδονὴν καὶ ὠφέλειαν παρέξει, ἐάνπερ κοσμίως καὶ ἀσφαλῶς ἐνεχθῇς, καθὼς προγέγραπται, καὶ μὴ ἐγκληματικῶς μηδ’ ἀκροθιγῶς. καὶ αὐτὸς οὖν ὁμοίαν τὴν κακοπάθειαν ἡγησάμενος, ὥσπερ ἂν εἰ αὐτὸς συνέταξας—ἀλλ’ ὅμως ἐκακοπάθησας παραλαμβάνων καὶ ἀνεκρίθης ἀξίαν ἀμοιβὴν κομισάμενος, μετάδος τοῖς δυναμένοις· τοῦτο δὲ ποιήσας ἐμὲ μὲν καὶ τὸ μάθημα δοξάσεις, σαυτὸν δὲ ὠφελήσεις καὶ φιλόπονον καὶ φιλόκαλον ἀποδείξεις.

294 εὐορκοῦντι μέν σοι καταθύμιος συντέλεια. Οὐεττίου Οὐάλεντος Ἀντιοχέως τῆς πρὸς Δάφνην γενεθλιαλογουμένων βιβλίον ζ′ τετέλεστα ι. Liber VIII.

295 (1t) Οὐεττίου Οὐάλεντος Ἀντιοχέως ἀνθολογιῶν βιβλίον η′. 〈α′.〉 Πῆξις τοῦ α′ ὀργάνο υ . Τὸ α′ ὄργανον τὴν πῆξιν ἔχει ἀπὸ α′ ἕως μοίρας θ′ τοιαύτην. τῇ α′ μοίρᾳ τοῦ Ζυγοῦ παράκειται ἀριθμὸς β′, τῇ β′ δ′, τῇ γ′ ς′, τῇ δ′ η′, τῇ ε′ ι′, τῇ ς′ ιβ′, τουτέστι παραύξησις μοιρῶν β′· εἶτα ἀπὸ τῆς ζ′ μοίρας συνδέσμου λύσις, παραύξησις προσθέσεως μοιρῶν ιδ′, καὶ γίνονται ἐπὶ τῆς μοίρας ζ′ μοῖραι κς′, ἐπὶ τῆς η′ μοίρας κη′, ἐπὶ τῆς θ′ μοίρας λ′, ἐπὶ τῆς ι′ β′, ἐπὶ τῆς ια′ δ′, ἐπὶ τῆς ιβ′ ς′. ἔπειτα πάλιν συνδέσμου προσθέσεως μοῖραι ιδ′, καὶ γίνονται ἐπὶ τῆς ιγ′ μοίρας κ′, ἐπὶ τῆς ιδ′ μοίρας κβ′, ἐπὶ τῆς ιε′ μοίρας κδ′, ἐπὶ τῆς ις′ μοίρας κς′, ἐπὶ τῆς ιζ′ μοίρας κη′, ἐπὶ τῆς ιη′ μοίρας λ′. εἶτα συνδέσμου προσθέσεως μοῖραι ιδ′, καὶ γίνονται μοῖραι μδ′, ἐξ ὧν ἀφελὼν τὰς λ′ λοιπαὶ

ιδʹ· αὗται ἔσονται ἐπὶ τῆς ιθʹ μοίρας, ἐπὶ τῆς κʹ ιςʹ, ἐπὶ τῆς καʹ ιηʹ, ἐπὶ τῆς κβʹ κʹ, ἐπὶ τῆς κγʹ κβʹ, ἐπὶ τῆς κδʹ κδʹ. καὶ πάλιν συνδέσμου προσθέσεως μοῖραι ιδʹ καὶ γίνονται ληʹ, ἐξ ὧν ἀφελὼν τὰς λʹ λοιπαὶ ηʹ· αὗται ἔσονται ἐπὶ τῆς κεʹ, ἐπὶ τῆς κςʹ ιʹ, ἐπὶ τῆς κζʹ ιβʹ, ἐπὶ τῆς κηʹ ιδʹ, ἐπὶ τῆς κθʹ ιςʹ, ἐπὶ τῆς λʹ ιηʹ. ὥστε κατὰ μὲν μοίρας ςʹ συνδέσμου λύσις ἔσται προστιθεμένων τῶν ιδʹ μοιρῶν καὶ ἐφεξῆς τῶν τῆς παραυξήσεως βʹ ἐπὶ πάντων ζῳδίων. ἕξει οὖν ὁ μὲν Ζυγὸς ἐπὶ τῆς αʹ μοίρας παρακειμένας βʹ, ἐπὶ δὲ τῆς λʹ μοίρας ιηʹ. ὁμοίως δὲ τοῖς αὐτοῖς ἀριθμοῖς τοῦ Ζυγοῦ ὅ τε Λέων καὶ οἱ Ἰχθύες ὠργανοθέτηνται. εἶτα ἀκολούθως Σκορπίος ἕξει ἐπὶ μὲν τῆς αʹ μοίρας ιδʹ καὶ τῆς παραυξήσεως τῶν βʹ προστιθεμένων γενήσονται ἕως τῆς ςʹ μοίρας κδʹ καὶ ὁμοίως τῶν συνδέσμων λυομένων ἕξει τῇ μοίρᾳ λʹ παρακειμένας λʹ. τοὺς δὲ αὐτοὺς ἀριθμοὺς ἕξει ὅ τε Κριὸς καὶ ἡ Παρθένος. Ἵνα δὲ συντομωτέραν τὴν πῆξιν δηλώσωμεν πρός τό τινας καὶ ὅλον τὸ ὄργανον μνημονεύειν, οὕτως λογιζόμεθα ἐπὶ προσθέσεως· ἐπὶ τῆς πρώτης μοίρας τοῦ Ζυγοῦ παρακειμένους ἔχει βʹ· ταύταις προσέθηκα ιβʹ τοῦ κύκλου καὶ γίνονται ιδʹ.

296 ταύτας ὁ Σκορπίος ἐπὶ τῆς αʹ μοίρας ἕξει. πάλιν τὰς ιδʹ προσέθηκα ταῖς ιβʹ καὶ γίνονται κςʹ· ταύτας ὁ Τοξότης ἕξει ἐπὶ τῆς αʹ μοίρας καὶ ἐφεξῆς ἀνὰ ιβʹ προστιθέντες εὑρήσομεν τοῦ ἑξῆς ζῳδίου ταύτας παρακειμένας τῇ αʹ μοίρᾳ· αἷς ἐπισυνθέντες τὰς ιβʹ καὶ λύοντες συνδέσμους τῇ τῶν ιδʹ μοιρῶν συνθέσει ὅλον τὸ ὄργανον συμπήξομεν. ὅσας οὖν ὁ Τοξότης ἔχει παρακειμένας, τοσαύτας καὶ Ταῦρος· ὅσας ὁ Ὑδροχόος, τοσαύτας καὶ ὁ Καρκίνος· ὅσας ὁ Αἰγόκερως, τοσαύτας καὶ οἱ Δίδυμοι. καὶ ἔσται τούτων ἰσοδυναμία μὲν καὶ ἀλληλουχία, διάφορος δὲ διὰ τὰς ἀνωμαλίας τῶν ἀναφορῶν. ἔστι δὲ τὸ ὄργανον τοῦτο ἔχον καὶ τὰ ἔτη παρακείμενα τοῖς ἀριθμοῖς καὶ ταῖς μοίραις ὑποδείγματος χάριν. τὴν δὲ ἀκρίβειαν καὶ ἕκαστον κλίμα καὶ τὰς τῶν τόπων ἀλλαγὰς οἵ γε νοῦν ἔχοντες εὐκατάληπτον ἕξουσι. 〈βʹ.〉 Πῆξις τοῦ δευτέρου ὀργάνου φυσικ ή . Τῆς περὶ τὸ ὄργανον οἰκονομίας προκειμένης ἀναγκαῖον ἔσχον καὶ τὴν καταγωγὴν τῆς πήξεως ὑποτάξαι. ἡ μὲν οὖν τῶν συνδέσμων πρόσθεσις, τουτέστιν αἱ ιδʹ, σημαίνουσι τὰ φῶτα τῆς Σελήνης, αἱ δὲ δύο τῆς παραυξήσεως δακτύλους Ἡλίου. δὶς δὲ τὰ ιδʹ γίνονται κηʹ, κύκλος Σελήνης· ἐπεὶ οὖν αʹ μοίρᾳ τοῦ Ζυγοῦ παράκεινται βʹ, ἐκ τούτων ἀφεῖλον μοῖραν αʹ μʹ· λοιπὰ γίνονται ο κʹ, ὅ ἐστι μέγεθος τρίτον. ταῦτα ἐπὶ τὸν ξʹ γίνεται ρηʹ· ταῦτα ἀναλύω ἕως τῶν ξʹ καὶ γίνεται μύρια καὶ ὀκτακόσια. ταύτας ποιῶ φμʹ εἰς κύκλον ἕνα ἥμισυ καὶ γίνεται ο κʹ· ταῦτα ἔσται παρακείμενα ἐπὶ τῆς τοῦ Ζυγοῦ αʹ μοίρας· ταῦτα γʹ γίνεται ξʹ, ὅπερ ἐστὶν ἐνιαυτὸς εἷς. προσεπικατάξομεν δὲ καὶ τοὺς λοιποὺς ἐνιαυτοὺς οὕτως, προστιθέντες ἑκάστῳ ἔτει βʹ κʹ. ἔσονται οὖν ἐπὶ τῆς βʹ μοίρας τοῦ Ζυγοῦ βʹ μʹ, ἐπὶ τῆς γʹ εʹ ο, ἐπὶ τῆς δʹ ζʹ κʹ, ἐπὶ τῆς εʹ θʹ μʹ, ἐπὶ τῆς ςʹ ιβʹ ο. εἶτα ἐπὶ τοῦ συνδέσμου προσθέντες τὰ ιδʹ φῶτα τῆς Σελήνης τοῖς ιβʹ ο ἕξομεν κςʹ ο· ἐκ τούτων ἀφείλαμεν αʹ μʹ, καὶ λοιπὸν ἔσονται ἐπὶ τῆς ζʹ μοίρας κδʹ κʹ. ἐπὶ τῆς ηʹ μοίρας παλινδρομήσομεν δύο κʹ, καὶ ἔσονται κςʹ μʹ, ἐπὶ τῆς θʹ κθʹ ο, ἐπὶ τῆς ιʹ αʹ κʹ, ἐπὶ τῆς ιαʹ γʹ μʹ, ἐπὶ τῆς ιβʹ ςʹ ο. ὥστε ἐπὶ τὸν σύνδεσμον καὶ τὸν πρῶτον ἀριθμὸν ἀφαιρεῖν δεῖ αʹ μʹ, ἐπὶ δὲ τῆς παραυξήσεως προστιθέναι βʹ κʹ· τῷ δὲ αὐτῷ τρόπῳ καὶ ἐπὶ τῶν λοιπῶν ζῳδίων οἰκονομεῖν δεῖ.

297 καθάπερ δὲ καὶ ἐπὶ τοῦ αʹ ὀργάνου εὑρίσκομεν τοῦ ἑξῆς ζῳδίου τὸν παρακείμενον ἀριθμὸν τῇ αʹ μοίρᾳ, οὕτως καὶ ἐπὶ τοῦ δευτέρου ὀργάνου εὑρήσομεν. γʹ. Πῆξις ὡροσκοπούσης μοίρας πρὸς τὰ προκείμενα βʹ ὄργαν α . Πρὸ παντὸς μὲν τὴν τοῦ Ἡλίου μοῖραν ἀκριβῶς στήσαντας σκοπεῖν δεήσει τὴν προγενομένην σύνοδον, ἐάνπερ συνοδικὴ τυγχάνῃ ἡ γένεσις, πότε [δὲ] γέγονε καὶ πόστῃ ὥρᾳ καὶ πόστῃ μοίρᾳ τοῦ ζῳδίου, καὶ οὕτως λαβὼν ἀπ' αὐτοῦ ἕως τῆς γεννητικῆς ἡμέρας τε καὶ ὥρας τὸ γενόμενον πλῆθος τῶν ἡμερῶν τε καὶ ὡρῶν στοχάζεται, πόσον ἐστὶ μέρος τοῦ ἀπὸ συνόδου ἐπὶ τὴν πανσέληνον χρόνου, τουτέστι τῶν ιεʹ ἡμερῶν, καὶ τοῦτο ἐκκρούειν ἀπὸ τοῦ μεγέθους τῆς ἡλιακῆς μοίρας ἐπὶ τῶν ἡμέρας γενομένων, νυκτὸς δὲ ἀπὸ τοῦ διαμετροῦντος· τὸ δὲ περιλειπόμενον ἡγεῖσθαι μέρος ὥρας. ἢ καὶ ἄλλως ἀπὸ τῆς ἡλιακῆς μοίρας ἐπὶ τὴν σεληνιακὴν ἐξαριθμήσαντας καὶ τούτων τὸ ιβʹ λαβόντας σκοπεῖν, πόστον μέρος

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐστὶ τῶν ιε′ καὶ τοσαύτας ἀφελόντας ἐκ τοῦ μεγέθους τὸ περιλειφθὲν μέρος ὥρας ἡγεῖσθαι. ἐὰν οὖν δοθῇ ὥρα δ′, ψηφιζομένων ὡρῶν γ′ καὶ τοῦ μέρους· οὐ γὰρ δύνανται πάντες πεπληρωμέναις ὥραις γεννᾶσθαι. ὅθεν καὶ οἱ δίδυμοι πολλὴν διαφορὰν ἔχουσι παρὰ τὰς ἐναλλαγὰς τῶν ὡρῶν καὶ τῶν ζῳδίων καὶ τῶν συνδέσμων· συμβαίνει γὰρ τὸν μὲν ὀλιγοχρόνιον γίνεσθαι ἢ παραυτίκα τελευτῆσαι, τὸν δὲ πολυχρόνιον, τῆς ὥρας ἀπὸ συνδέσμου ἢ εἰς σύνδεσμον ἐκπεσούσης. ἐὰν δέ πως ἀπὸ πανσελήνου ἡ Σελήνη φέρηται, τῷ αὐτῷ τρόπῳ χρὴ λογίζεσθαι καὶ ποιεῖν τὸ μέρος· ὅταν δὲ συνοδεύσῃ ὁ Ἥλιος καὶ ἡ Σελήνη ἢ κατὰ τὸ πανσεληνιακὸν ζῴδιον τύχῃ μηδέπω β′ ἢ γ′ μοίρας ἀπέχουσα τοῦ Ἡλίου, πλήρης ἡ ὥρα κριθήσεται. ὅσας δ’ ἂν ἀποστῇ μοίρας, ἐκεῖνο μέρος ἔσται, τουτέστιν ὁ φωτισμὸς τῆς Σελήνης, ὡς ἂν τύχῃ ἤτοι ἀπὸ συνόδου ἢ πανσελήνου· ἐὰν δέ ποτε μὴ συμφωνῇ ἡ ὥρα τῇ αἱρέσει, ἀναδραμόντες μίαν μοῖραν ἢ καὶ ἐπιπροσθέντες εὑρήσομεν τὴν πλάνην τοῦ δεδωκότος καὶ μάλιστα ἐπὶ τῶν τετελευτηκότων· ἐκ γὰρ τούτων καὶ ἔτη τῶν ζώντων ἔστιν εὑρεῖν.

298 ὅθεν πρὸς τὴν ἐπιζήτησιν οὐ χρὴ ἀμελῶς φέρεσθαι, ἀλλὰ μετὰ πάσης ἀκριβείας πραγματευσάμενον ἐπισταμένως ἀποφαίνεσθαι. σκοπεῖν δὲ δεῖν, πότερον ἀπὸ τῆς συνοδικῆς ἡμέρας τε καὶ μοίρας ἕως ἐπὶ τὴν γεννητικὴν ἡμέραν, τουτέστιν ἕως τῆς σεληνιακῆς μοίρας χρὴ λαμβάνειν τὸ διάστημα, ἢ ἀπὸ τῆς ἡλιακῆς μοίρας ἐπὶ τὴν σεληνιακήν, ἢ ἀπὸ τοῦ φωτισμοῦ τουτέστιν ἀπὸ τῆς διαμετρούσης τὸν Ἥλιον μοίρας 〈ἕωσ〉 τῆς πανσελήνου. Ὑποδείγματος χάριν ἔστω Ἥλιος Ταύρου μοίρᾳ γ′, Σελήνη Κριοῦ μοίρᾳ β′· τὸ μὲν ἀπὸ Ἡλίου ἕως Σελήνης διάστημα γίνεται τκθ′, αἵπερ εἰσὶν ἡμέραι σεληνιακαὶ κζ′, τὸ δὲ ἀπὸ τῆς συνοδικῆς ἕως τῆς σεληνιακῆς ἡμερῶν ἐστιν κθ′. ἀφεῖλον τὰς συνοδικὰς ἡμέρας ἕως πανσελήνου, αἵπερ εἰσὶν ἡμέραι ιε′· λοιπαὶ γίνονται ἡμέραι ιδ′· ταύτας πολλαπλασιάζω ἐπὶ τὸν ιβ′, γίνονται ρξη′. τὸ δὲ διάστημα τῆς διαμετρούσης τὸν Ἥλιον μοίρας ἀπὸ Σκορπίου μοίρας γ′ ἕως τῆς σεληνιακῆς μοίρας γίνεται ρμθ′ μοῖραι· πλεονάζουσι δὲ αἱ ρξη′ τῶν ρμθ′ μοίραις ιθ′· δεῖ γὰρ ἴσους τοὺς ἀριθμοὺς λογίζεσθαι. ἔσται οὖν ἡ διάστασις οὐκ ἀπὸ τῆς συνοδικῆς ἡμέρας καὶ μοίρας, ἀλλ’ ἀπὸ τῆς ἐχομένης τουτέστιν τοῦ φωτισμοῦ τῆς πανσελήνου. δεῖ οὖν ἀφαιρεῖν τοῦ μεγέθους τὸ δοκοῦν περισσὸν εἶναι τῶν ιθ′ μοιρῶν, ὅπερ ἐστὶν ἡμέρα α′ ἥμισυ σεληνιακή· ἐὰν οὖν τὴν α′ ἥμισυ ἡμέραν ἀφέλωμεν ἀπὸ τῶν ιδ′, ἔσονται λοιπαὶ ιβ′ ἥμισυ, ὅσαι ἀπὸ τῆς διαμετρούσης τὸν Ἥλιον μοίρας ἕως ἐπὶ τὴν σεληνιακήν. καὶ ἐπειδὴ τὸ ἀπ’ αὐτῆς τῆς σεληνιακῆς ἕως ἐπὶ τὴν μέλλουσαν σύνοδον διάστημά ἐστι μοιρῶν λβ′, ὅπερ ἐστὶν ἡμέραι σεληνιακαὶ β′ ἥμισυ, ἐὰν ταύτας προσθῶμεν ταῖς ιβ′ ἡμίσει, ἔσονται ιε′ πλήρης τὰ τοῦ κύκλου· ὁ γὰρ τῆς Σελήνης συνοδικὸς κύκλος ἐστὶν ἡμερῶν κθ′, ὁ δὲ περιδρομικὸς ἡμερῶν κζ′ γ′, ὁ δὲ ἀνώμαλος κζ′ ∠ ′. Ἄλλω ς. Λογισάμενος τὸ ἀπὸ συνόδου ἐπὶ τὴν Σελήνην διάστημα ἢ τὸ ἀπὸ πανσελήνου ἐπὶ τὴν Σελήνην, καὶ ἐὰν μὲν ἐντὸς τῶν ρπ′ μοιρῶν εὑρεθῇ, χρῆσθαι τῷ ὑποδεδειγμένῳ τρόπῳ· ἐὰν δὲ ὑπὲρ τὰς ρπ′ μοίρας, ἀφελόντες τὰς ρπ′ τὰς λοιπὰς συγκρίνειν, πόστον μέρος ἐστὶ τοῦ δρόμου, καὶ τοῦτο ἐκκρούειν ἐκ τοῦ ὡριαίου μεγέθους. Ἄλλω ς. Ἐπεξεύρομεν δὲ καὶ ἄλλως τὸ μέγεθος τὸ τῇ ἡλιακῇ μοίρᾳ παρακείμενον δωδεκαπλασιάσαντες, νυκτὸς δὲ τὸ διάμετρον. πολλαπλασιάσομεν πάλιν τὰς αὐτὰς ἐπὶ τὰς δεδομένας ὥρας τῆς ἀποκυήσεως καὶ ἐκκρούσαντες ἀνὰ τξ′ τὰς λοιπὰς ἡγεῖσθαι γνώμονα ὡροσκοπικόν· ἔπειτα τὸ διάστημα τὸ ἀπὸ Ἡλίου ἐπὶ Σελήνην λαβὼν πρὸς ἀναφορὰν συγκρῖναι τῷ πρώτῳ γνώμονι τῷ ὡροσκοπικῷ· ἐὰν μὲν γὰρ πλεονάζῃ ὁ ἡλιακὸς γνώμων, προστίθει τῇ ὥρᾳ, ἐὰν δὲ ἐλλείψῃ, ἀφαίρει.

299 τοσοῦτον δὲ προστιθέναι δεῖ ἢ ἀφαιρεῖν, ὅσον ἂν ἡ ὑπεροχὴ τοῦ ἡλιακοῦ μεγέθους σημαίνῃ· ὁ γὰρ ὁλοτελὴς πρὸ τῆς συγκρίσεως καταληφθήσεται ἐκ τῆς κατὰ τὴν ὥραν ἢ καὶ μέρος ὥρας προσθέσεως καὶ ἀφαιρέσεως. 〈δ′.〉 Πῶς χρὴ τῶν διδυμογόνων τὴν γεννητικὴν ὥραν ἱστάνει ν . Περὶ διδύμων λόγος ἔσται τοιόσδε. ἐάν τις λέγῃ τὸν ἕνα [α′] γεγενῆσθαι ὥρᾳ πρώτῃ, νοείσθω ἐν τῷ αὐτῷ σημείῳ ἀμφοτέρους γεγενῆσθαι ὥρας πρώτης μέρει δ′, τὸ δὲ ἄλλο ἐν τῷ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἄλλῳ μέρει τῷ δʹ· δυνατὸν δέ ἐστιν καὶ ἀμφοτέρους ἐν τῷ αὐτῷ μέρει τῷ δʹ γεγενῆσθαι καὶ ἕτερον ἑτέρῳ ἀκολουθῆσαι. εἰ δὲ λέγει τὸ μὲν πρῶτον γεγενῆσθαι ὥρᾳ βʹ πρωίας, τὸ δὲ δεύτερον ὥρᾳ γʹ, γίνωσκε αὐτὸ γεγενῆσθαι ὥρᾳ βʹ. ἐὰν δὲ λέγῃ αὐτὸ γεγενῆσθαι ὥρᾳ εʹ, γίνωσκε αὐτὸ γεγενῆσθαι ὥρᾳ γʹ ∠ʹ· ἐὰν δὲ ὥρᾳ ζʹ, γίνωσκε ὥρᾳ ϛʹ· ἐὰν δὲ ὥρᾳ ηʹ, γίνωσκε ὥρᾳ ζʹ ∠ʹ· ἐὰν δὲ ὥρᾳ ιʹ, γίνωσκε ὥρᾳ θʹ· ἐὰν δὲ ὥρᾳ ιαʹ, γίνωσκε ὥρᾳ ιʹ· ἐὰν δὲ ὥρᾳ ιβʹ, ἀσφαλές ἐστιν· οὐ γὰρ δυνατόν ἐστιν διάστασιν ἑτέραν γεγονέναι. ἐὰν δὲ λέγῃ τὸ μὲν πρῶτον ὥρᾳ αʹ πλήρει, τὸ δὲ δεύτερον ὥρᾳ 〈βʹ〉, οὐ δυνατόν· ἀλλὰ καὶ τὸ ἕτερον ἤτοι ὥρᾳ βʹ ∠ʹ ἢ ὥρᾳ βʹ δʹ. ἐὰν δὲ λέγῃ τὸ μὲν πρῶτον ὥρᾳ βʹ, τὸ δὲ δεύτερον ὥρᾳ γʹ, οὐ δυνατόν, ἀλλὰ καὶ αὐτὸ ὥρᾳ [αʹ] γʹ ∠ʹ· ἐὰν δὲ λέγῃ τὸ μὲν πρῶτον ὥρᾳ γʹ, τὸ δὲ δεύτερον ὥρᾳ δʹ, οὐ δυνατόν, ἀλλὰ καὶ αὐτὸ ὥρᾳ γʹ ἢ δʹ ∠ʹ. ἐὰν δὲ λέγῃ τὸ μὲν πρῶτον ὥρᾳ ϛʹ, τὸ δὲ δεύτερον ζʹ, οὐ δυνατόν, ἀλλὰ καὶ τὸ δεύτερον ὥρᾳ ϛʹ ἢ ζʹ ∠ʹ· ἐὰν δὲ τὸ μὲν ζʹ τὸ δὲ ηʹ, γίνωσκε ηʹ ∠ʹ· ἐὰν δὲ τὸ μὲν ηʹ τὸ δὲ θʹ, οὐ δυνατόν, ἀλλὰ καὶ τὸ δεύτερον ὥρᾳ ηʹ ἢ θʹ ∠ʹ· ἐὰν δὲ τὸ μὲν θʹ ὥρᾳ τὸ δὲ ιʹ, οὐ δυνατόν, ἀλλὰ καὶ τὸ δεύτερον ὥρᾳ θʹ ἢ ιʹ ∠ʹ· ἐὰν δὲ τὸ μὲν ιʹ τὸ δὲ ιαʹ, γίνωσκε καὶ τὸ δεύτερον ὥρᾳ ιʹ ἢ πρώτῃ ὥρᾳ τῆς νυκτὸς γεγενῆσθαι. Δυνατὸν μὲν οὖν καὶ ἐν τῷ αὐτῷ μέρει τῆς ὥρας διδύμους γεννᾶσθαι· ἡ δὲ τῆς ὥρας ὀξυρροπία παραλλάξασα τὴν μοῖραν ἀνεικάστους 〈τοὺσ〉 χρόνους εἰργάσατο καὶ ἀπὸ ἐλαχίστου συνδέσμου εἰς μείζονα περιγράψασα πολυχρόνιον ἐποίησεν ἢ ἀπὸ μείζονος εἰς ἐλάχιστον ὀλιγοχρόνιον τὸν ἕτερον.

300 δεῖ οὖν συγκρίνειν τὰς μεταξὺ μοίρας καὶ λογίζεσθαι τὴν διαφοράν. 〈εʹ.〉 Εἴσοδος τῶν προκειμένων δύο ὀργάνω ν . Τὸ πρότερον ὄργανον ἁρμόζει πρὸς χρόνους ζωῆς, τὴν σύστασιν ἔχον καὶ τὴν εἴσοδον ἐκ τῆς τοῦ ὡροσκόπου μοίρας· καθ’ ἣν γὰρ ἂν εὑρεθῇ, ταύτης τὸ παρακείμενον κατὰ τὸ κλίμα μέγεθος δωδεκαπλασιάσαντες καὶ τὸ λʹ λαβόντες τοσαῦτα ἔτη φήσομεν τὰς παρακειμένας μοίρας μερίζειν καὶ τοσοῦτον διάστημα ἀπέχειν τὸν θάνατον τῆς ζωῆς. ὁμοίως δὲ καὶ τὸ ξʹ τοῦ δωδεκαπλασιασθέντος λαβόντες λογιούμεθα ἑκάστην μοῖραν τοῦ ζῳδίου τοσαῦτα ἔτη μερίζειν· ἐὰν δέ πως ἐπὶ συνδέσμου καταντήσῃ ἡ ὡροσκοποῦσα μοῖρα, τὰ γεννηθέντα ὀλιγοχρόνια ἔσται. ἔπειτα εἰσελθόντες εἰς τὸ ὄργανον κατὰ τὴν τοῦ ὡροσκοποῦντος ζῳδίου μοῖραν θεωροῦμεν, τίς ἀριθμὸς παράκειται, καὶ τοῦτον συγκρίναντες, πόστον μέρος ἐστὶ τῆς ἑξηκοντάδος, τοσοῦτον ἐκ τοῦ δωδεκαπλασιασθέντος ἀριθμοῦ ἡγησόμεθα πλῆθος βιωσίμων ἐτῶν. δεῖ μέντοι λογίζεσθαι τὸν παρακείμενον ἀριθμὸν καὶ ταῖς μοίραις τῶν ἐτῶν, πρῶτον ὥρας εἶτα ἡμέρας εἶτα μῆνας εἶτα ἐνιαυτούς. ἄλλως τε καὶ ἐπεὶ διπλασίων ὁ ἀριθμὸς παράκειται ταῖς μοίραις ἐν τῷ ὀργάνῳ, δεῖ σκοπεῖν τούτων τὴν ἡμίσειαν τοῦ χρόνου τοῦ ἐπιβάλλοντος τῇ μοίρᾳ κατὰ τὰς ζῳδιακὰς καὶ κλιματικὰς διαφοράς. Οἷον ἐπὶ τῆς τοῦ Ζυγοῦ αʹ μοίρας παράκειται ἀριθμὸς βʹ, τὰ δὲ βʹ τῆς ἑξηκοντάδος ἐστὶ τριακοστόν· τὸ δὲ λʹ τῶν ρπʹ, τουτέστι τοῦ μεγέθους τοῦ Ζυγοῦ, ἔστιν ἕκτον· σύγκειται γὰρ μοιρῶν 〈λʹ〉. ἐὰν τοσούτων ἐτῶν λογισώμεθα, αἱ λʹ μοῖραι ρπʹ ἔτη μεριοῦσιν, ἅπερ ἀδύνατόν ἐστιν ἀνθρώπῳ βιῶσαι· ἐὰν τὸ ξʹ τῶν ρπʹ λάβωμεν, εὑρήσομεν γʹ, ἃ μία μοῖρα μεριεῖ· τρὶς οὖν τὰ λʹ γίνεται ϟʹ. φήσομεν τὸν Ζυγὸν τὰ τέλεια ἔτη τοσαῦτα μερίζειν κατὰ τὴν ἐπιβάλλουσαν μοῖραν τοῦ μεγέθους. ὁμοίως δὲ καὶ ἐπὶ τῶν λοιπῶν ζῳδίων τὸ παρακείμενον ἑκάστῃ μοίρᾳ μέγεθος δωδεκαπλασιάσαντες καὶ τούτου τὸ ξʹ ἢ τὸ ∠ʹ λαβόντες εὑρήσομεν τὰ ἐλάχιστα ἢ τὰ τέλεια ἔτη. ἑκάστη δὲ μοῖρα ἑκάστου ζῳδίου διαφόρους χρόνους παραυξήσεως ἔχει· ὅθεν αἱ στιγμαὶ ἢ ῥοπαὶ τῶν ὡρῶν καὶ παραλλαγαὶ τῶν μοιρῶν πολλὴν δύναμιν κέκτηνται.

301 Τοὺς οὖν μάλιστα βουλομένους πᾶσαν αἵρεσιν μεθοδικὴν *** προσέχειν, ἐπειδὴ ἕκαστος τῶν συνταγματογράφων ἰδίως καὶ ποικίλως τὰς αἱρέσεις πραγματευσάμενος ἀποκρύφως καὶ ἐφθονημένως τὰς ἐπιλύσεις μὴ ἐκθέμενος εἴασεν, ἐγὼ δὲ διὰ πολλοῦ πόνου καὶ πολλῆς πείρας ζητήσας προέταξα. τοῦτο δέ μοι δοκεῖ μέγιστον, τὸ ἐξελέγξαι ἀλλοτρίας ἐνθυμήσεις μυστικῶς κατακεχωσμένας, ἐπεὶ καὶ αὐτὸς πολλὰς δυνάμεις διὰ πολλῶν λόγων ὕλης δυνάμενος

συντάξαι οὐκ ἠβουλήθην ὅμοιον ἑαυτὸν ἀποδεῖξαι τοῖς ματαιολόγοις· γελοῖον γὰρ ἂν εἴη ἐνάρχεσθαι κατά τινων λέγειν μὴ ἐπιγνόντα πρότερον τὸ ἴδιον ἁμάρτημα. ὅθεν ἐὰν πλειστάκις περὶ τῆς ἐμῆς ἀφθονίας καὶ ἁπλότητος ὑπομιμνήσκω, συγγνωστέος ὁ λόγος· ἔπαθον γὰρ πολλὰ καὶ πολὺν πόνον ἐπηνεγκάμην καὶ ὑπὸ πολλῶν ἐβουκολήθην καὶ τὰ δοκοῦντά μοι ἀπερείσια χρήματα ἐξανάλωσα πειθόμενος γόησι καὶ πλεονέκταις ἀνθρώποις. ἀλλ' ὅμως διὰ τῆς ἐμῆς ἐγκρατείας καὶ φιλομαθείας περιεγενόμην τῶν αἱρέσεων· ἃς οὐ μόνον οἱ ἐντυγχάνοντες καὶ ἐπιγνόντες τὸ ἀκριβὲς μεθ' ἡδονῆς καθ' ἡμῶν εἰσοίσουσι ἔπαινον, ἀλλὰ καί τινες διὰ τὸ ἀφελὲς ἐπιφθονήσουσι καὶ κακολογήσουσσιν ἐπαρασάμενοι διὰ τὴν τῶν μυστικῶν καὶ ἀποκρύφων φωταγωγίαν ἢ καὶ ἐκκόψουσί τινας αἱρέσεις ἐκ τῆς ἐμῆς συντάξεως. πρὸς τοὺς τοιούτους οὖν ἀρὰς ἐθέμην δείξας, ἃ οἶμαι αὐτοὺς πείσεσθαι. Οἱ οὖν ἐντυγχάνοντες ταῖς ὑφ' ἡμῶν συντεταγμέναις βίβλοις πάσας αἱρέσεις διελεγχούσαις μὴ λεγέτωσαν· αὕτη μέν ἐστιν τοῦ βασιλέως, ἑτέρα δὲ Πετοσίρεως, ἄλλη δὲ Κριτοδήμου καὶ τῶν λοιπῶν, ἀλλ' ἰδέτωσαν ὅτι ἐκεῖνοι μὲν προθέμενοι κωφῶς καὶ κατεζητημένως ἀνυπόστατον τὴν ἐπιστήμην κατέδειξαν, ἡμεῖς δὲ τὰς ἐπιλύσεις ποιησάμενοι οὐ μόνον θνήσκουσαν τὴν αἵρεσιν ἀνερρώσαμεν, ἀλλὰ καὶ ἑαυτῶν δόξαν κατεψηφισάμεθα καὶ ἑτέρους δὲ ἀξίους ἐμυσταγωγήσαμεν, οὐ χρημάτων προτροπῇ θελχθέντες ἀλλὰ φιλομαθεῖς καὶ ἐπιθυμητὰς ἐπιγνόντες· καὶ γὰρ αὐτοὶ τοιούτῳ χαρακτῆρι αἱρέσεως ἐχαλιναγωγήθημεν. Ἔστω οὖν ὁ λόγος ἡμῖν πάλιν εἰς τὸν περὶ χρόνων ζωῆς τόπον.

302 πᾶσαι μὲν οὖν αἱ προσυντεταγμέναι ἀγωγαὶ κατ' ἰδίαν αἵρεσιν ἀκριβεῖς καὶ δεδοκιμασμέναι, καὶ αὕτη δὲ δοκιμαστὴ καὶ θαυμαστὴ τριζῳδία. περιέχει δὲ οὕτως. μαθὼν ἀκριβῶς τὴν σεληνιακὴν καὶ ἡλιακὴν μοῖραν πρὸς τὴν ὡροσκοποῦσαν τῆς γενέσεως εἰσέρχομαι εἰς τὸ ὑποκείμενον ὄργανον καὶ κατὰ τὸν ὑποταχθησόμενον τρόπον ἐπιγνοὺς τὸν λήγοντα τῆς τριζῳδίας τόπον ἐκ τῆς ἡλιακῆς μοίρας ἔρχομαι ἐπὶ τὸ ὡροσκοποῦν ζῴδιον καὶ ἐπιγνούς, κατὰ πόστης μοίρας τυγχάνει, ἐκτίθεμαι τοῦτον ἡλιακὸν γνώμονα. εἶτα ὁμοίως καὶ εἰς τὸ τῆς Σελήνης ζῴδιον παράκειται καὶ εἰς ἐκεῖνο εἰσενέγκας τὰς τοῦ ἡλιακοῦ γνώμονος μοίρας πάλιν ὁρᾷς, τίνος τόπος ζῳδίου τυγχάνει· κἀκεῖνο εἰσενέγκας εἰς τὸ ὡροσκοποῦν ζῴδιον ἡγοῦμαι σεληνιακὸν γνώμονα καὶ συγκρίνω, πότερον ὁ ἡλιακὸς ὑπερέχει ἢ ὁ σεληνιακός. ἐὰν μὲν γὰρ ὁ τοῦ Ἡλίου προάγῃ, πρόσθεσιν ἡ ὥρα ἔχει τῶν ἀνὰ μέσον ζῳδίων· ἐὰν δὲ ὁ τῆς Σελήνης, ἀφαίρεσιν. οὗτος γάρ ἐστιν ἀναγκαστικὸς καὶ φυσικὸς ὡροσκόπος· ὅθεν μή τις ξενισθῇ, ἐὰν ἐν ἄλλῳ ζῳδίῳ ὑπονοῶν εἶναι τὸν ὡροσκόπον ἐν ἑτέρῳ εὕρῃ. μετὰ δὲ τὴν πρόσθεσιν ἢ ἀφαίρεσιν ἐπιγνούς, πόσων μοιρῶν ὁ ὡροσκόπος ἐστίν, εἰσελθὼν εἰς τὰς 〈τῆσ〉 τριζῳδίας ἀναφορὰς σκοπῶ, πόσα ἔτη παράκεινται τῇ εὑρεθείσῃ μοίρᾳ κατὰ τὸ κλίμα, καὶ ἀποφαίνομαι· παραπεσούσης δὲ μιᾶς ἢ καὶ δευτέρας μοίρας ἡλιακῆς ἤτοι σεληνιακῆς ἢ καὶ τῆς ὡροσκοπικῆς ἀσύμφωνα τὰ πράγματα κριθήσεται. Εἰ δέ τις βούλοιτο ἐλέγχειν, ἀναδραμὼν μίαν ἢ καὶ δύο μοίρας ἢ καὶ ἐπιπροσθεὶς τῇ ἡλιακῇ ἢ σεληνιακῇ, ἐάνπερ δοκῇ πεπλανῆσθαι, ἢ καὶ ἕτερον ὡροσκόπον λογισάμενος τῷ αὐτῷ τρόπῳ πραγματευσάσθω· καὶ τὴν ὁδὸν ἐξευρήσει. τοῦτο δ' ἔξεστι δοκιμάζειν ἐκ τῶν ἤδη τετελευτηκότων καὶ μὴ πιστεύειν τοῖς πεπλανημένας ἐξ ἀκοῆς γενέσεις κομίζουσιν καὶ δοκεῖν διαπταίειν, ἀλλὰ κρίνοντα βεβαίαν τὴν ὑπόθεσιν μὴ ξενίζεσθαι. προσπαραληπτέον δὲ ἀναγκαίως ἐνταῦθα τὰς ἀκτινοβολίας καὶ τὰς συμπαρουσίας τῶν κακοποιῶν πρός τε τὸν Ἥλιον καὶ τὴν Σελήνην καὶ τὸν ὡροσκόπον τόν τε οἰκοδεσποτικὸν λόγον· ἐκ γὰρ τούτων καὶ οἱ ὅροι τῆς ὑποστάσεως καταλαμβάνονται. πρὸς δὲ τοὺς ἀχρόνους ἢ ὀλιγοχρονίους λογισόμεθα τοὺς προκειμένους χρόνους τῶν ὅρων, πρῶτον μὲν ὥρας εἶτα ἡμέρας εἶτα μῆνας εἶτα ἐνιαυτούς· μετὰ δὲ τὸ συμπληρῶσαι τὸν πρῶτον ὅρον τῶν ἐτῶν τὸν δεύτερον καὶ τὸν τρίτον ὁμοίως λογισόμεθα, ὥρας ἡμέρας μῆνας, καὶ ἐπιπροσθήσομεν τῷ πρώτῳ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

303 ἐν δὲ τοῖς ὀλιγαναφόροις ζῳδίοις ἐπὰν εὕρωμεν πολυχρονίους γενέσεις, τὸν πρῶτον ἢ τὸν τρίτον ἐπισυνάγομεν ἢ τὸν δεύτερον καὶ τὸν τρίτον ἢ τὸν τέταρτον ὁλόκληρον καὶ τῶν λοιπῶν τὰ τῇ μοίρᾳ παρακείμενα καὶ ἀποφαινόμεθα. Πάλιν δὲ ποῖος ὅρος τῶν τριῶν ἰσχύσει, οὕτως γνωστέον. εἰσελθὼν κατὰ τὴν ὡροσκοποῦσαν μοῖραν θεωρῶ, πόσα ἔτη παράκειται τὸν πρῶτον ὅρον· ἔπειτα εἰσελθὼν εἰς τὴν κατ' εὐθὺ μοῖραν ζητῶ, τοῖς εὑρεθεῖσιν ἔτεσι καὶ μησὶν πόστος ἀριθμὸς παράκειται, καὶ τοῦτον προσθεὶς ταῖς τοῦ ὡροσκόπου μοίραις ἀπολύω ἀπὸ τοῦ ὡροσκοποῦντος ζῳδίου ἢ τῆς Σελήνης, ἐὰν ἐπίκεντρος ἢ ἐπαναφερομένη τύχῃ. ὅπου δ' ἂν καταλήξῃ, ὄψομαι τὰς ἀκτῖνας τῶν κακοποιῶν, μήπως ἐμποδίσωσιν· ἐὰν γὰρ οὕτως εὑρεθῇ, ὁδὶ ὀλετὴς τῶν κύκλων. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ δευτέρου καὶ τρίτου ὅρου. ἄλλως τε πάλιν λήψομαι ἐκ τῶν ἀπὸ συναφῆς τὰ ἔτη, ἐκ τῶν δευτέρων καὶ ἐκ τῶν ἀστέρων, καὶ ὄψομαι μήπως ὁ τῆς λύσεως οἰκοδεσπότης τῶν τριῶν ἐπικρατήσῃ καθ' ὃν δήποτε οὖν 〈τρόπον〉 · λύσεως δέ ἐστιν ὁ ιβʹ τόπος. προβλέπειν δὲ δεῖ καὶ τὸν κλιμακτηρικὸν λόγον, καθὼς ἐπελυσάμεθα. ἐὰν ὁ κατ' ἔλλειψιν ἀριθμὸς συνεμπέσῃ, χρεοκοπήσει ἐκ τῶν ἐτῶν μέρος· πολλάκις οὖν ἢ προλήψεται ὁ κλιμακτὴρ ἢ μετὰ τὸν λογιζόμενον ἀριθμὸν τῶν ἐτῶν τὸ τέλος ἐποίσει. παρατηρητέον δὲ εἰς ποῖον σελίδιον ἐξέπεσεν ὁ τοῦ ὡροσκόπου τόπος, πότερον δύο ἢ τρεῖς ἢ τέσσαρας ἀριθμοὺς ἔχει, καὶ οὕτως τῷ συναμφοῖν ἀριθμῷ χρῆσθαι ἐπὶ τῶν ἐτῶν. οἷον ἔστω ὡροσκοπικὴν μοῖραν ἐκπεπτωκέναι Καρκίνου μοίρᾳ ηʹ, ἥτις σημαίνει τόπον Ταύρου· ἐν δὲ τῷ αὐτῷ σελιδίῳ καὶ μοῖρα θʹ χρηματίζει· ἰσχύσει οὖν καὶ αὕτη ἡ θʹ μοῖρα πᾶσαν αἵρεσιν. ὁμοίως ἐν αὐτῷ τῷ Καρκίνῳ ἀπὸ κεʹ ἕως κηʹ μοίρας τόπῳ Ὑδροχόου· χρηματίσει οὖν καὶ ἡ κςʹ 〈καὶ〉 κζʹ μοῖρα. 〈ςʹ.

304 〉 Περὶ πήξεως τῶν ἀναφορῶν καὶ τῶν τριῶν ὅρω ν . Ἡ δὲ πῆξις τῶν ἀναφορῶν καὶ τῶν τριῶν ὅρων συνέστηκεν οὕτως. ἔστω οὖν ὑποδείγματος χάριν κατὰ τὸ δεύτερον κλίμα τὸν Κριὸν ἀναφέρεσθαι ἐν κʹ· ταῦτα ἐδίπλωσα, γίγνονται μʹ. προσέταξα τὴν αʹ μοῖραν ο μʹ, αἵτινές εἰσι μηʹ· τὴν βʹ μοῖραν αʹ κʹ· τὴν γʹ βʹ ο, τὴν δʹ βʹ μʹ, τὴν εʹ γʹ κʹ· καὶ ἕως τῆς λʹ μοίρας ἐπισυναγόμενα τὰ ο μʹ πληροῖ τὰ κʹ ἔτη. Ἑξῆς δὲ τὸν βʹ ὅρον οὕτως συναρμόσομεν κατὰ τὴν αʹ μοῖραν ἀκολούθως. ἐπεὶ ὁ Ταῦρος ἀναφέρεται ἐν κδʹ, ταύτας ἐδίπλωσα, γίγνονται μηʹ, ἃς προσέθηκα ταῖς κʹ τοῦ Κριοῦ· καὶ γίγνονται κατὰ τὴν αʹ μοῖραν τοῦ Ταύρου κʹ μηʹ, κατὰ τὴν βʹ μοῖραν καʹ λςʹ, κατὰ δὲ τὴν γʹ κβʹ κδʹ, κατὰ δὲ τὴν δʹ κγʹ ιβʹ, κατὰ δὲ τὴν εʹ κδʹ ο· καὶ ἑξῆς ἕως τῆς λʹ μοίρας τὰς ο μηʹ ταῖς κʹ ἐπιπροσθέντες εὑρήσομεν μδʹ ο. Τὸν τρίτον ὅρον οὕτως ἐπισυντάξομεν ἀκολούθως. τὴν αʹ μοῖραν τοῦ τρίτου ὅρου μδʹ νςʹ, κατὰ δὲ τὴν βʹ μεʹ νβʹ, κατὰ δὲ τὴν γʹ μςʹ μηʹ, κατὰ δὲ τὴν δʹ μζʹ μδʹ, κατὰ δὲ τὴν εʹ μηʹ μʹ, καὶ ἕως τῶν λʹ. τὰς οὖν νςʹ ἐπισυντάξαντες εὑρήσομεν οβʹ. ὁμοίως δὲ καὶ ἐπὶ τῶν λοιπῶν ζῳδίων προστάξαντες τὴν ἀναφορὰν τοῦ ζῳδίου ἐν τῷ αʹ ὅρῳ καὶ ἐπικατάγοντες εὑρήσομεν, ἐν δὲ τῷ βʹ τοῦ ἑξῆς ζῳδίου, ἐν δὲ τῷ γʹ τοῦ γʹ ζῳδίου, καθ' ὃ κλίμα τις βούλεται. Περὶ μὲν οὖν τῶν ἀναφορῶν καὶ ἐν τῇ αʹ βίβλῳ ἐδηλώσαμεν, νυνὶ δὲ τοὺς ὅρους διεκρίναμεν. διδασκαλικῶς μὲν οὖν οἶμαι [καὶ] προκεῖσθαι τὴν ὑφήγησιν· καὶ ἦν ἀρκετὸν κατὰ τοὺς λοιποὺς ἐᾶσαι ἢ καὶ ὑποτάξαντας γενέσεις οὐ μόνον ἑπτά, ὥς τινες, ἀλλὰ καὶ πλείους τὰς αἰτίας μὴ ἐκφῆναι· οὐ χρὴ δὲ συνεξομοιοῦσθαι κακίᾳ καὶ φθόνῳ. μή τις δὲ ἡμᾶς δόξῃ εὐμετάγνωτον ἦθος εἰληφέναι, ὑποτάξομαι δὲ ἀποδείξεις γενέσεων. ὅτι δὲ ταύτῃ τῇ ἀγωγῇ καὶ οἱ παλαιοὶ κέχρηνται, πρόδηλον ἡμῖν γέγονεν καὶ ἐκ τοῦ μυστικῶς εἰρηκέναι τὸν συγγραφέα · ὅρον παντὸς ἀποτελεῖ ζωῆς χρόνου ὁ κατὰ τὴν ἀναφορὰν τυχὼν τόπος · εἶτα ἐπὰν χρόνους μερίζῃ ζωτικού ς , ἐχόμενος ὁρᾶται πρακτικῶν τε καὶ ἀπράκτων χρόνω ν.

305 [Ὑπόδειγμα γενέσεως.] Ἔστω δὲ ἐπὶ ὑποδείγματος γένεσις Νέρωνος ἔτος αʹ Ἀθὺρ βʹ ὥρα γʹ νυκτερινή. Ἥλιος Σκορπίῳ μοίρᾳ ιʹ, Σελήνη Ὑδροχόῳ μοίρᾳ λʹ, ὡροσκόπος Τοξότῃ. τὰς ιʹ Ἡλίου μοίρας εἰς τὸ ὄργανον εἰσφέρω τὸ προκείμενον κατὰ τὸν Σκορπίον καὶ εὑρὼν

παρακειμένους Ἰχθῦς εἰς τοὺς Ἰχθῦς πάλιν τὰς ιʹ τοῦ Ἡλίου μοίρας εἰσήνεγκα [τοῦ ὡροσκόπου] καὶ εὑρὼν παρακείμενον Ζυγὸν ζητῶ ἐν τῷ Τοξότῃ· εὗρον περὶ μοίρας ιδʹ ιεʹ. οὗτος οὖν ἔσται ὁ ἡλιακὸς γνώμων ὁ ὡροσκοπικός, ὃν καὶ σημειοῦμαι. μετὰ τοῦτο ἔρχομαι ἐπὶ τὸ τῆς Σελήνης ζῴδιον τουτέστι τὸν Ὑδροχόον καὶ ζητῶ, ταῖς λʹ μοίραις ποῖον ζῴδιον παράκειται· εὗρον πάλιν Ὑδροχόον· εἰς τὸν Ὑδροχόον δὲ εἰσφέρω τὰς εὑρεθείσας τοῦ ἡλιακοῦ γνώμονος ιδʹ καὶ εὑρίσκω παρακείμενον ζῴδιον Τοξότην. τοῦτο ζητῶ ἐν τῷ ὡροσκόπῳ· εὗρον περὶ μοίρας αʹ βʹ γʹ· οὗτος γέγονεν σεληνιακὸς γνώμων ἐν τῷ αʹ σελιδίῳ, ὁ δὲ ἡλιακὸς ἐν τῷ ςʹ σελιδίῳ. ἐπεὶ οὖν ὁ ἡλιακὸς γνώμων προάγει, τὰ δὲ μεταξὺ σελίδιά ἐστι δʹ, ἅπερ εἰσὶν μοῖραι δʹ, ταύτας προστίθημι ταῖς προευρεθείσαις τοῦ ἡλιακοῦ γνώμονος μοίραις ιδʹ. ἄρα οὖν ὁ ὡροσκόπος ἔσται Τοξότῃ μοίρα ιηʹ· ταύτας ἔχων εἰσέρχομαι εἰς τὰ ἀπογώνια καὶ εὑρίσκω κατὰ τὸ ςʹ κλίμα ἐν τῷ γʹ ὅρῳ ἔτη ογʹ· καὶ ἐτελεύτησεν τῷ ογʹ ἔτει. εἰ δὲ ὁ τῆς Σελήνης γνώμων ὑπερεῖχεν, ἀφεῖλον ἂν ἀπὸ τοῦ ἡλιακοῦ γνώμονος τουτέστι τῶν ιδʹ τὴν προσθαφαίρεσιν τουτέστι 〈δʹ〉 · καὶ γέγονεν ὁ ὡροσκόπος ἐν Τοξότῃ μοίρᾳ ιʹ. Ἄλλ η. κλίμα δʹ Τίτου ἔτος αʹ Φαμενὼθ κʹ εἰς τὴν καʹ. Ἥλιος Ἰχθύσι μοίραις κθʹ, Σελήνη Αἰγόκερῳ κζʹ, ὡροσκόπος Σκορπίῳ· ταῖς κθʹ τοῦ Ἡλίου ἐν τῷ ὀργάνῳ κατὰ τοὺς Ἰχθῦς παράκειται Καρκίνος· ἐν Καρκίνῳ ταῖς κθʹ παράκειται Αἰγόκερως· τοῦτον ζητῶ ἐν τῷ Σκορπίῳ τῷ ὡροσκοποῦντι, εὗρον παρακειμένας μοίρας δʹ εʹ· οὗτος ἡλιακὸς ὡροσκοπικὸς γνώμων, ὃν σημειοῦμαι. εἶτα ἔρχομαι ἐπὶ τὸ σεληνιακὸν ζῴδιον τὸν Αἰγόκερω καὶ κατὰ τὰς κζʹ μοίρας εὑρίσκω Κριόν. ἐν Κριῷ ζητῶ τὰς δʹ εʹ τοῦ ἡλιακοῦ γνώμονος· εὗρον ἐν τῷ βʹ σελιδίῳ περὶ μοίρας δʹ εʹ τὸ ζῴδιον Αἰγόκερων.

306 τοῦτον ἐν τῷ ὡροσκοποῦντι Σκορπίῳ ζητῶ· εὗρον περὶ τὰς αὐτὰς μοίρας δʹ εʹ ἐν τῷ βʹ σελιδίῳ. συνεφώνησεν οὖν ὁ ἡλιακὸς γνώμων τῷ σεληνιακῷ καὶ δῆλον, ὅτι οὔτε πρόσθεσιν οὔτε ἀφαίρεσιν ἡ ὥρα ἔχει. ἔχων οὖν τὰς δʹ μοίρας ἔρχομαι εἰς τὰς ἀναφορὰς καὶ εὑρίσκω κατὰ τὸ δʹ κλίμα ἐν τῷ Σκορπίῳ τῷ ὡροσκοποῦντι εἰς τρίτον ὅρον παρακείμενα ἔτη οβʹ λγʹ· ἐτελεύτα ἐτῶν οβʹ ἥμισυ. Ἄλλ η. Τραϊανοῦ ἔτος ιζʹ κλίμα βʹ ** 〈ζʹ〉 εἰς ηʹ ὥρα νυκτερινὴ ιʹ. Ἥλιος Λέοντι κβʹ, Σελήνη Ταύρῳ ιδʹ, ὡροσκόπος Κριῷ. ἐν τῷ ὀργάνῳ κατὰ τὰς κβʹ μοίρας τοῦ Ἡλίου ἐν τῷ Λέοντι εὗρον Παρθένον· ἐν Παρθένῳ εἰς τὰς κβʹ εὗρον Καρκίνον· τοῦτον ζητῶ ἐν ὡροσκόπῳ Κριῷ τὸν Καρκίνον. εὗρον περὶ μοίρας κςʹ· οὗτος ἔσται ὁ ἡλιακὸς ὡροσκοπικὸς γνώμων. εἶτα ὁμοίως τὰς Σελήνης μοίρας ιδʹ ἔχων εἰσέρχομαι εἰς τὸν Ταῦρον καὶ εὑρίσκω παρακειμένους Διδύμους καὶ εἰσφέρω τὰς τοῦ ἡλιακοῦ γνώμονος μοίρας κςʹ καὶ εὑρίσκω παρακείμενον Ὑδροχόον. τοῦτον ζητῶ ἐν Κριῷ τῷ ὡροσκοποῦντι· εὗρον περὶ μοίρας καʹ· οὗτος γέγονεν σεληνιακὸς γνώμων. μεταξὺ δὲ τούτου καὶ τοῦ ἡλιακοῦ γνώμονος εὑρέθη σελίδιον αʹ, ὃ δηλοῖ μοῖραν αʹ. ταύτην προσέθηκα ταῖς προευρεθείσαις μοίραις κςʹ καὶ γίνονται μοῖραι κζʹ· ὁ ὡροσκόπος Κριῷ ἔσται μοίραις κζʹ. εἰσῆλθον εἰς τὰς ἀναφορὰς τοῦ Κριοῦ κατὰ τὸ βʹ κλίμα καὶ εὗρον ἐν τῷ βʹ ὅρῳ κατὰ τὰς κζʹ παρακείμενα ἔτη μαʹ λςʹ· ἐτελεύτα τῷ μβʹ ἔτει. Ἄλλ η. Τραϊανοῦ ἔτος ιηʹ Παϋνὶ ιδʹ ὥρα ἡμερινὴ εʹ κδʹ. ὁ Ἥλιος Διδύμοις κʹ, Σελήνη Ταύρῳ κζʹ, ὡροσκόπος Παρθένῳ. ταῖς κʹ μοίραις τοῦ Ἡλίου παράκειται Καρκίνος· ἐν Καρκίνῳ ταῖς κʹ παράκειται Παρθένος· Παρθένον ζητῶ ἐν τῷ ὡροσκοποῦντι, εὗρον περὶ μοίρας αʹ βʹ γʹ· οὗτος ἡλιακὸς γνώμων. εἶτα ταῖς τῆς Σελήνης μοίραις κζʹ παράκειται Κριός· ἐν Κριῷ τὰς τοῦ ἡλιακοῦ γνώμονος ζητῶ αʹ βʹ γʹ, εὗρον Λέοντα. τοῦτον ζητῶ ἐν Παρθένῳ, εὗρον περὶ μοίρας δʹ εʹ· μεταξὺ δὲ οὐδὲν σελίδιον, ὡροσκόπος Παρθένῳ αʹ μοίρᾳ. εἰσῆλθον εἰς τὰς ἀναφορὰς ἐν τῷ αʹ κλίματι καὶ εὗρον κατὰ τὴν αʹ μοῖραν τῆς Παρθένου ἐν τῷ βʹ ὅρῳ ἔτη λθʹ λςʹ· ἐτελεύτα ἐτῶν μʹ. Ἄλλ η. Ἀδριανοῦ ιβʹ Ἀθὺρ αʹ ὥρα ἡμερινὴ θʹ κλίμα εʹ. Ἥλιος Σκορπίῳ ηʹ, Σελήνη Αἰγόκερῳ ιζʹ, ὡροσκόπος Ἰχθύσι μοίραις ηʹ. τῷ Σκορπίῳ παράκειται Ταῦρος, ἐν Ταύρῳ Ζυγός· τοῦτον ἐν Ἰχθύσιν εὗρον περὶ μοίρας θʹ.

307

Eulogikon public reading copy · View original HTML at eulogikon.org

εἶτα ἐν ταῖς ιζ′ τοῦ Αἰγόκερω ταῖς σεληνιακαῖς μοίραις παράκειται Ταῦρος· ἐν Ταύρῳ ταῖς τοῦ ἡλιακοῦ γνώμονος μοίραις θ′ παράκειται Παρθένος. Παρθένον ἐν Ἰχθύσιν εὗρον περὶ μοίρας ιε′· τὰ μεταξὺ σελίδια β′, ἅτινά εἰσιν β′ μοῖραι. ταῦτα ἀφαιρῶ ἀπὸ τοῦ ἡλιακοῦ γνώμονος τῶν θ′, ἐπεὶ ὁ σεληνιακὸς γνώμων εὑρέθη προάγων, καὶ λοιπαὶ γίγνονται ζ′, αἵτινες ἐν Ἰχθύσιν ὡροσκοποῦσιν, αἷς παράκεινται κατὰ τὸ α′ κλίμα ἐν τῷ β′ ὅρῳ ἔτη κς′ μγ′. ἔζησεν ἔτη κζ′. Ἄλλ η. Οὐεσπασιανοῦ ἔτος α′ Ἐπιφὶ κβ′ ὥρα ἡμερινὴ ε′ κλίμα ς′. Ἥλιος Καρκίνῳ κη′, Σελήνη Σκορπίῳ γ′, ὡροσκόπος Ζυγῷ. ταῖς κη′ μοίραις τοῦ Ἡλίου παράκειται Ὑδροχόος, ἐν Ὑδροχόῳ ταῖς κη′ πάλιν Ὑδροχόος· τοῦτον Ζυγῷ εὗρον περὶ μοίρας δ′ ε′ ς′. εἶτα ταῖς τῆς Σελήνης μοίραις γ′ ἐν Σκορπίῳ παράκειται Σκορπίος· ἐν τούτῳ ζητῶ τὰς τοῦ ἡλιακοῦ γνώμονος μοίρας δ′ ε′, εὗρον παρακείμενον Αἰγόκερων· τοῦτον Ζυγῷ εὗρον περὶ μοίρας κβ′. τὰ μεταξὺ σελίδια τοῦ τε ἡλιακοῦ καὶ τοῦ σεληνιακοῦ γνώμονος εὑρέθησαν [μοῖραι] ζ′, ἅτινα ἀφαιρῶ ἀπὸ τῶν δ′ τοῦ Ζυγοῦ, λοιπαὶ γίγνονται Παρθένου μοῖραι κζ′, αἵτινες ὡροσκοποῦσιν. ταύταις παράκειται ἐν τῷ ς′ κλίματι ἐν τῷ β′ ὅρῳ ἔτη πα′. ἐτελεύτα ἐτῶν πα′. Ἄλλ η. Τραϊανοῦ ἔτος ιη′ Θὼθ ιδ′ εἰς ιε′ ὥρα νυκτερινὴ θ′. Ἥλιος Παρθένῳ κβ′ Σελήνη Ὑδροχόῳ δ′ 〈ὡροσκόπος Λέοντι〉 **** παράκειται Λέων. ἐν Λέοντι τῇ α′ β′ γ′ παράκειται Τοξότης· τοῦτον ἐν Λέοντι τῷ ὡροσκοποῦντι ὁμοίως εὗρον περὶ τὴν αὐτὴν μοῖραν α′ β′ γ′. ὡροσκοπεῖ Λέοντος μοῖρα α′, ᾗ παράκειται κατὰ τὸ α′ κλίμα ἔτος α′· ἐτελεύτα τῷ α′ ἔτει. Ἄλλ η. Ἀντωνίνου ἔτος ε′ Τυβὶ κη′ εἰς κθ′ ὥρα νυκτερινὴ ια′. Ἥλιος Ὑδροχόῳ ς′, Σελήνη Ταύρῳ κη′, ὡροσκόπος Αἰγόκερῳ ς′. τῷ Ὑδροχόῳ παράκειται Παρθένος, ἐν Παρθένῳ Καρκίνος· τοῦτον ἐν Αἰγόκερῳ τῷ ὡροσκοποῦντι εὗρον περὶ μοίρας α′ β′· τῇ δὲ κη′ σεληνιακῇ μοίρᾳ ἐν Ταύρῳ παράκειται Κριός. ἐν Κριῷ τὴν α′ β′ εἰσενέγκας εὗρον Λέοντα· τοῦτον ἐν Αἰγόκερῳ εὗρον περὶ μοίρας ι′ ια′. τὰ μεταξὺ σελίδια γ′· ἀφαιρῶ ἀπὸ τῆς β′ τῆς Παρθένου τὰς γ′. καὶ γίνονται λοιπαὶ Τοξότου κη′, 〈αἵ〉 εἰσιν μῆνες· ἐτελεύτα ἐτῶν γ′. Ἄλλ η. Ἀντωνίνου ἔτος ιε′ Τυβὶ ιβ′ ὥρα ἡμερινὴ α′. Ἥλιος Αἰγόκερῳ κ′, Σελήνη Διδύμοις κη′, ὡροσκόπος Αἰγόκερῳ. ταῖς κ′ τοῦ Αἰγόκερω παράκειται Ζυγός· ἐν Ζυγῷ Ἰχθύες· τούτους ἐν τῷ ὡροσκοποῦντι εὗρον Αἰγόκερῳ περὶ μοίρας κθ′ λ′.

308 εἶτα ταῖς κη′ σεληνιακαῖς μοίραις ἐν Διδύμοις 〈εὗρον〉 παρακείμενον Ὑδροχόον, ἐν Ὑδροχόῳ ταῖς κθ′ μοίραις τοῦ ἡλιακοῦ γνώμονος εὗρον πάλιν Ὑδροχόον. τοῦτον ἐν Αἰγόκερῳ εὗρον περὶ μοίρας κγ′ κδ′· τὰ δὲ μεταξὺ σελίδια β′ [ἃ] προσέθηκα ταῖς κθ′ τοῦ Αἰγόκερω. καὶ γέγονεν ὁ ὡροσκόπος Ὑδροχόῳ μοίρᾳ α′, ᾗ παράκειται κατὰ τὸ ς′ κλίμα ο μδ′· ἐτελεύτα ἐν τῷ α′. Ἄλλ η. Ἀντωνίνου ἔτος κα′ Ἀθὺρ κη′ εἰς κθ′ ὥρα νυκτερινὴ γ′. Ἥλιος Τοξότῃ ς′, Σελήνη Ὑδροχόῳ ε′, ὡροσκόπος Καρκίνῳ. ταῖς ς′ τοῦ Τοξότου παράκειται Καρκίνος· ἐν Καρκίνῳ τῷ ὡροσκοποῦντι εὗρον περὶ τὴν αὐτὴν ς′ μοῖραν. ὁμοίως ταῖς τῆς Σελήνης γ′ μοίραις ἐν Ὑδροχόῳ παράκειται Καρκίνος· ἐν Καρκίνῳ ς′ παράκειται Παρθένος. Παρθένον ἐν Καρκίνῳ τῷ ὡροσκοποῦντι εὗρον περὶ μοίρας κ′· τὰ μεταξὺ σελίδια ε′· ταύτας ἀφεῖλον ἀπὸ τῶν ς′ καὶ λοιπαὶ γίνεται Καρκίνου μοῖρα α′, ἥτις καὶ ὡροσκοπεῖ. ταύτῃ παράκειται α′ β′· ἔζησεν μα′. Ἄλλ η. κλίμα ς′ Τραϊανοῦ ἔτος η′ Φαρμουθὶ κς′. ὡροσκόπον οἱ πλείους ἔφερον Καρκίνῳ βουλόμενοί που ἀγαθοποιοὺς κεντρῶσαι, εὕρομεν δὲ ἡμεῖς ἐκ τῶν πραγμάτων Διδύμοις· Ἥλιος Ταύρῳ γ′, Σελήνη Τοξότῃ κγ′. ταῖς γ′ μοίραις τοῦ Ἡλίου παράκειται Ὑδροχόος· ἐν τούτῳ τὰς [κ]γ′ εὗρον Σκορπίῳ· τοῦτον ἐν Διδύμοις εὗρον περὶ μοίρας ιη′. τὸ μεταξὺ σελίδιον ἓν προστίθημι ταῖς κγ′ καὶ γίνονται κδ′, αἵτινες ἐν Διδύμοις ὡροσκόπουν. εἰσελθὼν κατὰ τὸ γ′ κλίμα εὗρον κδ′ νε′. ἐβίωσεν ἔτη κβ′ ἡμέρας με′. Ταῖς μὲν οὖν συντεταγμέναις παραγγελίαις καὶ κλιμακτηρικαῖς ἀγωγαῖς προσέχων τις οὐ διαμαρτήσει. ὥσπερ δὲ οἰκοδεσπότης ἢ αἵρεσις ἢ ἀκτινοβολία ὅτε μὲν πρόσθεσιν ἐτῶν ἔχει ὅτε δὲ ἀφαίρεσιν κατὰ τὰς τῶν ἀγαθοποιῶν μαρτυρίας, τὸν αὐτὸν τρόπον καὶ αὕτη ἡ ἀγωγὴ ἔχει. ἔστι δὲ ἡ διάκρισις μετὰ πολλοῦ πόνου οὕτως ἡμῖν ἐζητημένη, ἣν καὶ ὑποτάξομεν δι’ ὑποδειγμάτων. Ἄλλ η. Ἀδριανοῦ ἔτος θ′ Φαμενὼθ κη′ εἰς κθ′ ὥρα νυκτερινὴ γ′.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἥλιος Κριῷ ϛʹ, Σελήνη Κριῷ λʹ, ὡροσκόπος Σκορπίῳ. ταῖς ϛʹ τοῦ Κριοῦ παράκειται Τοξότης, ἐν Τοξότῃ ταῖς ϛʹ Καρκίνος· τοῦτον ἐν Σκορπίῳ εὗρον περὶ μοίρας κβʹ· οὗτος ἔσται ἡλιακὸς ὡροσκοπικὸς γνώμων.

309 εἰσελθὼν καὶ κατὰ τὰς λʹ τῆς Σελήνης μοίρας εὗρον Σκορπίον· ἐν Σκορπίῳ τὰς τοῦ ἡλιακοῦ γνώμονος μοίρας κβʹ εὗρον περὶ τὸν αὐτόν. συνεφώνησεν οὖν ὁ ἡλιακὸς γνώμων τῷ σεληνιακῷ γνώμονι· τὴν οὖν διάκρισιν οὕτως ἐποιησάμην. ἔλαβον τὰς λοιπὰς ὡροσκόπου μοίρας ηʹ καὶ ἃς ἐπέχει ὁ Ἥλιος μοίρας ϛʹ καὶ ἃς ἐπέχει ἡ Σελήνη μοίρας λʹ καὶ γίνονται μοῖραι μδʹ· ταύτας ἀπέλυσα ἀπὸ τοῦ σεληνιακοῦ ζῳδίου Κριοῦ καὶ κατέληξεν περὶ τὴν δʹ καὶ ιʹ μοῖραν τοῦ Ταύρου ἐν τόπῳ Διδύμων. τούτους ζητῶ ἐν Σκορπίῳ τῷ ὡροσκόπῳ καὶ εὗρον περὶ μοίρας ιβʹ. τὰς οὖν μεταξὺ τῆς κβʹ μοίρας σελίδιά ἐστι γʹ· ταύτας προστίθημι ταῖς κβʹ μοίραις καὶ γίνονται ὡροσκοποῦσαι διευκρινημένως ἐν Σκορπίῳ μοῖραι κεʹ, αἷς παράκεινται κατὰ τὸ ϛʹ κλίμα ἐν τῷ αʹ ὅρῳ λαʹ κηʹ· ἐτελεύτα τῷ λαʹ ἔτει. οἱ μέντοι πλεῖστοι περιφεύγοντες τὴν τοῦ Ἄρεως ἀντίζυγον στάσιν ἔφερον Ζυγῷ τὸν ὡροσκόπον. Ἄλλ η. Ἀδριανοῦ ἔτος ιεʹ Ἐπιφὶ ιϛʹ ὥρα ἡμερινὴ γʹ. Ἥλιος Καρκίνῳ κʹ, Σελήνη Διδύμοις κεʹ, ὡροσκόπος Παρθένῳ. ταῖς κʹ τοῦ Καρκίνου παράκειται Παρθένος, ἐν Παρθένῳ Καρκίνος· τοῦτον ἐν τῷ ὡροσκοποῦντι εὗρον ἐν τῇ κʹ μοίρᾳ. ὁμοίως ταῖς τῆς Σελήνης μοίραις κεʹ παράκειται Ὑδροχόος· Ὑδροχόῳ ἐν ταῖς κʹ τοῦ ἡλιακοῦ γνώμονος εὑρέθη Κριός· τοῦτον ἐν Παρθένῳ εὗρον περὶ μοίρας κθʹ. ἐπεὶ οὖν ὁ σεληνιακὸς γνώμων προάγει τὸν ἡλιακὸν γνώμονα, τὰ μεταξὺ σελίδιά ἐστι βʹ. ταύτας ἀφαιρῶ ἐκ τῶν κʹ καὶ λοιπαὶ γίγνονται ἐν Παρθένῳ μοῖραι ιηʹ. τὴν δὲ διευκρίνησιν οὕτως ἐποιησάμην· ἔλαβον τὰς λοιπὰς τῆς Παρθένου μοίρας ιβʹ καὶ ἅπερ εἶχεν ὁ Ἥλιος κʹ καὶ ἃς ἐπέχει ἡ Σελήνη κεʹ καὶ γίγνονται νζʹ. ταῦτα ἀπέλυσα ἀπὸ τοῦ σεληνιακοῦ ζῳδίου καὶ κατέληξεν Καρκίνῳ μοίραις κζʹ, αἵτινες σημαίνουσι τόπον Ὑδροχόου. Ὑδροχόον ζητῶν ἐν Παρθένῳ εὗρον περὶ μοίρας κϛʹ· τὰ δὲ μεταξὺ τῆς ιηʹ μοίρας σελίδια ηʹ ἀφαιρῶ ἐκ τῶν ηʹ· λοιπαὶ γίγνονται ιϛʹ Παρθένου, αἷς παράκειται κατὰ τὸ βʹ κλίμα καʹ κʹ. ἐτελεύτα τῷ καʹ ἔτει. Ἄλλ η. Νέρωνος ἔτος ιδʹ Θὼθ ιδʹ εἰς ιεʹ ὥρα νυκτὸς ιαʹ. Ἥλιος Παρθένῳ κεʹ, Σελήνη Κριῷ ιʹ, ὡροσκόπος Παρθένῳ. ταῖς κεʹ μοίραις τῆς Παρθένου παράκειται Αἰγόκερως, ἐν Αἰγόκερῳ κεʹ παράκειται Σκορπίος· τοῦτον ζητῶ ἐν Παρθένῳ, εὗρον περὶ μοίρας ιαʹ.

310 εἶτα τῇ σεληνιακῇ μοίρᾳ ιʹ ἐν Κριῷ παράκειται Παρθένος, ἐν Παρθένῳ ταῖς ιαʹ Σκορπίος. λαμβάνω οὖν τὰς λοιπὰς μοίρας τῆς Παρθένου ιθʹ καὶ ἃς ἐπέχει ὁ Ἥλιος μοίρας κεʹ καὶ ἃς ἐπέχει ἡ Σελήνη ιʹ, γίνονται νδʹ. ταύτας ἀπολύω ἀπὸ τοῦ σεληνιακοῦ ζῳδίου καὶ καταλήγει Ταύρῳ μοίραις κδʹ, αἷς παράκειται Καρκίνος· τοῦτον ἐν Παρθένῳ εὗρον περὶ μοίρας κʹ. τὰ δὲ μεταξὺ σελίδια τῆς ιαʹ μοίρας ἐτύγχανεν γʹ· ταύτας ἀφαιρῶ ἀπὸ τῶν ιαʹ καὶ λοιπαὶ ηʹ· τοσούτων μοιρῶν ὁ ὡροσκόπος Παρθένῳ. εἰσελθὼν οὖν εἰς τὰς ἀναφορὰς εὗρον ἐν τῷ γʹ ὅρῳ τοῦ αʹ κλίματος παρακείμενα ἔτη νϛʹ· τοσούτων ἐτελεύτα. Ἄλλ η. Τραϊανοῦ ἔτος ιβʹ Παϋνὶ ηʹ ὥρα ἡμερινὴ βʹ. Ἥλιος Διδύμοις μοίραις ιγʹ, Σελήνη Αἰγόκερῳ δʹ, ὡροσκόπος Καρκίνῳ. ταῖς τῶν Διδύμων μοίραις ιγʹ παράκειται Ζυγός, ἐν Ζυγῷ Παρθένος· ταύτην ἐν τῷ ὡροσκοποῦντι Καρκίνῳ εὗρον περὶ μοίρας κʹ. εἶτα ταῖς δʹ μοίραις τῆς Σελήνης ἐν Αἰγόκερῳ εὗρον Παρθένον, ἐν Παρθένῳ ταῖς κʹ τοῦ ἡλιακοῦ γνώμονος εὗρον Καρκίνον· τοῦτον ἐν τῷ ὡροσκοποῦντι εὗρον περὶ μοίρας δʹ· οὗτος σεληνιακὸς γνώμων. ἐπεὶ οὖν προάγει ὁ ἡλιακὸς γνώμων τὸν σεληνιακόν, τὰ δὲ μεταξὺ σελίδια ϛʹ, ταύτας προστίθημι ταῖς κʹ καὶ γίνονται κϛʹ μοῖραι, αἵτινες ὡροσκοποῦσιν Καρκίνῳ. εἶτα λαμβάνω τὰς λοιπὰς δʹ τοῦ Καρκίνου καὶ τὰς ιγʹ τοῦ Ἡλίου καὶ τὰς δʹ τῆς Σελήνης, γίνονται καʹ· ταύτας ἀπέλυσα ἀπὸ Αἰγόκερω καὶ καταλήγει περὶ τὴν καʹ μοῖραν τοῦ αὐτοῦ ζῳδίου. ταύτας ζητῶ ἐν Αἰγόκερῳ, εὗρον Ζυγόν· τοῦτον ἐν Καρκίνῳ, εὗρον περὶ μοίρας ιηʹ. τὰ δὲ μεταξὺ τῆς κϛʹ σελίδια βʹ· ταῦτα προστίθημι πάλιν ταῖς κϛʹ καὶ γίνονται μοῖραι κηʹ ὡροσκόπος Καρκίνῳ· διευκρινημένος δὲ οὗτος. εἰσελθὼν οὖν εἰς τὸ ϛʹ κλίμα εὗρον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τῷ μὲν α′ ὅρῳ παρακείμενα λ′ κε′, τῷ δὲ β′ ξζ′ νε′, τῷ δὲ γ′ ρι′ κη′. τοῦ μὲν α′ ὅρου λογιζόμεθα ἔτη, τοῦ δὲ β′ καὶ τοῦ γ′ μῆνας, οἳ γίγνονται ἔγγιστα ρπα′, ἅ ἐστιν ἔτη ιε′, καὶ τὰ τοῦ α′ ὅρου ἔτη λ′· γίγνονται ὁμοῦ με′ ἔτη· ἐτελεύτα δὲ τῷ με′ ἔτει. πρῶτον δὲ καθὼς προεῖπον τῶν ὅρων τὰς παρακειμένας ὥρας λογίζεσθαι, εἶτα ἡμέρας, εἶτα μῆνας, εἶτα ἔτη. Ἄλλ η. Δομετιανοῦ ἔτος β′ Παχὼν κ′ ὥρα α′. Ἥλιος Ταύρῳ κζ′, Σελήνη Παρθένῳ κ′, ὡροσκόπος Διδύμοις. ταῖς κζ′ τοῦ Ταύρου παράκειται Κριός, ἐν Κριῷ Καρκίνος· τοῦτον ἐν Διδύμοις εὗρον περὶ μοίρας κ′. ταῖς κ′ τῆς Σελήνης ἐν Παρθένῳ παράκειται Καρκίνος, ἐν Καρκίνῳ ταῖς προευρεθείσαις κ′ παράκειται Παρθένος· ταύτην ἐν Διδύμοις εὗρον περὶ μοίρας δ′.

311 τὰ μεταξὺ τῆς κ′ σελίδια ϛ′· ταύτας προστίθημι ταῖς κ′ καὶ γίγνονται κϛ′ Διδύμοις· εἶτα λαμβάνω τὰς λοιπὰς τῶν Διδύμων δ′ καὶ τὰς τοῦ Ἡλίου κζ′ καὶ τὰς τῆς Σελήνης κ′, γίγνονται να′. ταύτας ἀπολύω ἀπὸ τοῦ σεληνιακοῦ ζῳδίου καὶ καταλήγει Ζυγῷ μοίραις κα′ τόποις Καρκίνου· ταύτας ἐν Διδύμοις εὗρον περὶ μοίρας ια′· τὰ μεταξὺ σελίδια ε′· ταύτας προστίθημι ταῖς κϛ′ τῶν Διδύμων καὶ γίγνεται ὁ ὡροσκόπος Καρκίνου μοῖρα α′, ᾗ παράκειται ἐν τῷ δ′ κλίματι καὶ κατὰ τὸν γ′ ὅρον ἔτη οα′· ἃ καὶ ἐβίωσεν. Ἄλλ η. Δομετιανοῦ ἔτος ε′ Ἀθὺρ κδ′ ὥρα ε′ ἥμισυ. Ἥλιος Τοξότῃ γ′, Σελήνη Διδύμοις δ′, ὡροσκόπος Ἰχθύσι. ταῖς μοίραις τοῦ Τοξότου παράκειται Τοξότης, πάλιν ταῖς γ′ Τοξότης. τοῦτον ἐν Ἰχθύσι περὶ ια′ ιβ′ μοίρας εὗρον. εἶτα καὶ ταῖς τῆς Σελήνης μοίραις δ′ ἐν Διδύμοις παράκειται Παρθένος, ἐν Παρθένῳ ταῖς ια′ παράκειται Σκορπίος· τοῦτον ἐν Ἰχθύσιν εὗρον περὶ μοίρας κϛ′. τὰ μεταξὺ σελίδια ε′· ταύτας ἀφεῖλον ἀπὸ τῶν ια′ καὶ λοιπαὶ ϛ′. ἔλαβον οὖν τὰς λοιπὰς κδ′ καὶ Ἡλίου γ′ καὶ Σελήνης δ′, γίγνονται λα′· ταύτας ἀπέλυσα ἀπὸ τῶν Διδύμων καὶ κατέληξαν Καρκίνῳ μοίρᾳ α′ τόπῳ Σκορπίου. τοῦτον ἐν Ἰχθύσιν εὗρον πάλιν περὶ μοίρας [κ]ϛ′, μεταξὺ ζῴδια ζ′· ταῦτα ἀφαιρῶ ἀπὸ τῶν ϛ′ τῶν Ἰχθύων [εὗρον πάλιν περὶ μοίρας κϛ′], λοιπαὶ γίγνονται Ὑδροχόου μοῖραι κθ′, αἵτινες ὡροσκοποῦσιν. ταύταις παράκειται κατὰ τὸ δ′ κλίμα τῷ μὲν πρώτῳ ὅρῳ κβ′ λγ′, τῷ δὲ β′ ὅρῳ μβ′ κζ′, γίγνονται ξε′· ἐτελεύτα τῷ ξε′ ἔτει. Ἄλλ η. Τίτου ἔτος β′ Χοιὰκ α′ ὥρα θ′ ἥμισυ. Ἥλιος Τοξότῃ η′, Σελήνη Ταύρῳ κζ′, ὡροσκόπος Ταύρῳ. ταῖς η′ τοῦ Τοξότου παράκειται Καρκίνος, ἐν Καρκίνῳ Ταῦρος· τοῦτον ἐν τῷ αὐτῷ ὡροσκόπῳ περὶ μοίρας α′ β′ γ′ εὗρον. ταῖς κζ′ τῆς Σελήνης ἐν Ταύρῳ παράκειται Κριός, ἐν τῷ Κριῷ τῇ α′ β′ γ′ παράκειται Λέων· τοῦτον ἐν Ταύρῳ εὗρον περὶ μοίρας ιθ′. τὰ μεταξὺ σελίδια ϛ′· ταῦτα ἀφαιρῶ ἀπὸ τῆς α′ Ταύρου καὶ λοιπὸν Κριοῦ κε′· λοιπαὶ Κριοῦ ε′ καὶ Ἡλίου η′ καὶ Σελήνης κζ′, γίγνονται 〈μ′〉. ταύτας ἀπολύω ἀπὸ τοῦ σεληνιακοῦ ζῳδίου καὶ καταλήγει Διδύμοις μοίρᾳ ι′ τόπῳ Τοξότου. τοῦτον ἐν Κριῷ εὗρον περὶ μοίρας ϛ′ ζ′ καὶ τὰ μεταξὺ τῆς κε′ μοίρας ἐστὶν ϛ′. ταύτας προσέθηκα ταῖς κε′ τοῦ Κριοῦ· γίγνεται ἡ ὥρα Ταύρου μοίρᾳ α′, ᾗ παράκειται κατὰ τὸ Βαβυλῶνος κλίμα τῷ μὲν α′ ὅρῳ ο μη′, τῷ β′ κδ′ κϛ′, τῷ δὲ γ′ νγ′ δ′· συνέθηκα οὖν τοὺς γ′ ὅρους, γίγνονται οη′ μη′· ἐβίωσεν ἔτη οζ′ μβ′.

312 Ἄλλ η. Ἀντωνίνου ἔτος ιδ′ Μεχὶρ κγ′ ὥρα ἡμερινὴ θ′. Ἥλιος Ἰχθύσι γ′, Σελήνη Λέοντι ιγ′, ὡροσκόπος Καρκίνῳ. ταῖς τοῦ Ἡλίου γ′ μοίραις παράκεινται Ἰχθύες, τούτους ἐν Καρκίνῳ εὗρον περὶ μοίρας ι′. ὁμοίως ταῖς ιγ′ μοίραις τῆς Σελήνης τῆς ἐν Λέοντι παράκειται Ὑδροχόος, ταῖς ι′ παράκειται Ζυγός· τοῦτον ἐν Καρκίνῳ εὗρον περὶ μοίρας ιη′. τὰ μεταξὺ ζῴδια β′· ταῦτα ἀφεῖλον ἀπὸ τοῦ ι′, λοιπαὶ η′. ἔλαβον τὰς λοιπὰς κβ′ τοῦ Καρκίνου καὶ Ἡλίου γ′ καὶ Σελήνης ιγ′, γίγνονται λη′· ταύτας ἀπέλυσα ἀπὸ Σελήνης καὶ κατέληξεν ἐν Παρθένῳ η′ τόπῳ Ζυγοῦ. τοῦτον εὗρον ἐν Καρκίνῳ περὶ μοίρας ιη′. τὰ μεταξὺ τῆς η′ μοίρας ἐστὶ ζῴδια γ′. ταύτας ἀφεῖλον ἀπὸ τῶν η′, λοιπαὶ γίγνονται ε′ Καρκίνου μοῖραι, αἷς παράκειται ε′ κ′· ἐτελεύτα τῷ ϛ′ ἔτει. Ἄλλ η. Ἀδριανοῦ ἔτος ε′ Παχὼν κγ′ εἰς κδ′ ὥρα νυκτερινὴ ι′. 〈ὡροσκόποσ〉 γέγονεν Αἰγόκερῳ, εὕρομεν δὲ ἡμεῖς Ὑδροχόον οὕτως. Ἥλιος Ταύρῳ κθ′, Σελήνη Σκορπίῳ ιε′. ταῖς κθ′ τοῦ Ταύρου παράκειται Σκορπίος, ἐν Σκορπίῳ Ζυγός· τοῦτον ἐν Ὑδροχόῳ εὗρον περὶ μοίρας ι′. εἶτα ταῖς ιε′ τῆς Σελήνης παράκειται Παρθένος, ἐν Παρθένῳ ἐν ταῖς προευρεθείσαις Ζυγός· τοῦτον ἐν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὑδροχόῳ περὶ τὴν αὐτὴν μοῖραν εὗρον. λοιπαὶ οὖν τοῦ Ὑδροχόου κʹ καὶ Ἡλίου κθʹ καὶ Σελήνης ιεʹ, γίγνονται ξδʹ· ταύτας ἀπολύω ἀπὸ Σελήνης καὶ καταλήγει Αἰγόκερῳ δʹ τόπῳ Παρθένου. ζητῶ Παρθένον ἐν Ὑδροχόῳ τῷ ὡροσκοποῦντι, εὗρον περὶ μοίρας ϛʹ· τὸ μεταξὺ σελίδιον αʹ· τοῦτο προστίθημι ταῖς ιʹ μοίραις καὶ γίγνονται ὡροσκόπος Ὑδροχόου μοῖραι ιαʹ, αἷς παράκειται κατὰ τὸ βʹ κλίμα ἐν τῷ βʹ ὅρῳ λαʹ κεʹ· ἐτελεύτα συμπληρώσας ἔτη λβʹ. Ὅθεν οὐ δεῖ πιστεύειν πάντοτε τοῖς διδομένοις ὡροσκόποις καὶ μάλιστα ἐπὶ τῶν νυκτερινῶν γενέσεων ἢ ἐν τῷ χειμερινῷ κύκλῳ ἐχόντων τὸν Ἥλιον διὰ τὸ ζοφῶδες τοῦ ἀέρος καὶ εἰκαστικὸν τῶν ὡρῶν, ἀλλὰ καὶ [κατὰ] τὸν λογιζόμενον ὡροσκόπον συγκρίνειν καὶ τὰ παρ' ἑκάτερα ζῴδια· καὶ ἐὰν μὲν τὸ προαναφερόμενον δοκιμάζειν θέλῃ, ἀφαιρεῖν δεήσει ἐκ τῶν προεψηφισμένων σεληνιακῶν μοιρῶν κατὰ τὴν λογισθεῖσαν ὥραν τὸ ἐπιβάλλον τῷ ζῳδίῳ ἢ ταῖς ὥραις κατὰ τὸ δρόμημα· ἐν δὲ τῷ ἐπαναφερομένῳ ζῳδίῳ προστιθέναι ταῖς τῆς Σελήνης μοίραις ὁμοίως τὸ ἐπιβάλλον· οὕτως γὰρ ἀεὶ ἄπταιστος ἡ διαίρεσις κριθήσεται.

313 Ἄλλ η. Ἀδριανοῦ ἔτος γʹ, Φαμενὼθ κθʹ εἰς λʹ, ὥρα νυκτερινὴ δʹ ἥμισυ. Ἥλιος Κριῷ μοίραις ζʹ, Σελήνη Ἰχθύσι βʹ, ὡροσκόπος Σκορπίῳ. 〈οὗτοσ〉 μὲν καθ' αὑτὸ οὐκ ἐδήλου [δὲ] τὴν ὑπόστασιν τῶν ἐτῶν, ἐκ δὲ τῆς ἐκβάσεως τοῦ ἀποτελέσματος καὶ τῆς διακρίσεως ἀπὸ τοῦ Τοξότου ἐν τῷ Σκορπίῳ εὑρέθη οὕτως. ταῖς ζʹ τοῦ Κριοῦ παράκειται Τοξότης, ταῖς τοῦ Τοξότου ζʹ παράκειται Καρκίνος· τοῦτον ἐν τῷ ἀναγκαστικῷ ὡροσκόπῳ τῷ Τοξότῃ, ἵνα ὁ κατὰ φύσιν εὑρεθῇ· δῆλον περὶ τὴν αὐτὴν μοῖραν ϛʹ εἶναι. εἶτα Σελήνης Ἰχθύων μοίραις βʹ παράκεινται Ἰχθύες· ἐν Ἰχθύσι ταῖς ϛʹ παράκειται Ταῦρος. τοῦτον ἐν Τοξότῃ περὶ μοίρας ιβʹ· μεταξὺ σελίδιον αʹ· τοῦτο ἀφεῖλον ἀπὸ τῶν ϛʹ, λοιπὸν γίγνεται εʹ Τοξότου. εἶτα ἔλαβον τὰς λοιπὰς τοῦ Τοξότου μοίρας κεʹ καὶ Ἡλίου ζʹ καὶ Σελήνης βʹ· γίνονται λδʹ· ταῦτα ἀπέλυσα ἀπὸ Σελήνης καὶ κατέληξεν περὶ μοίρας δʹ τοῦ Κριοῦ τόπον Αἰγόκερω. τοῦτον ἐν Τοξότῃ εὗρον περὶ μοίρας κδʹ· τὰ μεταξὺ τῆς εʹ μοίρας σελίδιά ἐστιν ζʹ· ταῦτα ἀφεῖλον ἀπὸ τῶν εʹ μοιρῶν τοῦ Τοξότου καὶ λοιπαὶ γίγνονται Σκορπίου κηʹ, αἵτινες ὡροσκοποῦσιν. ταύταις κατὰ τὸ βʹ κλίμα παράκειται ἔτη κηʹ μοῖραι ἐν τῷ αʹ ὅρῳ λγʹ λγʹ· ἐτελεύτησεν πληρώσας ἔτη λγʹ. Τῆς δὲ προκειμένης διευκρινήσεως οὕτως ἐχούσης εὕρομεν καὶ ἑτέραν ἐπὶ ἐνίων γενέσεων σπανίως, ἣν καὶ ὑποτάξομεν πρὸς τὸ μὴ πλέκεσθαί τινας ἢ ἀποδοκιμάζειν τὴν αἵρεσιν. ἐπὰν γὰρ κατὰ τὸ τετράγωνον εὑρεθῇ τὰ φῶτα ἢ κατὰ τὸ διάμετρον ἢ ἐν τῷ αὐτῷ ζῳδίῳ τῆς Σελήνης ὁμοίως τῷ Ἡλίῳ, ψηφιοῦμεν οὕτως. οἷον ἔστω ὑποδείγματος χάριν Ἥλιος Τοξότῃ μοίραις λʹ, Σελήνη Τοξότῃ μοίραις κεʹ, ὡροσκόπος Παρθένῳ. ταῖς λʹ μοίραις παράκειται ταῖς τοῦ Τοξότου Κριός· ἐν Κριῷ ταῖς λʹ παράκειται Σκορπίος, τοῦτον εὗρον ἐν Παρθένῳ περὶ μοίρας ιαʹ· οὗτος ἡλιακὸς γνώμων ἐστίν. ὁμοίως καὶ ταῖς τῆς Σελήνης μοίραις κεʹ ἐν Τοξότῃ παράκειται Σκορπίος, τὰς αὐτὰς πάλιν κεʹ ζητῶ ἐν Σκορπίῳ· εὗρον ἐν Διδύμοις. τοῦτον ζητῶ ἐν Παρθένῳ, εὗρον περὶ μοίρας κϛʹ· οὗτος ἔσται σεληνιακὸς γνώμων.

314 τὰ δὲ μεταξὺ σελίδια τοῦ ἡλιακοῦ γνώμονος εὑρέθη εʹ· ταῦτα ἀφαιρῶ ἀπὸ τῶν ιαʹ, γίγνονται ϛʹ· τοσούτων ὁ ὡροσκόπος γίγνεται, 〈αἷς παράκειται〉 κατὰ τὸ ζʹ κλίμα ἔτη οαʹ, ἃ ἔζησεν. Ἄλλ η. Ἥλιος Τοξότῃ μοίραις γʹ, Σελήνη Τοξότῃ μοίραις ζʹ, ὡροσκόπος Ζυγῷ. ταῖς γʹ τοῦ Τοξότου παράκειται Τοξότης, τοῦτον ἐν Ζυγῷ εὗρον περὶ μοίρας ιαʹ· οὗτός ἐστιν ὁ ἡλιακὸς γνώμων. ὁμοίως 〈ταῖσ〉 τῆς Σελήνης ζʹ ἐν Τοξότῃ παράκειται Καρκίνος, ἐν Καρκίνῳ τὰς ζʹ πάλιν εὗρον Κριοῦ· τοῦτον εὗρον ἐν Ζυγῷ περὶ μοίρας ιηʹ· οὗτος σεληνιακὸς γνώμων. ἔσται εἰς τὸ μεταξὺ σελίδια βʹ· ταῦτα ἀφαιρῶ ἐκ τοῦ ἡλιακοῦ γνώμονος τῶν ιαʹ, λοιπαὶ 〈θʹ〉, ὡροσκοποῦσι Ζυγοῦ μοῖραι θʹ ἅμα Ἡλίου τε καὶ Σελήνης. οὗτοι γὰρ τὰ πάντα συνέχουσι καὶ τῶν ἀστέρων τὰς φάσεις διέπουσιν ἄλλοτε ἄλλως περιδινουμένων καὶ ἐναλλασσομένων τὴν δύναμιν. ἀλλὰ κατὰ τὸν ἡμέτερον λόγον μοῖραί εἰσιν τοῦ κύκλου τξʹ, ἃς ὁ κοσμοκράτωρ Ἥλιος διιππεύει 〈ἐν〉 ἐνιαυτῷ καὶ τὸν μὲν ὁρώμενον χρόνον ἐπιμερίζει ἑκάστῳ, τὰ δ' εἴδη τῶν θανάτων

ἐναλλαγήσεται· καὶ γὰρ ἔστιν ἰδεῖν τῶν μὲν αὐτῶν ἐτῶν πολλοὺς τελευτῶντας, ἀλλʼ οὐ τῇ αὐτῇ ἡμέρᾳ ἢ τῇ αὐτῇ ὥρᾳ ἢ τῷ αὐτῷ πάθει καὶ μόρῳ. καὶ γὰρ ὁ Ἥλιος μίαν μὲν μοῖραν ἡμερονυκτίῳ διέρχεται, ἀλλʼ οὐχὶ τὰ αὐτὰ τοῖς τότε γεννωμένοις ἀποτελεῖ διὰ τὰς στιγμιαίας καὶ ὡριαίας παρεγκλίσεις. Πολλὴν οὖν διαφορὰν προσθέσεως ἢ ἀφαιρέσεως ἐτῶν καὶ 〈ἡ〉 μοῖρα αὐτοῦ καὶ ἡ ὥρα ἐπέχει καὶ τὰ λεπτά, καὶ μάλιστα ὅταν ἐπὶ συνδέσμους δράμῃ. οἷον τῇ τοῦ Λέοντος μοίρᾳ β′ παράκειται ϛ′, ἅτινα σημαίνει κατὰ τὸ μέγεθος ἔτη κβ′. τῇ γ′ μοίρᾳ τοῦ αὐτοῦ ζῳδίου, ἐπεί ἐστι συνδέσμου λύσις, παράκειται κ′, ἅτινα σημαίνει ἔτη οε′· τὸ ὅμοιον καὶ ἐπὶ τῶν λοιπῶν ζῳδίων νοείσθω. ὥσπερ οὖν οἱ ἐξ ἐλαχίστων συνδέσμων εἰς τοὺς μεγίστους ἐμπίπτοντες πολυχρόνιοι γίγνονται, οὕτως οἱ ἐκ τῶν μειζόνων εἰς τοὺς ἥττονας ὀλιγοχρόνιοι· εἰσὶ δὲ καὶ σύνδεσμοι μεσοχρονίους ἀποτελοῦντες, ὅταν εὔκρατος ὁ ἀριθμὸς συνεμπέσῃ· ἐκ δὲ τούτων ἔστιν εὑρεῖν τὴν διάκρισιν τῶν διδύμων τῇ αὐτῇ ὥρᾳ ἔγγιστα γεγενημένων. ἐπὶ πάσης οὖν γενέσεως παραφυλακτέον τάς τε ἡλιακὰς καὶ σεληνιακὰς μοίρας, μήποτε κατὰ σύνδεσμον συνδράμωσιν· οὗτοι γὰρ οὐ μόνον δυσεπιτεύκτους κατὰ τὰς ἐγχειρήσεις ἀποτελοῦσιν, ἀλλὰ καὶ βιαίοις μόροις καὶ κακωτικοῖς περιτρέπουσι καὶ τοὺς θανάτους παραβόλους καὶ ἀοιδίμους καὶ αἰφνιδίους καὶ ἀπροσδοκήτους· τῶν δὲ τοιούτων καὶ αἱ νόσοι ἐπισφαλεῖς καὶ δυσίατοι.

315 ὥστε ἡ μὲν ὑπόστασις τῆς ἀγωγῆς ταύτης βεβαία καὶ ἀδιάπτωτός ἐστιν, παρὰ δὲ τὰς μοίρας τῶν [τε] φώτων καὶ τῶν ὡρῶν τοὺς ὅρους διαψεύσεται· ὅθεν μετὰ πάσης [τῆς] ἐπιμελείας καὶ σπουδῆς ἐξετάζειν δεῖ καὶ πραγματεύεσθαι, τῆς θεωρίας μηδέν τι πάρεργον καὶ τὸ τυχόν, ἀλλʼ ἰσόθεον πρᾶγμα καὶ ἀθανασίαν ἐπαγγελλομένης. προκειμένου δὲ καὶ τούτου τοῦ λόγου πρός τε ὀλιγοχρονίους καὶ πολυχρονίους διὰ τὸ παράδοξον καὶ δύσπιστον τῆς πλάνης, ὅπως ἀκατηγόρητος ἡ σύνταξις ἡμῶν διαμένοι, ἐπάνιμεν ἐπʼ αὐτόν. Ὁπόταν μὲν γὰρ ἡ ὡροσκοποῦσα μοῖρα εἰς τὴν ἁρμόζουσαν ἀκολουθίαν τῆς καταγωγῆς εὑρεθῇ τουτέστιν ἀνὰ δύο προστιθέμεναι, οὐ ῥᾳδίως διαφεύξεται τοὺς χρόνους· εἰ δὲ καὶ μιᾶς μοίρας γένοιτο παραλλαγή, οὐ πολὺ τὸ διάφορον τῶν ἐτῶν γενήσεται. ὁπόταν δὲ εἰς σύνδεσμον ἢ τριακοντάδος συμπλήρωσιν, ἀμφιβολίας δεῖται ποικίλης διὰ τὴν ἀνυπέρβλητον τῶν ἐτῶν παραλλαγήν. οἷον τῇ τοῦ Καρκίνου μοίρᾳ κζ′ παράκειται ἔτη ρδ′, τῇ δὲ κη′ μοίρᾳ ἔτη ζ′· ἔσται οὖν πολλὴ διαφορὰ καὶ ἔστιν εἰκάσαι τινὰς τοὺς τοιούτους παρὰ μοῖραν ἢ ὑπὲρ μοῖραν βεβιωκέναι ἢ τεθνηκέναι. ὁ μὲν οὖν λόγος οὗτος ἀληθής· τοὺς μὲν γὰρ παρὰ μοῖραν ἢ ὑπὲρ μοῖραν οἱ β′ τόποι διὰ στιγμῆς σημαίνουσι τὸν πολὺν χρόνον ἢ ὀλιγοχρονίων. δοκεῖ δὲ μὴ θανὼν ὑπάρχειν· ἡ γὰρ φυσικὴ καὶ ἀκριβὴς τοῦ Ἡλίου μοῖρα ἐνδειξαμένη τὴν ἐνέργειαν τὸν ὡρισμένον χρόνον ἐμέρισεν καὶ τὸ πιθανὸν τῆς πλάνης ἠμαύρωσεν. παραφυλάσσειν οὖν χρὴ τοὺς ἀριθμοὺς τῶν τριακοντάδων ἐν τῷ θερινῷ κύκλῳ· πάντως γάρ τινες τὸν χρόνον βιώσονται· ἐν δὲ τῷ χειμερινῷ ἀδύνατον πολλοὺς ** τουτέστι τὰ ϟα′ ἢ οε′ βιῶσαι. δεῖ γὰρ λογίζεσθαι ἀπὸ τῶν ἰσημερινῶν ζῳδίων Κριοῦ τε καὶ Ζυγοῦ τὰς προσθέσεις τε καὶ ἀφαιρέσεις τῶν ἐτῶν κατὰ τὴν ἁρμονίαν τοῦ μεγέθους, καὶ δεῖ εἰδέναι ἑνὸς ἑκάστου ζῳδίου τὸ πλῆθος τῶν ἐτῶν· οὐ γὰρ δυνατὸν τὸν Ζυγὸν ὑπὲρ τὰς ϟα′ μερίσαι οὐδὲ τὸν Αἰγόκερων ὑπὲρ τὰς οε′. εἰ δέ τις τῶν πανούργων τὸν ὡροσκόπον καὶ ἐν τούτῳ τῷ κύκλῳ ἀντὶ καλῶν φήσει τινὰ ὑπὲρ τὰ ϟ′ ἔτη βεβιωκέναι, αὐτόθεν χρὴ νοεῖν, ὅτι διαψεύσεται βουλόμενος τὸ ἀδύνατον μεθοδεύειν· καὶ οὕτως τῆς ἰδίας ἀμαθίας κατεγνωκὼς ἔκληψιν ἀληθείας ἀναλήψεται.

316 ἤ ποτε καὶ μέρους ὥρας ὅρους χρόνου μηνῶν ἀληθὴς συνεγγίζων δὲ τῇ ἀκριβείᾳ συνδραμεῖ τῷ καταγομένῳ χρόνῳ, κλιμακτὴρ μὲν ἰσοθάνατος καὶ κινδυνώδεις αἰτίαι γενήσονται, οὐ παρακολουθήσει δὲ θάνατος διὰ τὸ τὴν διάστασιν τῶν ἐτῶν ἀμφίβολον γεγονέναι καὶ ὕποπτον. οἷον ἐὰν βάλῃ τις ὥρας γ′, προσκοπεῖν δεήσει καὶ τὸ τῆς β′ ὥρας καὶ τὸ τῆς δ′ καὶ τούτων τοὺς χρόνους εἰ συνεγγίζουσι τῇ δεδομένῃ ὥρᾳ· δυνατὸν γὰρ τὴν κατὰ σκοπὸν παραπεσεῖν. οὐ λέγω δὲ τὴν πόρρωθεν ὥραν συγκρίνειν τῇ γ′, οἷον τὴν ζ′ ἢ η′ ἢ θ′ ι′ ια′ ιβ′ (τεχνικὸς γὰρ οὗτος ὁ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τόπος γενήσεται), ἀλλὰ τὴν πλησίον· τῆς μέντοι γε ὑστέρας μοίρας τὸ ς′ τῶν ἐτῶν δεῖ λογίζεσθαι, ἐπεὶ καθὼς προεῖπον ἐν τῷ ὀργάνῳ αἱ μοῖραι ἀνὰ β′ προσθέσεως ἀριθμὸν ἔχουσιν, ὧν ἡ μία τῶν ἐτῶν λογισθήσεται. οἷον ἐὰν τὰ δωδεκαπλασιασθέντα μέγεθος σημαίνῃ ἔτη ζ′ ις′ ιε′ ιδ′ ἥμισυ, τούτων τὸ ἥμισυ. ἐὰν δὲ εἰς σύνδεσμον ἔλθῃ ἡ ὡροσκοποῦσα μοῖρα, μίαν ἀφαίρεσιν ἐτῶν ποιήσεται τοῦ μεγέθους, τουτέστι τῶν ζ′ ις′ ιε′ ιδ′ ἥμισυ. Σκοπεῖν δὲ δεῖ καὶ τὴν τοῦ Ἡλίου μοῖραν ἀκριβῶς· ἐὰν γὰρ παρὰ λεπτὸν εἴη, ἀφαιρῶ τὸ ἀνάλογον. 〈ἐκ〉 παρατηρήσεως δὲ Ἡλίου καὶ τὸν ὡροσκόπον εὗρον ἐν Παρθένῳ παρὰ μίαν μοῖραν καὶ δύο φέροντα. 〈ζ′.〉 Τῶν προκειμένων ἐφόδων εἰς τὸ β′ ὄργανον ὑποδείγματ α . Ἔστω δὲ ἐπὶ ὑποδείγματος ἔτος ς′ Τραϊανοῦ Χοιὰκ α′ εἰς τὴν β′ ὥρα νυκτερινὴ η′ 〈σύνοδοσ〉 Τοξότῃ η′ λ′. ἔλαβον ἀπὸ τῆς συνοδικῆς ἡμέρας τε καὶ ὥρας ἕως τῆς τῶν γενέσεων ἡμέρας καὶ ὥρας, γίγνονται ἡμέραι ζ′ ὧραι ιδ′, αἵπερ εἰσὶν ἥμισυ τοῦ ἀπὸ συνόδου δρόμου ἕως τῆς πανσελήνου τουτέστι τῶν ιε′ ἡμερῶν. τούτου τὸ ἥμισυ ἀφεῖλον ἀπὸ τοῦ μεγέθους εἰς τὸν ὡροσκόπον ιβ′ ο′ τῆς τοῦ Τοξότου μοίρας η′, ὅπερ ἐστὶ ιβ′, ὧν τὸ ἥμισυ γίγνεται ς′· τοῦτο τὸ μέρος ὥρας ἡγοῦμαι. ψηφίσας οὖν ὥρας θ′ καὶ προστιθεὶς τὸ μέρος καὶ ἐγκλίματος σνθ′ εὗρον τὰς πάσας τογ′ κ′, ἐξ ὧν ἀφεῖλον κύκλου ἑνὸς τξ′· λοιπαὶ ιγ′ κ′. ταύτας ἔχων εἰσῆλθον κατὰ τὸ ἔγκλιμα καὶ εὗρον κατὰ τὴν κθ′ μοῖραν τοῦ Κριοῦ παρακειμένας κλίματος ις′ κε′· χρηματίζει ἄρα αὕτη.

317 καὶ προσέθηκα ταῖς κθ′ ἄλλας η′, ἃς ἀφεῖλον ἀπὸ τῆς ἡλιακῆς μοίρας, καὶ γίγνεται Ταύρου ζ′ μοῖρα ὡροσκοποῦσα. ταύτας ἔχων εἰσῆλθον εἰς τὸ προκείμενον ὄργανον κατὰ τὴν τοῦ Ταύρου μοῖραν ζ′ καὶ εὗρον παρακείμενα κ′· τὰ δὲ κ′ τῆς ἑξηκοντάδος ἐστὶ γ′. λαμβάνω τοῦ μεγέθους τὸ γ′ οὕτως· ἐπεὶ τῇ κθ′ μοίρᾳ τοῦ Κριοῦ, ὅπου κατέληξε τὸ ἔγκλιμα, παράκειται μέγεθος ις′ κδ′, ταῦτα ποιῶ ἐπὶ τὸν ιβ′ καὶ γίγνονται ρϟς′ μη′· τούτων λαμβάνω τὸ γ′, γίγνονται ἔτη ξε′ ἥμισυ· τῷ ξε′ ἡμίσει ἔτει ἐτελεύτα. Τὴν δὲ ἀφαίρεσιν τῶν η′ μοιρῶν καὶ πρόσθεσιν ἐκ τῶν ἡλιακῶν μοιρῶν δι’ ἣν αἰτίαν ἐποιησάμην, ἐν τῷ προϊόντι λόγῳ δηλώσω. καὶ αὕτη μὲν συνοδικὴ γένεσις καὶ ἐγνωσμένη μοι ἐξ ἀκοῆς, ὥς τινες μαθεῖν βουλόμενοι τὴν τοῦ μαθήματος ὕπαρξιν ταῦτα πράσσουσι. Ἄλλ η. Οὐεσπασιανοῦ ἔτος ζ′ Ἐπιφὶ κε′ εἰς τὴν κς′ ὥρα νυκτερινὴ ς′ κλίμα Σελήνης. Ἥλιος Καρκίνῳ κζ′ μγ′, Σελήνη Ἰχθύσι ιβ′ νβ′, πανσέληνος Ἐπιφὶ κβ′ ὥρᾳ ἡμερινῇ ς′ Αἰγόκερῳ κ′. ἀπὸ πανσεληνιακῆς ἡμέρας τε καὶ ὥρας ἐπὶ τὴν γενεθλιακὴν ἡμέραν τε καὶ ὥραν γίγνονται ἡμέραι γ′ ὧραι ιβ′, αἵπερ εἰσὶ τοῦ ἀπὸ πανσελήνου δρόμου ἐπὶ σύνοδον, τουτέστι τῶν ιε′, ε′ λ′. τοῦτο ἀφεῖλον ἀπὸ τοῦ μεγέθους τοῦ παρακειμένου τῇ τοῦ Αἰγόκερω μοίρᾳ κ′, ὅπερ ἐστὶ ιβ′ κ′, καὶ λοιπαὶ γίγνονται ε′ ιβ′· τοῦτο μέρος ὥρας ἔσται. ἐψήφισα οὖν ὥρας β′ καὶ προσέθηκα τὸ μέρος ἐγκλίματος τζ′, γίγνονται τμ′ νε′. ταύτας εὗρον ἐν τῷ ἐγκλίματι περὶ τὴν κθ′ τοῦ Ὑδροχόου καὶ προσέθηκα τὰς η′ καὶ γίγνεται ὁ ὡροσκόπος Ὑδροχόου μοῖραι ζ′. ταύτας ἔχων εἰσῆλθον εἰς τὸ ὄργανον κατὰ τὴν ζ′ μοῖραν τῶν Ἰχθύων καὶ εὗρον παρακειμένας κς′, αἵπερ εἰσὶν τῆς ἑξηκοντάδος γ′ ι′· τὸ δὲ παρακείμενον μέγεθος τῇ τοῦ Ὑδροχόου μοίρᾳ κθ′ ἐτύγχανεν ιγ′ ἐγγύς. ταῦτα ποιῶ ἐπὶ τὸν ιβ′, γίγνονται ρνς′· εἶτα λαμβάνω τὸ γ′ καὶ τὸ ι′, γίγνονται ξη′· ἐτελεύτα κατ’ ἀρχὰς τῷ ξθ′ ἥμισυ ἔτει. Ἄλλ η. Ἔτος ιη′ Ἀδριανοῦ Φαμενὼθ β′ ὥρα ἡμερινὴ δ′. Ἥλιος Ἰχθύσι θ′ μς′, Σελήνη Αἰγόκερῳ θ′ μ′, πανσέληνος ἤμελλεν γενέσθαι. τὸ τῆς Σελήνης φῶς πλῆρες καὶ ἡ ὥρα ἡ δ′ πλήρης ψηφισθεῖσα σὺν ἐγκλίματι ἤνεγκεν ὡροσκόπον Ταύρῳ μοίρᾳ κθ′. κατὰ δὲ τὸ ὄργανον παράκειται τῇ κθ′ μοίρᾳ τοῦ Ταύρου ι′, ὅπερ ἐστὶ τῆς ἑξηκοντάδος ς′· τὸ δὲ μέγεθος ἦν τῆς κθ′ μοίρας τοῦ Ταύρου ιζ′ κζ′.

318 ταῦτα ἐπὶ τὸν ιβ′ γίγνεται σι′ ἔγγιστα· τούτων τὸ ς′ λαμβάνω, γίνεται λε′· ἐτελεύτα τῷ λα′ ἡμίσει ἔτει. αἱ γὰρ ὕστεραι μοῖραι τῶν χρόνων τὴν ἔλλειψιν ἔχουσιν παρὰ τὰ τοῦ Ἡλίου λεπτὰ λογιζομένης τῆς μοίρας πρὸς τὰ ἐπιβάλλοντα ἕκασται ἔτος τὸ δ′ ις′ ιζ′. Ἄλλ η. Ἔτος ιε′ Ἀντωνίνου Εὐσεβοῦς Ἀθὺρ κε′ εἰς τὴν κς′, ὥρα νυκτερινὴ θ′ ἔληγεν, κλίμα ς′. Ἥλιος Τοξότῃ β′ νβ′, Σελήνη Τοξότῃ ς′ μη′, σύνοδος γέγονεν. οὐ πολὺ τὸ διάστημα· πλήρης ἡ ὥρα ψηφισθεῖσα ἡ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

θʹ οὐ συνεφώνησεν, ἡ δὲ ηʹ ἤνεγκεν ὡροσκόπον Λέοντι ιβʹ· μετὰ τῆς προσθήκης τῶν ηʹ μοιρῶν ταύταις παράκειται ἐν τῷ ὀργάνῳ δʹ, ἅπερ εἰσὶ τῆς ἑξηκοντάδος ιεʹ. τὸ παρακείμενον τῇ τοῦ Ζυγοῦ μοίρᾳ γʹ μέγεθος ιεʹ· ταῦτα ἐπὶ τὸν ιβʹ γίγνονται ρπʹ, τούτων τὸ ιεʹ γίγνεται ιβʹ· ταῦτα ἔζησεν. 〈ηʹ.〉 Περὶ τῶν ἐχθρῶν τόπων καὶ ἀστέρω ν . περὶ κλιμακτηρικῶν τόπων πρὸς τὸ αʹ ὄργανο ν . Σκοπεῖν δὲ δεῖ τοὺς ἐχθροὺς τόπους καὶ τοὺς ἀστέρας οὐ μόνον ἐπὶ τῶν ἄλλων, ἀλλὰ καὶ τοῦ ὡροσκόπου καὶ Ἡλίου καὶ Σελήνης· οὗτοι γὰρ καὶ ἐναντίοι ἐν ταῖς παρόδοις γενόμενοι τοὺς κλιμακτῆρας καὶ τοὺς θανάτους σημαίνουσιν. οἷον ἐπὶ τοῦ Κρόνου τῶν μοιρῶν τὰς διαμετρούσας θεωρεῖν χρή, τίνος εἰσὶ θεοῦ ὅρια, καθὼς ἐν τῷ ὀργάνῳ πρόκειται, κἀκεῖ Κρόνου ὄντος ἀποθανεῖται ἢ ἐν τοῖς τετραγώνοις ἢ ἰσαναφόροις, καθὼς ἂν καὶ ὁ χρόνος συντρέχῃ ἐν τοῖς τετραγώνοις τοῦ ὡροσκόπου ἢ ἰσαναφόροις. τὸ δ’ αὐτὸ καὶ ἐπὶ τῶν ἄλλων ἀστέρων· ἐχθροὶ γάρ εἰσιν [οἱ] ἐκ τῶν ἀντικειμένων μοιρῶν τῶν ὁρίων οἱ κύριοι. οὗτοι οὖν παραγενόμενοι ἐπὶ τοὺς τόπους τὰς ἀναιρέσεις σημαίνουσιν ἢ εἰς τὰ ἰσανάφορα τοῦ ὡροσκόπου. Οἷον ἔστω Κρόνος Καρκίνου μοίρᾳ καʹ ὁρίοις Ἀφροδίτης· διαμετρεῖ Αἰγόκερως ὅρια Ἄρεως· οὗτος ἦν Ταύρου μοίρᾳ κζʹ· ἐνθάδε Κρόνου ὄντος ἀποθανεῖται. Παρθένῳ ἀπέθανεν· τὸ γὰρ μοιρικὸν τετράγωνον τούτου Σκορπίῳ μοίραις ιδʹ ὁρίοις Κρόνου· ἡ δὲ ιδʹ τοῦ Ταύρου ἐστὶν ὅρια Κρόνου. οὗτος μὲν αὑτῷ ἐχθρὸς 〈οὐ〉 γίγνεται· εἰσὶν οὖν τὸ ἰσανάφορον Σκορπίου Λέων, ἡ δὲ ιδʹ μοῖρα Λέοντος εἰσὶν ὅρια Ἡλίου. ἐλθὼν οὖν ὁ Ζεὺς ἐπὶ τοὺς τόπους Ἡλίου ἀπεχθεῖν εἰς τὸ ἰσανάφορον ἐκεῖ ἀνεῖλεν. Ἄρης Ταύρου μοίρᾳ κζʹ ὁρίοις Ἡλίου· αἱ δὲ αὐταὶ ἐν Σκορπίῳ ὅρια Σελήνης.

319 ἐχθρὸς δὲ αὐτοῦ οὐδεὶς γίγνεται· ζητῶ οὖν τὰς Λέοντος μοίρας κζʹ [η ε] ἐν τῷ ἰσαναφόρῳ, οἵ εἰσι Δίδυμοι ὅρια Ἀφροδίτης. ἀποθανεῖται οὖν Ἄρεως ὄντος ἐν Σκορπίῳ ἢ Ἰχθύσι τοῖς ἰσανατόλοις ἢ τοῖς τούτων τετραγώνοις. ἐὰν δὲ λογίσηταί τις τὰς κζʹ τοῦ Λέοντος, εὑρήσει Κρόνου ὅρια· Κρόνος δὲ ἦν ἐν Καρκίνῳ· ἀποθανεῖται οὖν Ἄρεως ὄντος ἐν Καρκίνῳ ἢ Τοξότῃ ἢ τοῖς τούτων τετραγώνοις. Ἀφροδίτη Σκορπίῳ μοίραις κζʹ ὁρίοις Ἡλίου· αἱ διαμετροῦσαι Ταύρου κζʹ εἰσὶν ὅρια Ἡλίου. αὐτὸς δὲ ἑαυτῷ ἐχθρὸς οὐ γίγνεται. ζητῶ οὖν ἐν τῷ ἰσανατόλῳ τοῦ Σκορπίου τὰς κζʹ, εἰσὶ δὲ Ἑρμοῦ ὅρια· ἀποθανεῖται οὖν Ἀφροδίτης οὔσης ἐν Παρθένῳ, ὅπου Ἑρμῆς, ἢ ἐν τοῖς τετραγώνοις· τὸ δ’ αὐτὸ καὶ ἐπὶ τοῦ Ἑρμοῦ ποιητέον. Σκοπεῖν δὲ δεῖ καὶ τὰς κατακλίσεις πρὸς τὸν ἐναντίον [τόπον] ἐπὶ τοῖς ἐχθροῖς τόποις ὄντα καὶ τοὺς μηνιαίους καὶ ἡμερησίους καὶ ὡριαίους κλιμακτῆρας ποιοῦντας πρὸς τὴν τῆς Σελήνης τριακοντάδα, ἐξ ἧς ὁ ἐναντίος ἀστὴρ εὑρίσκεται. Πρῶτον εἰπεῖν χρὴ περὶ τῆς πήξεως τοῦ ὀργάνου, ἵνα κἂν βούληταί τις ἀποκατάγειν ἀπὸ χειρῶν ῥᾳδίως εὕρῃ τὴν σύστασιν. περὶ μὲν οὖν τῆς συστάσεως τοῦ ὀργάνου κατὰ τάξιν εὑρήσεις οὕτως. τοῦ κατὰ τὴν ἡμέραν μεγέθους τὸ ξʹ πολυπλασίασον ἐπὶ τὸ λʹ καὶ τὸ ἐκβὰν ἔσται ζωῆς χρόνος καὶ οὐδεὶς τῶν ἀστέρων οὔτε προσθήσει οὔτε ἀφαιρήσει. ὃ δὲ λέγω τοιοῦτόν ἐστιν. ὑποτίθεταί τις στήλας τινὰς ἐν τοῖς ἱεροῖς ἀδύτοις εὑρημένας, ὧν ἡ παραύξησίς ἐστι δυάδος προστιθεμένης. ἕκαστον δὲ τῶν στηλῶν τὸ ξʹ τοῦ μεγέθους τῆς ἡμέρας πολυπλασιασθὲν ποιεῖ χρόνον ζωῆς. οἷον ἀρχή ἐστιν ἀπὸ Θώθ· ἡ πρώτη μοῖρα ἔχει παρακείμενα βʹ ἢ βʹ δʹ· ἕως ϛʹ παραύξεται ἡ δυὰς καὶ γίγνονται ϛʹ, αἳ παρακείμενον ἀριθμὸν ἔχουσι τὸν ιβʹ. ἔπειτα λύει τὸν σύνδεσμον· κατὰ γὰρ ϛʹ αἱ ἀναλύσεις γίγνονται τοῦ συνδέσμου. προστίθησιν οὖν τὸν ιδʹ ἀριθμὸν τῇ προκειμένῃ ἑξάδι, ἃ δὴ ἔσται φῶτα τῆς Σελήνης. γίγνονται οὖν τῶν ζʹ κϛʹ, τῶν ηʹ κηʹ, τῶν θʹ λʹ, καὶ ἐπειδὴ πεπλήρωται τὰ λʹ, πάλιν ἀπὸ τῆς δυάδος ἄρχεται. καὶ πάλιν εὑρίσκεται παρακείμενα τοῖς ιαʹ δʹ, τοῖς ιβʹ ϛʹ καὶ πάλιν πεπλήρωται τῆς δυάδος ἑξάδος. λύσις γίγνεται τοῦ συνδέσμου, καὶ πάλιν προστίθεται τὰς ιδʹ ταῖς ϛʹ καὶ γίγνονται ἐπὶ τοῦ ιγʹ στίχου κʹ.

320 οὕτως οὖν ποιοῦσιν κατὰ ἑξάδα συνδέσμου λυομένου καὶ προστιθεμένων τῶν ιʹ τῷ προκειμένῳ ἀριθμῷ. ἐὰν κατὰ τὰ μέσα ἡσδηποτοῦν ἑξάδος ὡς ἐπὶ τῆς δευτέρας δεδήλωται

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀπαρτηθῇ ὁ τριακοστὸς ἀριθμός, οὐκέτι προσθήσομεν τὸν ιδʹ, ἀλλὰ πάλιν ἀπὸ δυάδος ἡ ἀρχή. οὕτως οὖν ἀπὸ τῆς ἀρχῆς ἡ σύστασις λαβοῦσα πέρας τέθεικε τῷ ὀργάνῳ ἄχρι μιᾶς τριακοστῆς. πρὸς τὸ εἰδέναι τὸν πρῶτον ἀριθμὸν ἑκάστου ζῳδίου μέθοδος ἥδε, ἧστινος ὑπόκειται ἑξῆς ***

[Start of a diagram] Κανόνιον αʹ καὶ πλινθίον Ζυγοῦ Σκορπίου Τοξότου μοῖραι ἀριθμοί ἔτη μῆνες ἡμέραι ἀριθμοί ἔτη μῆνες ἡμέραι ἀριθμοί ἔτη μῆνες ἡμέραι α Ἡλίου β ς α ιε Ἄρεως ιδ λθ ο Διός κς ξς ς β δ ιβ γ ις μδ ε κη οβ ς γ ς ιη γ ιη μθ ο λ οζ δ η κα δ κ νε β β ε β ε ι λ γ ιε κβ ξ ς δ ιε γ ιε ς Ἄρεως ιβ λς ζ κδ ξε ο ς ιθ ε ζ κς οη ο η κα ια Κρό— κ να β η κη πδ ο ι κζ β νου κβ νς β θ λ πθ ια ιβ λε ζ κδ ξα γ ιε ι β ς ο ιδ λη ο κς ξς γ ια θ ια θ ις μγ γ κη οα δ ιβ Διός ς ιζ α ιη μη ζ λ ς ς ιγ κ μθ ια β ε δ ιδ λε ζ ιε ιδ κβ ξδ ε ιε δ ι θ ις μ ζ ιε ιε κδ ο ς ς ις α ιη με η ις Κρό— κς ογ η η κα ε Ἀφρο— κ ν θ ιζ νου κη πα γ ι κς θ δίτης κβ νε θ ιη λ πζ δ ιβ λβ ο κδ ξ ι ιθ Ἀφρο— ιδ μ ια κς ξε β η κ ι κ δίτης ις μς θ κη οδ δ ι κε δ κα ιη να θ λ οθ ς ιβ λ ε κβ κ νζ ια β ε γ Ἡλίου ιδ λε ε κγ κβ ξβ ε ιε δ ι ς ις μ ε ι κδ κδ ξη η ς ιε θ ιη με ε ιε κε η κβ δ Ἡλίου κ νβ ς β ε γ κς ι κη ε ιε κβ νζ ο δ ι δ κζ ιβ λγ ι κδ ξβ ο ς ιε α κη ιδ λθ ε κς ξβ ια η κ γ κθ ις μθ ι ιε κη οβ ια ι κε β λ ιη ν δ λ οζ ζ ιβ λ β V X XV Αἰγόκερω Ὑδροχόου Ἰχθύων ἀριθμοί ἔτη μῆνες ἡμέραι ἀριθμοί ἔτη μῆνες ἡμέραι ἀριθμοί ἔτη μῆνες ἡμέραι μοῖραι η κ ς Ἑρμοῦ κ μ ι Ἀφρο— β ε α α ι κε α κβ νε ια δίτης δ ι θ β ιβ λ β κδ ξα ο ς ις β γ ιδ λε α κς ξς β η κα ζ δ ις μ α κη οα δ ι κζ ο ε ιη με ο λ ος ς ιβ λβ ς ι ς β ε ο Ἀφρο— ιδ λθ η Ἡλίου κς ο ζ ζ δ ι α δίτης ις μ η κη οε ζ η ς ιε α ιη μς α λ π β θ η κ α Ἡλίου κ να δ Ἄρεως β πε ε ιε ι ι κε α κβ νς ζ δ ια ο ια ιβ λα α κδ ξα ι ς ις ς ιε ιβ κς ξε β η ιθ γ κ νε δ ιγ κη ογ γ ι κε γ κβ ξα β ιδ λ οε δ ιβ λα α κδ ξς ι ιε β ο ο Ἄρεως ιδ λς ς Διός κς οβ η ις δ ι α ις μα θ κη οη β ιζ ς ιε α ιη μζ ι λ πα ς ιη κ η δ β ε γ ιδ λθ η ιθ κβ νε ε δ ι ς ις με α κ κδ ξ ς ς ιε θ ιη να β κα κς ξε η Διός η κα ο Κρό— κ νζ ο κβ κη ο ε ι κς δ νου κβ ξβ ια κγ λ οε ε ιβ μ θ κδ ξη ια κδ ιδ λε θ Κρό— κς ξθ ο η κς ια κε ις μ ς νου κη οδ δ ι κη ια κς ιη με η λ οθ η Ἑρμοῦ ιβ λδ ε κζ κ ν η β ε δ ιδ μ ε κη κβ νε θ δ ι η ις νς η κθ κδ ξ ι ς ις ς ιη νβ ζ λ V X XV Κριοῦ Ταύρου Διδύμων μοῖραι ἀριθμοί ἔτη μῆνες ἡμέραι ἀριθμοί ἔτη μῆνες ἡμέραι ἀριθμοί ἔτη μῆνες ἡμέραι α ιδ μα α? κς πγ ς η κζ γ β ις μζ α κη ϟ β ι λδ α γ ιη νγ β λ ϟζ ο ιβ μα ο δ Ἡλίου κ νθ γ Ἀφρο— β ς ς ιδ μζ ι ε κβ ξε ε δίτης δ ιγ γ ις νδ ι ς κδ οα ζ ς ιθ ζ ιη ξα θ ιε ζ η κδ ο κ ξε ο β ς ι ιε η ι λ ο κβ οβ β δ ιγ θ θ ιβ λς α κδ οη ε ς κ η ι Ἀφρο — ιδ μβ β κς πδ δ η κζ ζ ια δίτης ις μη δ κη ϟβ γ ι λδ ς ιβ ιη νδ ς λ ϟθ ο ιβ μα ε ιγ Ἑρμοῦ β ς α ιδ μς γ κς πθ η ιε ιδ δ ιβ β ις νγ ο κη ϟς η ιε γ ιη δ ιη νθ γ λ ργ η ις η κδ ζ κ ξς θ β ς ια ιζ ι λ η κβ ογ δ δ ιγ ι ιη ιβ λζ θ κδ π ο ς κ θ ιθ Κρό— κς π ο η κς η κ ξθ α κ νου κη πζ ο ι λγ ε κβ ογ γ κα λ ϟγ ς ιβ μα κδ πγ β κβ β γ ς ιδ μς ζ κς ϟ α ιε κγ δ ιβ ς ις νγ ε κη ϟζ ο ιε κδ ς ιη ια ιη ξ ζ λ ρδ β κε Διός κ ξγ α β ς θ ιδ με η ιε κς κβ ξθ ν δ ιγ ς ις νε ζ ιε κζ κδ ος β ς κ γ ιη ξβ ζ κη Ἄρεως κς πα θ η κζ α κ ξθ η κθ κη πθ ε ι λδ ο κβ ος ζ λ λ ϟγ η ιβ μ ο κδ πγ ζ V X XV Καρκίνου Λέοντος Παρθένου ἀριθμοί ἔτη μῆνες ἡμέραι ἀριθμοί ἔτη μῆνες ἡμέραι ἀριθμοί ἔτη μῆνες ἡμέραι μοῖραι κ ξθ θ β ς ια Ἄρεως ιδ μς ε α κβ ος η δ ιγ ι ις νγ η β κδ πγ η ς κ ε ιη νθ ο γ κς ϟ θ Διός η κζ ζ κ ξς ο δ κη ϟζ θ Ἄρεως ι λδ ς κβ οβ ς ε λ ρδ ι ιβ μα ε κδ οη ια ς ιδ μθ ο κς πθ ζ Ἡλίου η κς ς ιε ζ ις νς ο κη ϟς ς ι λβ ε η ιη ξγ ο λ ργ θ ιβ λθ γ θ κ ξθ ια Ἡλίου β ς ι Ἀφρο— ιδ με ζ ι κβ ος ς δ ιγ η δίτης ις νβ ο ια κδ πη θ ε ς κ ς ιη ς γ ιε ιβ η κζ ια κ ξη δ β ιβ ε ιγ ι λδ ι ιε κβ οε δ δ ιθ ς ιε ιδ ιβ μα ι κδ πα η ς κε γ ιε ιδ μη θ Ἀφρο— κς πη ε Ἑρμοῦ η λα ζ ις ις νε θ δίτης κη ϟε ο ι λη ια ιε ιζ ιη ξβ η λ ρα ζ ιβ πβ δ ιη β ς ια ιδ μζ δ κς πη ια ιθ δ ιγ γ ις νδ ι κη ζ η κ ς κ ι ιη ξ η λ ϟδ η κα η κζ ια Ἑρμοῦ κ ξγ δ β ς γ ιε κβ ι λδ ε κβ ογ ια δ ιθ ς κ κγ ιβ μα η κδ π ε ς ιη θ ζ κδ κς ϟ α ιε η κς ε Κρόνου κ ξβ ε κε κη ϟζ ς ι λγ ε κβ ξη ε κς λ ρδ ο ιβ μ δ κδ οδ δ ιε κζ β ς ια Κρόνου ιδ μς η κς π γ κη δ ιγ ι ις νβ ια κη πς β κθ ς κ ι ιη νθ ι λ ϟ λ V X XV Κανόνιον δεύτερον καὶ πλινθίον Ζυγοῦ Σκορπίου Τοξότου μοῖραι ἀριθμοί Σκγ ἔτη μῆνες ἀριθμοί Σκγ ἔτη μῆνες ἀριθμοί Σκγ ἔτη μῆνες α ο κ α ο ιβ κ κδ κδ κ ξγ α β β μ η β ιδ μ μ δ κς μ ξθ ο γ ε ο? ιε γ ιζ ο μη γ κθ ο οδ ια δ ζ κ κβ δ ιθ κ νγ θ α κ γ α ε θ μ κθ δ κδ μ νθ δ γ μ θ ο ς ιβ ο λς γ κδ ο ξε δ ς ο ιε δ ζ κδ κ ογ γ ς κ ιζ ια ιη κ μγ ια η κς μ π ο η μ κγ α κ μ να

ο θ κθ ο πζ θ ια ο κθ η κγ ο νη η ι α κ δ ια ιγ κ λς ο κε κ ξδ ζ ια γ μ ια θ ιε μ μβ ζ κζ μ ξθ ε ιβ ς ο ιη ιβ ιη ο μη ια λ ο ος α ιγ ιη κ νε ι ο κ ο β ιβ κ λα ο ιδ κ μ ζβ ς β μ ζ γ ιδ μ λζ β ιε κγ ο ξθ θ ε ο ιγ ζ ιζ ο μγ α ις κε κ ος η ζ κ ιθ η ιθ κ μθ ζ ιζ κζ μ πγ η θ μ κε ο κα μ νε ο ιη λ ο ϟ θ ιβ ο λβ θ κδ ο ξ α ιθ ιθ κ λζ δ κδ κ ξδ η ς κ ιγ ο κ ιδ μ μδ ια κς μ οβ ι η μ κα ια κα ιζ ο να ς κθ ο οθ ς ια ο κζ ι κβ ιθ κ νη α α κ γ ι ιγ κ λγ η κγ κα μ ξε ς γ μ θ η ιε μ λθ γ κδ κδ ο οβ γ ς ο ιε α ιη ο μς δ κε ς κ ιθ ια ιη κ μη α ο κ ο ι κς η μ κς ο κ μ νδ α β μ ς η κζ ια ο λγ ο κγ ο ξ ια ε ο ιβ ζ κη ιγ κ μ ς κε κ ξε ια ζ κ ιη δ κθ ιε μ μζ ια κζ μ οα ο θ μ κδ β λ ιη ο νδ δ λ ο οη ιβ ο λβ ο V X XV Αἰγόκερω Ὑδροχόου Ἰχθύων ἀριθμοί Σκγ ἔτη μῆνες ἀριθμοί Σκγ ἔτη μῆνες ἀριθμοί Σκγ ἔτη μῆνες μοῖραι ς κ ος ζ ιη κ μγ ζ ο κ ο ια α η μ κα θ κ μ νβ ζ β μ ς ι β ια ο κζ ς κγ ο νη ς ε ο ιγ θ γ ιγ κ λγ ς κε κ ξδ ς ζ κ ιθ θ δ ιε μ μ ς κζ μ ο ς θ μ κς λ ε ιη ο με ο λ ο ος ε ιβ ο λβ ς ς ο κ ο ια ιβ κ λα β κδ κ ξς ζ ζ β μ ς γ ιδ μ λζ β κς μ οβ ζ η ε ο ιγ ια ιζ ο μβ ια κθ ο οε ο θ ζ κ ιη ζ ιθ κ μθ ζ α κ γ ια ι θ μ κδ ζ κα μ νε ζ γ μ θ ια ια ιβ ο λ ια κδ ο ξε ια ς ο ις ς ιβ κα κ ξα γ ς κ ις θ ιη κ μη α ιγ κς μ ξς β η μ κβ ς κ μ νζ γ ιδ κθ ο οβ γ ια ο κη ς κγ ο ξδ β ιε λ κ γ ς ιγ κ λε ς κε κ ο γ ις γ μ θ θ ιε μ μ θ κζ μ οζ δ ιζ ς ο ιε ο ιη ο μζ ς λ ο πδ δ ιη ιη κ μς ι ο κ ο ια ιβ κ λε α ιθ κ μ νβ ια β μ ς α ιδ μ μα ς κ κγ ο νη α ε ο ια β ιζ ο μη β κα κε κ ξβ β ζ κ ιθ ς ιθ κ νε α κβ κζ μ ο ς θ μ κε θ κα μ ξδ ια κγ λ ο οη η ιδ ο λα γ κδ ο ξη ια κδ ιβ κ λα ς κδ κ ξδ α ς κ ιη β κε ιδ μ λζ θ κθ μ ο θ η μ κε ο κς ιζ ο μγ ς κς ο ος η ια ο λα ια κζ ιθ κ μθ η λ κ γ ο ιγ κ λη δ κη κα μ νδ θ γ μ θ θ ιε μ με η κθ κδ ο ξ ια ς ο κ ο ιη ο νβ η λ V X XV Κριοῦ Ταύρου Διδύμων μοῖραι ἀριθμοί Σκγ ἔτη μῆνες ἀριθμοί Σκγ ἔτη μῆνες ἀριθμοί Σκγ ἔτη μῆνες α ιβ κ λς α κδ κ οη β ς κ κα ζ β ιδ μ μβ β κς μ πε ια η μ κθ ς γ ιζ ο να δ κθ ο ϟγ η ια ο λς η δ ιθ κ νζ ε α κ δ δ ιγ κ με α ε κα μ ξδ ς γ μ ια ια ιε μ νε α ς κδ ο οα ζ ς ο ιθ ζ ιη ο ξα η ζ ς κ ιη γ ιη κ νθ ζ ο κ α β η η μ κς ο κ μ ξζ θ β μ η ς θ ια ο λγ ε κγ ο ος ι ε ο ιδ γ ι ιγ κ λθ ς κε κ πγ δ ζ κ κη γ ια ιε μ μζ θ κζ μ ϟα β θ μ λγ δ ιβ ιη ο νδ ς λ ο ϟθ ς(γ)? ιβ ο μα ε ιγ ο κ α γ ιβ κ μ θ κδ κ πδ η ιδ β μ η δ ιδ μ μη ζ κς μ ϟβ β ιε ε ο ιε θ ιζ ο νς ε κθ ο ρ γ ις ζ κ κ γ ιθ κ ξδ β α κ δ ζ ιζ θ μ κε δ κα μ οβ α γ μ ιβ η ιη β ο κζ η κδ ο π β ς ο κ θ ιθ κδ κ οε ζ ς κ κα β ιη κ ξγ ς κ κς μ πβ ς η μ κζ ια κ μ οα η κα κθ ο ϟ ε ια ο λζ δ κγ ο οθ θ κβ α κ δ δ ιγ κ μδ η κε κ πα θ κγ γ μ ια δ ιε μ νβ η κζ μ ϟς α κδ ς ο ιη γ ιη ο ξ ζ 〈λ〉 ο ρδ β κε ιη κ νη γ ο κ α α ιβ κ μβ θ κς κ μ ξε β β μ θ θ ιδ μ να α κζ κγ ο ογ β ε ο ις δ ιζ ο νθ β κη κε κ π α ζ κ κδ ι ιθ κ ξζ δ κθ κζ μ πη α θ μ λβ ε κα μ οε ς λ λ ο ϟς ο ιβ ο μ ε κδ ο πβ η V X XV Καρκίνου Λέοντος Παρθένου ἀριθμοί Σκγ ἔτη μῆνες ἀριθμοί Σκγ ἔτη μῆνες ἀριθμοί Σκγ ἔτη μῆνες μοῖραι ιη κ ια ο κ α β ιβ κ μα α α κ μ α β μ θ β ιδ μ μη ζ β κγ ο γ ε ο ιζ β ιζ ο νς α γ κε κ δ ζ κ κε γ ιθ κ ξγ ι δ κζ μ η θ μ λγ θ κα μ οα δ ε λ ο ια ιβ ο μα δ κδ ο οη ια ς ιβ κ α κδ κ πγ ι ο κ κ θ ζ ιδ μ δ κς μ ϟα ι η μ κη δ η ιζ ο α κθ ο ϟθ ζ ια ο λε ια θ ιθ κ ζ α κ δ ζ ιγ κ μγ β ι κα μ θ γ μ ιβ ζ ιε μ ν ια ια κδ ο β ς ο κ ς ιη ο νη δ ιβ γ κ ια ιη κ ξβ η ο κ α α ιγ η μ γ κ μ ο ς β μ η ζ ιδ ιδ ο β κγ ο οζ α ε ο ις α ιε ιγ κ ς κε κ πε β ζ κ κγ ς ις ιε μ ζ κζ μ ϟγ ια θ μ λ ζ ιζ ιη ο ια λ ο ρα η ιβ ο λη ζ ιη ο κ ζ ιβ κ μα θ κδ κ οζ γ ιθ β μ α ιδ μ μθ ς κς μ πδ ι κ ε ο δ ιζ ο νζ α κθ ο ϟα ζ κα ζ κ δ ιθ κ ξε ια α κ δ ι κβ θ μ β κα μ οβ ς γ μ ια θ κγ ιβ ο α κδ ο π ς ς ο ιη θ κδ κδ κ δ ς κ κα ς ιη κ νζ β κε κς μ γ η μ κη ια κ μ ξδ γ κς κθ ο δ ια ο λς ια κγ ο οα δ κζ α κ ζ ιγ κ ογ δ κε κ ον δ κη γ μ η ιε μ πδ δ κζ μ πδ δ κθ ς ο θ ιη ο ϟς ς λ ο ϟς ς λ V X XV [End of a diagram] Liber IX.

329 (1t) 〈Οὐεττίου Οὐάλεντος Ἀντιοχέως ἀνθολογιῶν βιβλίον θʹ.〉 Προοίμιο ν . Οὐάλης Μάρκῳ χαίρειν. Ὅσα μὲν ὁ θειότατος βασιλεὺς εἴρηκε Νεχεψὼ ὁ τὴν ἀρχὴν ποιησάμενος τῆς ιγʹ βίβλου, ἐν τοῖς προσυντεταγμένοις ὑφ’ ἡμῶν καὶ ἄλλων πόνοις κατημαξευμένα ἐστίν· νυνὶ δὲ ταύτην συντάσσω λειπομένην ἐν οὐδενί. ὅτι μὲν οὖν μυστικῇ συνέσει τὴν ὑφήγησιν πεποίηται καὶ ἀρχηγὸς τῆς εἰς ταῦτα εἰσόδου καὶ ἡμῖν ἐγένετο, πρόδηλον· τό τε ὁμολογεῖν περὶ τῶν ἡμαρτημένων αὐτῷ πρότερον, ἐξ ὑστέρου δὲ κατωρθωμένων ἀνδρὸς ἀγαθοῦ καὶ σοφοῦ ἀπολογίαν καὶ διάνοιαν ἐπιφερομένου, καθὸ καταφρονεῖ ὅλης τῆς βασιλείας καὶ τυραννίδος, 〈καὶ〉 τὸ περὶ τὰ τοιαῦτα ἐσπουδακέναι ἐμπείρου καὶ πεποιθότος καὶ ἐρωτικὴν καὶ

προτρεπτικὴν θεωρίαν ἐνδεικνυμένου τοῖς μεταγενεστέροις. οὐδέ γε αὐτὸν μεθεῖλκεν ἀνάγκη βιωτικὴ καὶ πλάνη φιλάργυρος, ὥσπερ πολλοὺς τῶν νῦν· ὅθεν ἀποδεκτέος ὁ τοιοῦτος. Ὁ δὲ σοφώτατος Κριτόδημος ἐν τῇ ἐπιγραφομένῃ αὐτοῦ ὁράσει συνεκτικωτάτῃ πολλῶν μαρτυριῶν ἀρχὴν τοιαύτην ἐποιήσατο· ἤδη ποτὲ πελαγοδρομήσας καὶ πολλὴν ἔρημον διοδεύσας ἠξιώθην ἀπὸ θεῶν λιμένος ἀκινδύνου τυχεῖν καὶ μονῆς ἀσφαλεστάτη ς. ἄλλως τε καὶ ὁ Τίμαιος καὶ Ἀσκλατίων καὶ ἕτεροι πλεῖστοι. οὗτοι μὲν οὖν καλλονῇ λόγων ἐνεχθέντες καὶ τερατολογίᾳ οὐ κατὰ τὰ ἐπαγγέλματα τὰ ἔργα ἐπέδειξαν οὐδὲ τὰς συντάξεις πλήρεις καὶ ἐπιλελυμένας, ἀλλὰ λειπομένας ἐν πολλοῖς τισιν ἀεὶ τῶν ἐντυγχανόντων· ἐν πᾶσι δὲ τὸ σκολιὸν καὶ ἐφθονημένον καὶ ἀναδυόμενον καὶ ἐπιπλεκόμενον· καὶ μηδεμιᾷ ὁδῷ διευθύνοντες ἀλλὰ προσεισφέροντες αἵρεσιν αἱρέσει καὶ ἀναπομπίμους βίβλους πλάνης μᾶλλον ἢ ἀληθείας τεκμήρια.

330 ὁ μὲν οὖν Κριτόδημος, πλῆθος θεωρημάτων κεκτημένος καὶ τοῖς ἄλλοις συγκεκοσμημένος καὶ δυνάμενος σαφῶς διερμηνεῦσαι διὰ τῆς τούτων τῶν ὀργάνων φαντασίας ἠμαύρωσε τὴν ἐπιστήμην· ἐγὼ δὲ ἐν ταῖς προσυντεταγμέναις μοι βίβλοις οὔτε κενῶν οὔτε ματαίων ὕθλων πόνους διήνυσα, οὐ μὴν κατὰ τὴν δόκησιν τινῶν ἀμφιβόλους ἐπιλύσεις καὶ γραφὰς ἀναρίθμους περιττῶν συντάξεων· διὸ καὶ τὰ δοκοῦντα ἀληθείας ἐφικνεῖσθαι εἰς ἄπειρον ζήτησιν καὶ λόγον ἐχώρησεν. χρὴ δέ γε τὸν βουλόμενον συγγράφειν ὡς μὴ χρήζειν ἑτέρου· εἰ δὲ οὖν, διὰ τὸ ἀγνοεῖν καὶ φθονεῖν τὴν πλοκὴν ἐπεισφέρει· πελαγοδρομήσας οὖν καὶ πολλὴν γῆν διοδεύσας κλιμάτων τε καὶ ἐθνῶν κατόπτης γενόμενος πολυχρονίᾳ πείρᾳ καὶ πόνοις συνεμφυρεὶς ἠξιώθην ὑπὸ θεοῦ καὶ τῆς προνοίας βεβαίου καὶ ἀσφαλοῦς λιμένος τυχεῖν· οὐ γὰρ φθαρτὰ πάντα καὶ μοχθηρὰ ἔλαχον οἱ ἄνθρωποι, ἔστι δέ τι καὶ θεῖον ἐν ἡμῖν θεόπνευστον δημιούργημα, ὅ τε περικεχυμένος ἀὴρ ἄφθαρτος ὑπάρχων καὶ διήκων εἰς ἡμᾶς ἀπόρροιαν καιρικὴν ἀθανασίας ἀπονέμει τακτῷ καὶ μεμετρημένῳ χρόνῳ. ἣν ἕκαστος ἡμῶν καθ’ ἡμέραν μελετᾷ γυμναζόμενος λαμβάνειν ἢ καὶ ἀποδιδόναι τὸ ζωτικὸν πνεῦμα. καθὼς καὶ ὁ θειότατος Ὀρφεὺς λέγει· Ψυχὴ δ’ ἀνθρώποισιν ἀπ’ αἰθέρος ἐρρίζωται. καὶ ἄλλως· Ἀέρα δ’ ἕλκοντες ψυχὴν θείαν δρεπόμεσθα. ἄλλως· Ψυχὴ δ’ ἀθάνατος καὶ ἀγήρως ἐκ Διός ἐστιν. ἄλλως· Ψυχὴ δ’ ἀθάνατος πάντων, τὰ δὲ σώματα θνητά. Ἔνθεν ἐφ’ ὅσον ἔχομεν τὴν ψυχὴν κινούμεθα καὶ ὁμιλοῦμεν καὶ πράσσομεν καὶ μηχανώμεθα καὶ ποιοῦμεν ἔργα ἰσόθεα· ὁπότε δ’ εἰς τὸν ἀέρα ἀναδράμῃ τὸ χρέος, πρόκειται τὸ σῶμα νεκρὸν ἄναυδον κατὰ διαδοχὴν ἑτέρῳ τὸ πνεῦμα συγκεχωρηκὸς κενὸν εἱμαρμένης δημιούργημα οὐδενὸς ὂν δεκτικόν· τῆς γὰρ φύσεως ἀναλυθείσης εἰς τὸν οἰκεῖον τόπον ἐλέγχεται τότε τὸ θνητὸν σῶμα.

331 Ὅθεν τοῦ θεοῦ συνεργοῦντος ἀνεῦρον ταῦτα ἐν σκότει τεθησαυρισμένα· καί μοι κατ’ ἀρχὰς μὲν δαψιλὴς λόγος συνεμπεσὼν ἀπορρήτους ἀμεταδότους τὰς ὑφηγήσεις διαφυλάσσει διὰ πολλοὺς τῶν ἀναξίων· ἵνα δὲ μὴ δόξω κατήγορος μείζονι ψόγῳ περιπίπτειν καὶ τὰς ἑτέρων αἰτίας ἀνάπτεσθαι, ἔδοξέ μοι μὴ κατεζητημένως μηδὲ ἐπεσκοτισμένως ἐν ταύτῃ τῇ βίβλῳ μυστικῶς προτάξαι τὰ δοκοῦντα κεφάλαια εἰς συμπλήρωσιν τῶν προσυντεταγμένων καὶ ἀτρεκῆ σαφήνειαν διὰ πολλῆς συνέσεως τοῖς γε νοῦν ἔχουσιν· ὅπως διὰ τούτων οἱ ἀμαθεῖς καὶ θεομάχοι πίστιν ἐνεγκάμενοι καὶ ἑταῖροί γε τῆς ἀληθείας γενόμενοι ὑπαρκτὴν καὶ σεβάσμιον τὴν ἐπιστήμην καταλάβωσιν. 〈α′.〉 Περὶ κλήρου τύχης καὶ δαίμονος εἰς τὸν περὶ ἐμπράκτων καὶ ἀπράκτων χρόνων καὶ ζωῆς τόπο ν . Περὶ μὲν οὖν τοῦ κλήρου τῆς τύχης καὶ τοῦ δαίμονος ἐν τοῖς ἔμπροσθεν ἡμῖν δεδήλωται· καὶ νῦν δὲ ἐπάνιμεν εἰς αὐτοὺς διαβεβαιούμενοι δυναστικοὺς καὶ κραταιοὺς τόπους. ὅνπερ γὰρ τρόπον ἐπὶ τοῦ κοσμικοῦ περιπολίσματος ὁ παντεπόπτης Ἥλιος ἀκαμάτοις φοραῖς δινούμενος καὶ μακροῦ αἰῶνος χρόνον διϊππεύων τὰς τῶν ἀστέρων χορείας ἀλλεπαλλήλοις δρόμοις ἀποκαθίστησι καὶ ἀποχωρίζει, τροπάς τε καὶ καιροὺς καὶ φάσεις ποιούμενος, ἀρχόμενος ὅθεν ἔληξεν καὶ λήγων ὅθεν ἄρχεται, τὰς δὲ ψυχὰς τῶν ἀνθρώπων θέλγων καὶ διεγείρων αἴτιος δόξης καὶ πράξεως καὶ πάσης προκοπῆς τυγχάνει,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὁμοίως δὲ καὶ ἡ Σελήνη Τύχη τοῦ κόσμου ὑπάρχουσα καὶ ὑπὸ τῆς ἡλιακῆς δυνάμεως αὐξομειουμένη τὰς φάσεις ποιεῖται καὶ τὰς τῶν ἀέρων μεταβολὰς καὶ τοὺς καρποὺς πεπαίνουσα τοῖς ἀνθρώποις ζωῆς παραιτία γίνεται, τῷ αὐτῷ τρόπῳ καὶ ἐπὶ πάσης γενέσεως σκοπεῖν δεήσει τὸν κλῆρον τῆς τύχης καὶ τοῦ δαίμονος, ἐν ποίοις μέρεσι τοῦ κόσμου ἀπερρύησαν.

332 πρὸς μὲν γὰρ τὸν ἀποτελεσματικὸν λόγον, ἐὰν ἐν τοῖς χρηματιστικοῖς ὦσι ζῳδίοις καὶ ὑπὸ ἀγαθοποιῶν μαρτυρῶνται, ἐμπράκτους καὶ ἐνδόξους καὶ εὐπόρους τὰς γενέσεις ἀποτελοῦσιν· μάλιστα ἐὰν ἐν ἀρσενικοῖς ζῳδίοις οἱ κλῆροι ἐμπέσωσιν καὶ οἱ κύριοι ἐν ἀρσενικοῖς ἢ θηλυκοῖς οἴκοις καὶ χρηματίζοντες ἐπιθεωρῶσι τὸν τόπον, μείζονάς τε καὶ ἐπισήμους καὶ ἀπροσδοκήτως προκόπτοντας καὶ εἰς ἀνυπέρβλητον τύχην χωροῦντας. ἐὰν δὲ οἱ μὲν κλῆροι ἐν ἀρσενικοῖς ὦσι ζῳδίοις, οἱ κύριοι δὲ αὐτῶν ἐν θηλυκοῖς ἀχρημάτιστοι, ὑπὸ κακοποιῶν ἐναντιούμενοι ἢ καθυπερτερούμενοι, πτώσεως ὁ τρόπος δηλωτικὸς καθαιρέσεώς τε καὶ ἐνδείας καὶ πάσης αἰτίας ἐπακτικός, δημοσίαις τε καὶ πολυθρυλήτοις ἢ βασιλικαῖς συμπεφυρμένους κακίαις· τῶν δὲ τοιούτων καὶ τὸ τέλος εὕρηται κακόν. πρὸς δὲ τοὺς τῆς ζωῆς χρόνους συγκρινόμενοι οἱ δύο κλῆροι πρός τε τὸν Ἥλιον καὶ τὴν Σελήνην καὶ τὴν μοιρικὴν αὐτῶν ἀπόρροιαν πρός τε τὸν ὡροσκόπον καὶ τὸν πλανητικὸν σκοπὸν καὶ τὴν μοῖραν προδηλώσουσι καὶ τοὺς βιωσίμους χρόνους ἐκ τοῦ διαστήματος, τὴν ἡμίσειαν ἔμπαλιν καὶ ἀνάπαλιν ἐκμετρηθέντες, ἢ προλαβόμενοι τοῦ μεγέθους τῆς ὥρας ἢ ἀπολειφθέντες τούτου, ὡς δύο μοίρας χρηματίζειν τοῦ ζῳδίου ἐξ ἀνάγκης, τὴν δὲ γένεσιν καίπερ ἐπίκηρον οὖσαν πρὸς τὴν τοῦ κόσμου συμπάθειαν τὸ ζωτικὸν ἀναλαβεῖν πνεῦμα. Προσεκτέοι οὖν οἱ τρόποι μυστικῶς καὶ μὴ παρέργως [ἡγεῖσθαι]· ἐκ τούτων γὰρ συνορᾶται καὶ εὐκατάληπτα γίνεται τὰ πολλῷ χρόνῳ 〈καὶ〉 καμάτῳ ἐπισωρεύοντα τοῖς ἀνθρώποις τὴν παρὰ τούτων ἐνέργειαν. οὐκ ἀσκόπως δὲ ὁ Πετόσιρις περὶ συμπαθείας Ἡλίου καὶ Σελήνης λέγει ἐν τοῖς ὅροις · εἴτε τὴν ἀπὸ Ἡλίου ἐπὶ Σελήνην καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου εἴτε ἀπὸ Σελήνης ἐπὶ τὸν Ἥλιον καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπο υ , κατὰ τὸ αὐτὸ ἐμπεπτωκότα εὑρήσεις · ὁρᾶταί γε ἔνθεν ὁ διακρατῶν τοῦ ζητουμένο υ , πρὸς ὃν τὰ ὅλα τετύχηκεν καὶ συμβήσετα ι . καὶ ὁ βασιλεὺς δὲ ἐν τῇ ἀρχῇ τῆς 〈ιγ′〉 βίβλου εἶπεν· εἶ τ ' ἐχομένως δεήσει σαφῶς ἀριθμεῖν ἀπὸ Ἡλίου ἐπὶ Σελήνην · ἔμπαλι ν , οἱ δὲ ἀνάπαλι ν , ἀπὸ ὡροσκόπου ἰσότητας ποιεῖν καὶ τὸν ἀποβάντα κύριον τόπον συνορᾶ ν , οὗτινος τετύχηκεν ἀστέρος καὶ τίνες ἐν τούτῳ πρόσεισιν · ἐκ γὰρ τῆς [ δι ὰ ] τῶν τόπων συμπτώσεως πρόδηλα κρίνειν τῶν γενομένων τὰ πράγματ α.

333 καὶ τὸ λέγειν μὲν κύριον τόπον κρατητικὸν καὶ ἔνθεν ὁρᾶσθαι τὰ ὅλα δυναστικόν, ἄλλως τε καὶ ἐν τοῖς μεταξὺ τῆς διηγήσεως πλειστάκις περὶ τοῦ αὐτοῦ λέγων ἰσχυροποιεῖται, ὅτι εἰ μὲν ἀγαθοποιοὶ ἐπῶσιν ἢ καὶ προσμαρτυρῶσιν, ἀγαθῶν πρόδηλοι καὶ ὑπαρχόντων δοτῆρες εἰσίν· εἰ δὲ φθοροποιοί, ἀποβολὰς ὑπαρχόντων καὶ φθίσεως σώματος αἰτίας καὶ τὸ λέγειν. εἰ δὲ καὶ γενομένου τινὸς ἐν θηλυκῷ τύχῃ ἡ Σελήνη, ἀνδράσι μὲν γενομένοις οὐκ ἀγαθὴν ἀποτελεῖ φάσιν, γυναιξὶ δὲ ὁμογενέσιν ὑπόστασις· καὶ ἐπὶ Ἡλίου πρὸς τοὺς ἐν ἀρσενικοῖς καὶ θηλυκοῖς ἐσχηκότας τοὺς τόπους καὶ τοὺς κυρίους. ἐὰν δέ πως οἱ κακοποιοὶ μόνοι ἐπῶσι τοῖς τόποις καὶ προσνεύσωσιν, ἀποτελοῦσιν ἐμπρησμούς, ναυάγια, ἀπὸ ὕψους πτώσεις, θραύσεις μελῶν, αἱμαγμούς, καὶ μάλιστα ἐν στερεοῖς ζῳδίοις, ἢ παθήματα ἢ σπασμούς· καὶ ἐπὶ τὸ χεῖρον τρέπονται, ὁπόταν καὶ τῶν τόπων κυριεύσωσιν. Ἀλλὰ περὶ μὲν τούτων καὶ ἐν τοῖς μεταξὺ τῆς διηγήσεως δηλώσομεν ἀποδεικνύντες ἑτεροσχημόνως, ὁπηλίκη δύναμις περὶ αὐτοῦ νενόμισται ἐπί τε τῶν πρακτικῶν καὶ βιωσίμων χρόνων. παρατηρητέον δὲ κατὰ τὸ πλεῖστον, ἐάν πως οἱ κλῆροι εἰς Καρκίνον ἢ Λέοντα ἢ Αἰγόκερω ἢ Ὑδροχόον συνεμπέσωσιν ὑπὸ ἀγαθοποιῶν μαρτυρούμενοι ἢ ὑπὸ οἰκείων ἀστέρων ἐν χρηματιστικοῖς ζῳδίοις· λαμπρᾶς μὲν οὔσης τῆς ὑποστάσεως ἡγεμονικοὶ βασιλικοὶ στραταρχικοὶ καθίστανται, ἐξουσίαν ζωῆς καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

θανάτου ἔχοντες, συμπάθειάν τε βασιλικὴν κεκτημένοι δωρεᾶς καὶ δόξης καταξιοῦνται καὶ ἐν ταῖς ἐπιβολαῖς εὐημεροῦσιν, ἄπρακτοι δὲ τὰ πρῶτα ταῖς ψυχαῖς καταβολὰς ὑπομείναντες καὶ χαλεπανθέντες μεταμφιασάμενοι εἰς ἀπροσδόκητον ἔρεισμα καταντῶσιν, ὑπὸ τῶν πλείστων εὐφημούμενοι καὶ μακαριζόμενοι. ὅσοι δὲ τὴν ὑπόστασιν μετρίαν ἐκληρώσαντο, βασιλέως πράγματα πιστεύονται καὶ διοικοῦσιν καὶ ἀνωμάλως καὶ ἐπιφθόνως διευθύνουσιν· τινὲς δὲ στρατιωτικοὶ ἢ μεταξὺ τούτων ἀναστρεφόμενοι ἢ ἐν βασιλικαῖς αὐλαῖς καὶ δημοσίοις τόποις ὀψωνίων μετέχουσιν, οὐ τοσοῦτον περὶ τὸν βίον συγκεκοσμημένοι, ὅσον τῇ κακοδόξῳ φαντασίᾳ καὶ πολυμερίμνῳ καὶ εὐθραύστῳ κακοπαθείᾳ.

334 〈β′.〉 Περὶ τῆς δωδεκατρόπου εἰς τὸν περὶ ἐμπράκτων καὶ ἀπράκτων τόπο ν . Καὶ τούτων μὲν κατὰ κοσμικὴν ἁρμονίαν οὕτως διατεταγμένων κατὰ τὸ παλαιὸν ἄνδρες Αἰγύπτιοι κατὰ τὸ ἀρχαῖον ἀπὸ τούτων μονομερῆ παραλαβόντες εἰς ποικίλας καὶ συγκρατικὰς διαστολὰς κατέκλεισαν, σοφιστικοῖς λόγοις καὶ ἐφόδοις χρησάμενοι· περιτειχίσαντες δὲ τὴν θεωρίαν μυρίοις ἐρείσμασι καὶ κλειδῶν ἀχαλκεύτων γομφώμασιν ἀπηλλάγησαν· ὅθεν οἱ ἐμπεσόντες εἰς τοὺς περιβόλους τρόπον τετυφλωμένων ἀλητεύοντες διὰ τὸ ἀπύλους ποιεῖν ἢ τὴν τῶν πυλῶν τοποθεσίαν μὴ εὐτυχηκέναι τῆς εὑρέσεως τοῦ μυριάκις περινοστεῖν ἐκτήσαντο τὴν συμφοράν. ἐγὼ δὲ τούτου τοῦ φρουρίου ἐκκόψας τινὰ μέρη πυλῶν τοῖς βουλομένοις τὴν διέξοδον ἐμήνυσα πλέον· ἐπὶ οὖν τὸν προκείμενον πάλιν δρόμον τὴν διάνοιαν μεταθήσομαι καὶ ἔστω ὁ λόγος περὶ τῆς δωδεκατρόπου. ἐκ ταύτης γὰρ καὶ ὁ Ἀσκληπιὸς κινηθεὶς συνέταξε τὰ πλεῖστα καὶ ἕτεροι δὲ πολλοὶ Αἰγυπτίων τε καὶ Χαλδαίων. ὁμοίως δὲ καὶ τὴν ὀκτάτροπον. Ὅθεν δὲ οἱ τόποι ἀπὸ ὡροσκόπου λαμβανόμενοι οὕτως. τὸ α′ ζωὴ καὶ ὑπόστασις τῶν χρόνων καὶ τὸ ψυχικὸν πνεῦμα, τουτέστιν αὐτὸς ὁ ὡροσκόπος· τοῦ δὲ περὶ ἀδελφῶν ὁ ἀγαθὸς δαίμων καὶ τέκνων καὶ φίλων τόπος, γονέων δὲ ὁ πρακτικός, γυναικὸς δὲ γαμοστόλος, τέκνων ἔνατος. τὸ β′ βίος καὶ ὑπαρχόντων πρόσοδος, τοῦ δὲ περὶ ἀδελφῶν κακὸς δαίμων καὶ δούλων καὶ ἐχθρῶν τόπος καὶ κακωτικῆς αἰτίας, γονέων δὲ ἀγαθὸς δαίμων καὶ φίλων τόπος, τέκνων δὲ περὶ πράξεως καὶ δόξης, γυναικὸς δὲ θανατικὸς τόπος. ἐν τούτῳ τῷ ζῳδίῳ ἢ τῷ τούτου διαμέτρῳ ὁ κύριος τῆς συνόδου ἢ πανσελήνου εὑρεθεὶς ἔκπτωσιν δηλοῖ· ὁμοίως δὲ καὶ ἡ σύνοδος καὶ ἡ πανσέληνος παρατηρεῖται. γ′ περὶ ἀδελφῶν ζωῆς, καὶ γονεῦσι περὶ ἐχθρῶν καὶ δούλων, καὶ γυναικὸς ἔνατος περὶ δόξης καὶ πράξεως καὶ τεκνώσεως· ἔστι δὲ καὶ θεᾶς καὶ βασιλίσσης καὶ πράξεως τόπος.

335 ὁ δὲ δ′ γονέων περὶ ζωῆς καὶ μυστικῶν ἢ ἀποκρύφων καὶ θεμελίων καὶ κτημάτων καὶ εὑρημάτων τόπος, ἀδελφῶν δὲ περὶ βίου, γυναικὸς δὲ περὶ δόξης καὶ πράξεως. τὸ ε′ περὶ τέκνων ζωῆς καὶ ἀγαθῆς τύχης τόπος, ἀδελφῶν δὲ ὁ περὶ ἀδελφῶν νόθων καὶ ἐπιμίκτων καὶ θεᾶς καὶ βασιλίσσης, γυναιξὶ δὲ ἀγαθὸς δαίμων. ὁ ϛ′ περὶ σίνους καὶ πάθους καὶ κακωτικῆς αἰτίας, γονέων δὲ περὶ ἀδελφῶν, ἀδελφῶν δὲ περὶ γονέων ἐπιμίκτων ἢ ἐπιπλάστων, γυναικὸς δὲ περὶ ἐχθρῶν καὶ δούλων. τὸ ζ′ γαμοστόλος τῆς γενέσεως, καὶ γυναικὸς περὶ ζωῆς, καὶ ἀδελφῶν περὶ τέκνων καὶ ἀγαθῆς τύχης τόπος, καὶ γονεῦσι περὶ γονέων καὶ θεμελίων καὶ κτημάτων καὶ εὑρημάτων καὶ μυστικῶν. τὸ η′ περὶ θανάτου ὁμοίως τῆς γενέσεως, ἀδελφῶν δὲ περὶ σίνους καὶ πάθους, καὶ γονέων περὶ τέκνων νόθων, γυναικὸς δὲ περὶ βίου. τὸ θ′ περὶ ξένης καὶ θεοῦ καὶ βασιλέως καὶ μαντικῆς καὶ χρηματιστικῆς, ἀδελφῶν δὲ γαμοστόλος καὶ γονέων περὶ σίνους καὶ πάθους καὶ κακωτικῆς αἰτίας, γυναικὸς δὲ περὶ ἀδελφῶν καὶ βίου περὶ θανάτου. τὸ δέκατον περὶ πράξεως καὶ δόξης, καὶ γυναικὸς περὶ θεμελίων καὶ κτημάτων καὶ μυστικῆς ἐγχειρήσεως καὶ γονέων τόπος. ὁ ια′ περὶ ἀγαθοῦ δαίμονος καὶ φίλων καὶ ἐπιθυμίας καὶ περικτήσεως τόπος, ἀδελφῶν δὲ θεοῦ καὶ βασιλέως καὶ μαντικῆς καὶ χρηματιστικῆς, καὶ γονέων περὶ θανάτου, τέκνων δὲ γαμοστόλος, καὶ γυναικὸς περὶ τέκνων ἐπιμίκτων. τὸ ιβ′ περὶ ἐχθρῶν καὶ δούλων καὶ κακωτικῆς αἰτίας, ἀδελφῶν δὲ περὶ πράξεως καὶ δόξης, γονέων περὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ξένης καὶ θεοῦ καὶ βασιλέως, τέκνων δὲ περὶ θανάτου, γυναικὸς δὲ περὶ σίνους καὶ πάθους. Πρὸς μὲν οὖν λεπτομερῆ διάκρισιν τῶν σημαινομένων ἑτέροις δεδήλωται. τούτων δὲ τῶν τόπων κατὰ σύγκρισιν στοιχειογραφέντων σκοπεῖν δεήσει, τίνες ἀστέρες ἔπεισιν ἢ προσμαρτυροῦσιν, πότερον ἀγαθοποιοὶ ἢ κακοποιοί, καὶ τίνων τὰ ζῴδια τυγχάνει καὶ εἰ τροπικὰ ἢ στερεὰ ἢ δίσωμα ἢ κάθυγρα ἢ χερσαῖα ἢ ἀσελγῆ ἢ λατρευτικὰ καὶ τὰ λοιπά· ὁμοίως δὲ καὶ τοὺς κυρίους τῶν τόπων, τίς τίνος κυριεύσας ἐν ποίῳ τόπῳ ἔπεστιν. ἐν δὲ ταῖς ἰδίαις διαιρέσεσι τῶν χρόνων σκοπεῖν, ἀπὸ ποίου τόπου εἰς τίνα ὁ χρόνος καταλήγει, τά τε ἔτη ἃ κατάγει τις ἀπὸ ἑκάστου τόπου ἀπολύειν· οὕτως τε ἀνακυκλούμενοι οἱ ιβʹ τόποι εἰς ἀλλήλους καὶ τὸ ἀποτέλεσμα καὶ τὸ εἶδος προδηλώσουσιν.

336 πρὸ πάντων δὲ τοὺς τόπους μοιρικῶς δεῖ λογίζεσθαι, καὶ ὁπόταν τε ἡ τοῦ ὡροσκόπου μοῖρα καταληφθῇ, ἀπ’ ἐκείνης τῆς μοίρας ἐξαριθμεῖν ἕως συμπληρώσεως τριακονταμοίρου τοῦ ἑξῆς ζῳδίου· καὶ ἐκεῖνος ἔσται περὶ ζωῆς τόπος· εἶθ’ ὁμοίως ἕως συμπληρώσεως ἄλλων μοιρῶν λʹ περὶ βίου καὶ τὰ ἑξῆς ὡς πρόκειται. πολλάκις γὰρ εἰς ἓν ζῴδιον δύο τόποι συνεμπεσόντες ἀμφότερα τὰ εἴδη προδηλοῦσι κατὰ 〈τὰσ〉 μοιρικὰς αὐτῶν διαστάσεις. ὁμοίως δὲ καὶ τὸν κύριον τοῦ ζῳδίου σκοπεῖν, 〈ἐν〉 ποίῳ ζῳδίῳ τυγχάνει ἢ ποῖον τόπον διακρατεῖ κατὰ τὴν ἑαυτοῦ ἰσομοιρικὴν κανονογραφίαν· οὕτως γὰρ εὐσύνοπτος ὁ τρόπος κριθήσεται. εἰ δέ τις πλατικῶς καθ’ ἕκαστον ζῴδιον ἕνα τόπον λογίζοιτο, ὅπερ ἐστὶ σπάνιον, ἐν συνοχαῖς καὶ ὕβρεσι γίνονται ἢ πραγμάτων περιπλοκαῖς. εἰ δ’ ὁ τοῦ Ἑρμοῦ τούτοις συμπροσγένηται τοῖς χρόνοις ἤτοι σὺν τῷ τοῦ Ἡλίου ἢ καὶ ἐπὶ τῶν προσηκόντων ζῳδίων τῷ τοῦ Ἄρεως, γραπτῶν χάριν τὴν ἐπιφορὰν ἢ τὴν σύσχεσιν ἔσεσθαι δηλοῖ καὶ τὰ ἑξῆς. Γενήσεται οὖν καὶ τὰς ἐπεμβάσεις τῶν ἀστέρων καὶ τὰς μετεμβάσεις ἐκ τῶν ζῳδίων κατὰ τοὺς χρόνους, καθὼς πρόκειται. δεῖ οὖν λογίζεσθαι οὕτως· ὅσα ἂν κατάγῃ ἡ γένεσις ἔτη, τοσαύτας ἡμέρας ἐπιπροσθέντες τῇ γενεσιακῇ ἡμέρᾳ καὶ σκοπήσαντες, πόσοι μηνὸς ἑτέρου ἢ αὐτοῦ τοῦ γεννητικοῦ, ἐκείνην τὴν ἡμέραν ἀστερίσαντες πρῶτον, εἰ ὡροσκοπεῖ τις ἢ ἐπί τινα μετῆλθεν, καὶ πότερον ἀπὸ κέντρου εἰς ἐπαναφορὰν ἢ εἰς ἀπόκλιμα ἢ 〈ἀπὸ〉 ἀποκλίματος εἰς ἐπίκεντρον τόπον, ἢ ἀνατολικὸς ὑπάρχων κατὰ τὴν τῆς καταβολῆς χρονογραφίαν ὑπὸ δύσιν κατῆλθεν ἢ εἰς ἑτέραν ἄτακτον φάσιν ἢ βελτίονα· καὶ τούτων αἱ καιρικαὶ ἀποτελεσματογραφίαι σοι νοηθήσονται. ἔδοξε δέ μοι καὶ τοῦτο ἔχειν καλῶς· τὰ καταγόμενα ἔτη ἐπιπροσθέντες τῇ γενεσιακῇ ἡμέρᾳ καὶ λογισάμενοι, εἰς ποῖον μῆνα ἡ ἡμέρα ἐκπίπτει, αὐτοῦ τοῦ καταγομένου ἐνιαυτοῦ τῶν ἀστέρων ποιεῖν τε καὶ συγκρίνειν, καθὼς πρόκειται· ἐπὶ μὲν τῆς προδεδηλωμένης ἐπεμβάσεως καὶ μεταβάσεως τῶν ἀστέρων εἰς πολλὴν διαφορὰν ἐπὶ Κρόνον καὶ Δία καὶ Ἄρεα εὑρήσομεν ἀλλ’ ἀνεπαίσθητον καὶ ἐν αὐτοῖς τοῖς τόποις ἐπόντας· ἐπὶ δὲ ταύτης κατὰ τὸ τετράγωνον καὶ τρίγωνον καὶ διάμετρον γινομένους εὑρήσομεν. 〈γʹ.

337 〉 Ἀγωγὴ περὶ χρόνων ἐμπράκτων καὶ ἀπράκτων καὶ ζωῆς πρὸς Σελήνη ν . Ἐξεῦρον δὲ καὶ ἑτέραν ἄφεσιν ἐκ πείρας, καθὼς ᾐνίξατο Ζωροάστρης, πρὸς τὰς τῶν ἀστέρων ζώνας. ἀπὸ Σελήνης ἀρχὴν ποιησάμενος ἀνωφερῶς ἑκάστῳ ἀστέρι· Σελήνῃ θʹ, εἶτα Ἑρμῇ θʹ, ἑξῆς Ἀφροδίτῃ θʹ, εἶτα Ἡλίῳ θʹ, εἶτα Ἄρεϊ θʹ, εἶτα Διὶ θʹ, εἶτα Κρόνῳ θʹ· καὶ ἑξῆς κατωφερῶς ἕως συμπληρώσεως ἐτῶν ρηʹ τῶν τῆς Σελήνης τελείων χρόνων. ταῦτα δὲ κοσμικῶς προέθετο ὑποδείγματος χάριν, ὡς καὶ ὁ βασιλεὺς καὶ ἕτεροι πλεῖστοι. Πάντες μὲν οὖν καθὼς πρόκεινται χρῶνται· ἐμοὶ δ’ ἔδοξε τὸν μερισμὸν τοῦτον ποιεῖσθαι· τὸ πλῆθος τῶν καταγομένων ἐτῶν ἀπολύειν ἀπὸ τοῦ σεληνιακοῦ ζῳδίου προεκκρούσαντας τὸ διάφορον, ὧν ἐπέχει ἡ Σελήνη, καὶ τὸ ἐπίλοιπον εἰς συμπλήρωσιν τῶν θʹ ἐτῶν ἀπομερίζειν, ἔπειτα τοῖς ἑξῆς ζῳδίοις διδόναι ἀνὰ θʹ ἔτη· ἐὰν δὲ μὴ χωρῇ ζῴδιον θʹ ἔτη, εἶτα μηνιαίους χρόνους ἑκάστῳ ζῳδίῳ διδόναι μέχρι συμπληρώσεως τοῦ ζητουμένου χρόνου, προκατοπτεύσαντας τὸ κεκληρωμένον ζῴδιον τὴν ἐννεατηρίδα, ὅθεν καὶ ἡ ἄφεσις τῶν θʹ μηνῶν ἐγένετο· ὅπου δ’ ἂν καταλήξῃ, συγκρίνειν κατὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὴν προγεγραμμένην αἵρεσιν, πότερον ἐνεργὴς ἢ ἄτονος τερματίζεται. ἐὰν γάρ πως αἱ ιβʹ ἀφέσεις τὴν αὐτὴν δύναμιν ἐπισχῶσι, πρὸς μὲν τὰ ζωτικὰ τὸ τέλειον ἐποίσουσι, πρὸς δὲ τὰ πρακτικὰ εὐτονήσουσι προσημαινομένων. καὶ οὕτως μὲν τοῖς ιβʹ ζῳδίοις μερίζοντες ἀνὰ ἔτη θʹ εὑρήσομεν τὴν συμπλήρωσιν ρηʹ ἐτῶν· εἰ δὲ τοῖς ζῳδίοις προμερίζοντες ἐκ δευτέρου τοῖς αὐτοῖς πάλιν προσνέμομεν, πλεονεξία τις καὶ μειότης εὑρεθήσεται πρὸς τοὺς ἀστέρας. ἄλλως τε καὶ τὰς πλείους γενέσεις ὑπὸ τὸν αὐτὸν χρόνον ἕνα ἔχειν χρονοκράτορα ἀδύνατον καὶ ἀνάρμοστον. ἡ οὖν ζῳδιακὴ ἄφεσις καθʼ ἑκάτερα ἥ τε Σελήνη παρὰ τὰς στάσεις ἀλλοιουμένη κατὰ γένεσιν οὐ τὴν τυχοῦσαν διαφορὰν ἀπεργάζεται. σκοπεῖν οὖν χρή, καθὼς προεῖπον καὶ νῦν δὲ διασαφήσω ἀναγκαίως, τὸν τοῦ Διὸς ἀστέρα, εἰ ἐπιθεωρεῖ τὸν ὡροσκόπον μοιρικῶς, τουτέστι πότερον ἐντὸς τῶν μοιρῶν αὐτοῦ ἢ ὑπὲρ τὰς μοίρας ἔβαλλεν τὰς ἀκτῖνας· ἐὰν μὲν πλειόνων μοιρῶν εὑρεθῇ ἀναποδιστικὸν σχῆμα ἔχων, εὔτονος πρὸς βοήθειαν· φέρεται γὰρ ὡς ἐπὶ τὰς τοῦ ὡροσκόπου μοίρας· ἐὰν δὲ ἡττόνων, τὸ κατὰ φύσιν βέλτιον· ἐὰν δὲ ἀπόστροφος τοῦ ὡροσκόπου εὑρεθῇ, χαλεπός· καὶ ἐφʼ ὅσον μὲν ἐπιθεωρεῖ τόπον τινὰ ἀφετικὸν ἢ ἀστέρος ἢ ζῳδίου κατὰ τὴν τοῦ ζητουμένου χρόνου μετάβασιν, ἀγαθοποιὸς καθίσταται· ὅταν δὲ ἀπαλλαγῇ τοῦ ζῳδίου ἢ τῶν μοιρῶν κατὰ προποδιστικὴν ἢ ἀναποδιστικὴν φάσιν, κακοποιὸς καὶ βλαπτικὸς ὑπάρχει.

338 παρατηρητέον δὲ καὶ τὴν Σελήνην πρὸς τὰς τοῦ Ἡλίου καὶ τῶν κέντρων ἰσομοιρίας ἢ τετράγωνον ἢ τρίγωνον ἢ διάμετρον· οὐ μόνον δὲ ἀλλὰ καὶ κατὰ τὰς διαστάσεις τῶν ιεʹ μοιρῶν ἢ τῆς τοῦ ζῳδίου ἡμισείας ἀναφορᾶς· τότε γὰρ δοκεῖ τὴν κίνησιν ποιεῖσθαι. μάλιστα μὲν οὖν καὶ ὁπόταν ἔν τινι χρόνῳ κατὰ δύο συνδέσμων φέρηται, ἀναμφίλεκτος ἔσται ἡ ἀναίρεσις· ἡ δὲ διάκρισις τοῦ θανατικοῦ κύκλου καταληφθήσεται ἔκ τε τῆς ἡλιακῆς καὶ σεληνιακῆς μοίρας, καθὼς ἐκτεθείμεθα κατʼ ἀμφοῖν καὶ κατὰ τὰς ἀγωγὰς ἀνακυκλουμένων, ἢ καὶ ἐξ ἑτέρας δυναστικῆς ἀγωγῆς συντρεχούσης τοῖς συνδέσμοις. 〈δʹ.〉 Περὶ κλιμακτήρω ν . Ἰδίως μὲν οὖν συναφαὶ καὶ κολλήσεις τῶν ἀστέρων Ἡλίου τε καὶ Σελήνης πρός τε τὸ ἀγαθὸν καὶ τὸ φαῦλον ἐνεργητικαὶ καθίστανται· σκοπεῖν δὲ δεῖ καὶ τοὺς ἑκάστου ἀστέρος περιοδικοὺς χρόνους, εἰ συντρέχουσι τοῖς τῶν ἀγαθοποιῶν ἢ κακοποιῶν χρόνοις καὶ ἐκ τίνων ἀριθμῶν σύγκεινται. οἷον ἐπὶ Κρόνου ἡ περίοδός ἐστιν ἔτη λʹ· ζητῶ, ἐπὶ πόσων ἄλλων δύνανται τὰ λʹ χρηματίζειν· εὗρον οὕτως. ἠρξάμην ἀπὸ τετάρτου καὶ ἐφεξῆς τοὺς ἄλλους συντιθέναι· δʹ, ἔπειτα εʹ, γίνονται θʹ· εἶτα ϛʹ εἶτα ζʹ, γίνονται κβʹ· εἶτα ηʹ, λʹ· συμπληροῦται ἄρα τὰ λʹ ἐκ τεσσάρων. ἔσται οὖν Κρονικὸς κλιμακτὴρ ὁ διὰ δʹ, εἶτα καὶ αὐτὸς ὁ λʹ. Ζεὺς δὲ πρὸς ἀγαθοποιίαν καὶ δόξαν διὰ τριάδος· γʹ δʹ εʹ γίνονται ιβʹ· Ἄρης δὲ δʹ εʹ ϛʹ, γίνονται ιεʹ. Ἀφροδίτη δὲ ἀσύνδετος εὑρέθη· ἕξει οὖν τὸν διὰ τῆς ηʹ. Ἑρμῆς δὲ τὸν διὰ τῆς δυάδος· βʹ γʹ δʹ εʹ ϛʹ γίνονται κʹ. Σελήνη δὲ ἐκληρώσατο τὴν τριάδα· γʹ δʹ εʹ ϛʹ ζʹ γίνονται κεʹ. Ἥλιος δὲ τὴν ἐννεάδα· θʹ ιʹ γίνονται ιθʹ· ἔτι δὲ καὶ τῆς εἰκοσάδος δεσπόζει ὁ Ἥλιος· συνέστηκε δὲ αὕτη ἔκ τε μονάδος καὶ ἐννεακαιδεκάδος, ἐπειδὴ ὁ Ἥλιος ἐν τῷ ἡμερονυκτίῳ μίαν μοῖραν διαπορεύεται, τουτέστιν ἐν ταῖς κδʹ ὥραις ποιεῖται φάσεις δʹ, μίαν μὲν ἀπὸ ἀνατολῆς ἕως μεσημβρίας, δευτέραν δὲ ἀπὸ μεσημβρίας ἕως δύσεως, τρίτην δὲ ἀπὸ δύσεως ἕως μεσονυκτίου, τετάρτην δὲ ἀπὸ μεσονυκτίου ἕως ἀνατολῆς.

339 ἐὰν οὖν συνθῶμεν τὰς μοίρας τῶν φάσεων, τῆς μὲν αʹ ὥρας ϛʹ καὶ τῆς βʹ δώδεκα καὶ τῆς γʹ ιηʹ καὶ τῆς τετάρτης κδʹ, γίνεται ξʹ· τὸ ἡμερονύκτιον γίνεται ξʹ. ὁ δὲ τρόπος νοητέος, ὅσπερ ἐστὶ κατὰ τὰς τοποθεσίας τῶν ἀστέρων χρηματιστικὸς παραχρῆμα κατὰ τὴν τῶν ζῳδίων φύσιν. 〈εʹ.〉 Περὶ κατακλίσεως καὶ καταρχῶ ν . Συγκρίνειν δὲ δεῖ καὶ τὰς γινομένας κατακλίσεις τὸν τρόπον τοῦτον. ἀπὸ τῆς γενεθλίου συνόδου ἕως τῆς γεννητικῆς ἡμέρας μαθόντες τὸ τῶν ἡμερῶν πλῆθος ἐκκρούομεν ὁσάκις δυνατὸν τετραετηρίδας· τὸ περιττὸν τῶν δʹ ἀριθμῶν σημειωσάμενοι λαμβάνομεν ἀπὸ τῆς συνόδου τοῦ καταγομένου ἔτους ἕως τῆς γενεθλιακῆς ἡμέρας καὶ ἐκκρούσαντες τετραετηρίδας τὸ περίλοιπον σημειούμεθα. τρίτῳ δὲ λόγῳ λαμβάνειν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χρὴ ἀπὸ τῆς πρὸ τῆς κατακλίσεως συνόδου ἕως τῆς κατακλιτικῆς ἡμέρας καὶ ἐκκρούσαντας τὰς τετραετηρίδας τὸν λοιπὸν ἀριθμὸν συγκρίνειν τοῖς προτέροις. ἐὰν δέ πως αἱ τρεῖς ψῆφοι τῆς γραφῆς εἰς ἕνα ἀριθμὸν καταλήξωσι, θανατικὸς ὁ χρόνος κριθήσεται. ἐὰν δὲ διάφοροι, κίνδυνος διὰ νόσου ἢ πάθους ἢ σίνους διερχόμενος. διὰ πείρας δ' ἡμῖν ἔδοξεν οὐ μόνον τὰς καταρχὰς τῶν κατακλίσεων χρηματιστικὰς ἡγεῖσθαι, ἀλλὰ καὶ παντὸς οἱουδήποτε οὖν πράγματος, ἥττονος ἐπισήμου, συστατικοῦ ἐπιψόγου, κοινωνικοῦ· καὶ ἁπλῶς οὐ μόνον τὰ εἰς ἀνθρώπους συντελούμενα, ἀλλὰ καὶ τὰ ἐξ ἀνθρώπων, οἷον κτήσεων ἀναθημάτων κατασκευάς, ἀγωγὰς στραταρχίας πολεμαρχίας, φαύλων καὶ ἀγαθῶν ἐγχειρημάτων· καὶ κατὰ εἶδος εἰ βουλοίμην λέγειν, πολὺς ἄν μοι ὁ περὶ τούτων λόγος ἀνυσθήσεται. Ὅθεν κατὰ τὸν τῆς καταρχῆς χρόνον καὶ τὸν τῆς ὥρας καὶ τὸν αὐτοῦ μόνον τοῦ εἴδους ἡ ἀποτελεσματογραφία κριθήσεται, ἤτοι ἀγαθὴ ἢ καὶ ὡς ἐναλλὰξ ἢ ἐπίμονος ἢ εὐκαθαίρετος ἢ ὠφέλιμος ἢ ἐπιβλαβής· καὶ οὐχ ὥς τινες γόητες πάντα τὰ πράγματα ἀπὸ μιᾶς καταρχῆς λέγειν πειρῶνται, οὐ μόνον περὶ πραγματικῶν, ἀλλὰ καὶ περὶ χρόνων ζωῆς, ἀπατᾶν βουλόμενοι τὰς τῶν προσιόντων ψυχάς.

340 ἀγαπητὸν γὰρ εἰ θέματος τεθέντος νήφοντι λογισμῷ κατὰ τὸ τῆς συγκρατικῆς καὶ κεντρικῆς συστάσεως ἄρξαιτό τις ἑρμηνεύειν μὴ διὰ πλήθους λόγων, ἀλλὰ διὰ βραχέων εἰς ἀλήθειαν εὐθυνόντων· οὗτος δόξειεν κυβερνήτης μὲν βίου, σύμβουλος δὲ ἀγαθὸς καὶ ἀτρεκὴς προφήτης εἱμαρμένης καθεστάναι. ἀλλὰ τινὰ μὲν παρὰ τοὺς ἀμαθεῖς καὶ χρημάτων ἐραστὰς γίνονται· κολακεύοντες γὰρ καὶ ψευδεῖς ἡδονὰς ἐπεισφέροντες ἀμαυροῦσι μὲν τὸν λογισμὸν καὶ μεταρσίους τὰς ψυχὰς τηρήσαντες ἀπ' αἰθέρος εἰς γῆν καταρριπτοῦσιν· ὅθεν οἱ πλείους ὀδυνηρὰ λαμβάνοντες διασκευάζουσι τὴν πρόγνωσιν ἀνυπόστατον. 〈ϛʹ.〉 Περὶ εὑρέσεως ὡροσκοποῦντος ζῳδίου καὶ μοίρας ὡροσκοπούση ς . Ζῳδιακὸς μὲν οὖν ὡροσκόπος καταλαμβάνεται ἡμέρας ἀπὸ τῶν Ἡλίου μοιρῶν ἀπολυομένων ἀπὸ τοῦ ἡλιακοῦ ζῳδίου, ἑκάστῳ μοῖραν αʹ· ὅπου δ' ἂν καταλήξῃ, ἐκεῖνο ὡροσκοπεῖ τῇ Σελήνῃ καὶ τὸ ὁμοιόπτωτον τούτῳ καὶ τὸ ἡμερινὸν ἢ νυκτερινὸν ἡμικύκλιον. ἐὰν δέ πως εἰς νυκτερινὴν ἐμπέσῃ ἡ μονομοιρία ἢ ἡμερινῆς οὔσης τῆς γενέσεως τὸ ἀντίθετον τούτου ὡροσκοπήσῃ ζῴδιον ἢ τὸ τετράγωνον, νυκτὸς τὴν μονομοιρίαν τῆς Σελήνης ἀπ' αὐτῆς ἀπολύειν ὁμοίως. Ἄλλω ς. τὸ δωδεκατημόριον τοῦ Ἡλίου δεῖ ἐκβάλλειν ἀπὸ τοῦ εὐωνύμου τριγώνου· ὅπου δ' ἂν καταλήξῃ, ἐκεῖνο ὡροσκοπήσει ἢ τὸ ὁμοιόπτωτον. Ἄλλως πρὸς ἀναγκαστικὴν ἀγωγήν. ἐφ' ὅσον μὲν ὁ Ἥλιος ἐν τῷ συνοδικῷ ζῳδίῳ ἐπιπάρεστι τῆς Σελήνης διαπορευομένης τὸ ἑξῆς ἀπὸ συνόδου ζῴδιον, ἐστὶν ὡροσκόπος ἐν τῷ συνοδικῷ ζῳδίῳ ἢ εἰς τὰ ἑξάγωνα ἢ τρίγωνα ἢ διάμετρα τῆς Σελήνης ἀπό γε τῆς προσνεύσεως αὐτῆς, ἀφ' ἧς ὁ ἔλεγχος εὑρίσκεται. ὅταν δὲ σὺν τῷ Ἡλίῳ τύχῃ 〈καὶ〉 κεντροῦται ἡ Σελήνη, ἐὰν παραλλάξῃ ὁ Ἥλιος τὸ συνοδικὸν ζῴδιον τῆς Σελήνης ἔτι τὸν πρῶτον κύκλον διαπορευομένης, 〈εἰσ〉 τὰ τετράγωνα τῆς Σελήνης ἢ εἰς τὸ ἀσύνδετον 〈ὁ〉 ὡροσκόπος εὑρεθήσεται.

341 ἐὰν δέ τις προεπιγνῷ νυκτὸς καὶ ἡμέρας ἄτερ ὥρας, δύο ζῴδια ὡροσκοποῦντα δεῖ κρίνειν. 〈ζʹ.〉 Περὶ ἀρσενικῆς καὶ θηλυκῆς γενέσεως καὶ τεράτων ἢ τετραπόδω ν . Ἐπὶ πάσης γενέσεως σκοπεῖν δεῖ, ποῦ τὸ δωδεκατημόριον τῆς Σελήνης ἐξέπεσεν· κἂν μὲν ἐν θηλυκῷ ζῳδίῳ καὶ ὁ τούτου κύριος ἐν θηλυκῷ, λέγειν κατὰ τὸ πλεῖστον θηλυκὴν τὴν γένεσιν. ἐὰν δὲ ἀρσενικὴ τύχῃ, πρόσθεσιν καὶ ἀφαίρεσιν λογίζεσθαι τῆς ὥρας τοσαύτην, ὅσον δύναται τὸ ἀρσενικὸν δωδεκατημόριον ὡροσκοπεῖν ἐκ τοῦ ἀναφορικοῦ ψηφίσαντες. σκοπεῖν δὲ καὶ τὸ διάμετρον [καὶ] δωδεκατημόριον· ἐὰν δέ πως τὸ δωδεκατημόριον εἰς θηριῶδες ἐκπέσῃ ἢ τὸ τούτῳ διάμετρον ἢ οἱ τούτων κύριοι, τέρας ἢ ἄλογον ζῷον ἀποφαίνεσθαι. Οἷον ἔστω ἡ Σελήνη Ἰχθύσι μοίρᾳ ιθʹ· τὸ δωδεκατημόριον Ζυγῷ ἀρσενικῷ καὶ ἀνθρωποειδεῖ ζῳδίῳ, καὶ ἡ γένεσις ἀρσενική. ἡ κυρία Ἀφροδίτη Τοξότῃ· ἡ ὥρα οὔτε πρόσθεσιν οὔτε ἀφαίρεσιν ἔχει, ἐπεὶ εἰς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀνθρωποειδῆ ἐξέπεσεν. λαμβάνω οὖν τοὺς κυρίους τοῦ τε Ζυγοῦ καὶ Κριοῦ, Ἀφροδίτην καὶ Ἄρεα· ἦν δὲ ὁ μὲν Ἄρης Παρθένῳ, ἡ δὲ Ἀφροδίτη Τοξότῃ· ὁ δὲ ὡροσκόπος ἐκ τοῦ ἀναφορικοῦ ψηφισθεὶς κατὰ τὸν διδόμενον ὡροσκόπον εὑρέθη Λέοντι μοίρᾳ ιε′. ἐκβάλλω οὖν ἀπὸ τούτου δωδεκατημόρια ἕως Ἄρεος 〈καὶ〉 Ἀφροδίτης καὶ τὴν συνέγγιστα τῆς ὡροσκοπούσης μοίρας τοῦ Λέοντος ιε′ ἡγοῦμαι κυρίαν τῆς μονομοιρίας. ἕως οὖν Ἄρεως τοῦ ἐν Παρθένῳ ἀπὸ Λέοντος μοίρας ιε′ γίνεται νε′ ἡ διάστασις· εἰς τὰς ιε′ ἀπολύω ἄλλα δύο δωδεκατημόρια ἕως Σκορπίου· γίνονται μοῖραι ις′· ἡ γὰρ Ἀφροδίτη Τοξότῃ εὑρέθη, ὥστε καὶ Τοξότῃ μέρος ἐὰν δῶμεν τοῦ δωδεκατημορίου, ἔσονται ιβ′· συνέγγισται αὗται αἱ μοίραι τῇ τοῦ Λέοντος ιε′. ἐπεὶ οὖν τὸ δωδεκατημόριον ἔγγιστα ἔχει, δεῖ ζητεῖν μονομοιρίαν Ἀφροδίτης ἐν Λέοντι περὶ μοίρας ια′ καὶ ιβ′ καὶ ιγ′ κἀκεῖνο ἡγεῖσθαι ὡροσκοπικόν. Ἄλλω ς. ἀεὶ μὲν οὖν ὁ Ἥλιος τὸ μέγεθος τῆς ἡμέρας καὶ τῆς ὥρας ἀποδείκνυσι, καθ’ οἷον ζῴδιον ἐπιπαρὼν τυγχάνει. ἐκ δὲ τῆς ὥρας συνίσταται ὁ ὡροσκόπος, ἐκ δὲ τοῦ ὡροσκόπου 〈ἡ〉 μοῖρα, ἐκ δὲ ταύτης ἡ τοῦ ὡροσκόπου ἀτρεκὴς μοῖρα, ὑπ’ ἀλλήλων φυόμενοι καὶ ἡνιοχούμενοι, στηρίζοντες, καὶ μάλιστα περὶ τῶν ἡμέρας γεννωμένων.

342 ἐπὶ δὲ τῶν νυκτὸς λαμβάνειν χρὴ τὰς ὑπολειπομένας τοῦ Ἡλίου μοίρας καὶ τοὺς καταλειφθέντας μοίρας ἐφέξειν τῶν ἀνακειμένων εἰς τὰς τριακοντάδας. εἰ δέ τις πλάνη περὶ τὸν ὡροσκόπον νομίζοιτο, εἰσελθόντας χρὴ εἰς τὸ ἀναφορικὸν κατὰ τὴν τοῦ θέματος διαταγὴν σκοπεῖν τὸ ὡριαῖον μέγεθος, πόσον διάστημα τῶν ἀριθμῶν ἐπέχει, καὶ προσθέντας τῷ ἐγκλίματι καὶ ἀφελόντας κατὰ τὴν δοκοῦσαν πλάνην τὴν εὑρεθεῖσαν μοῖραν κρίνειν ὡροσκοπικήν· αὕτη γὰρ στιγμῇ διὰ τῆς παρεγκλίσεως ἑκάστης γενέσεως τὸν ἔλεγχον ἀποδείκνυσιν. ἐντεῦθεν δὲ ὁ τῆς ὡριμαίας λόγος μυστικῶς προδηλοῦται· οὐ γὰρ πᾶσα γένεσις τὸν αὐτὸν ἀφηλιώτην ἢ τὴν ἴσην διάστασιν ἐφέξει, ἀλλ’ ὁτὲ μὲν εἰς μῆκος ἀνακυκλούμενον, ὁτὲ δὲ β′ ἢ γ′ ζῴδια, ὁτὲ δὲ οὐδ’ ὅλως· εἰ δέ τις βούλοιτο καὶ τὸ μέρος τῆς ὡροσκοπούσης προγινώσκειν, ἐξ αὐτῆς τῆς εὑρεθείσης μοίρας καταληπτὸς ἔσται, καθὼς καὶ ἐν τῇ προτέρᾳ βίβλῳ ἀπεδείξαμεν. καὶ νῦν δὲ προσυπομιμνήσκωμεν σαφέστερον· τὸν ἀπὸ συνόδου ἐπὶ τὴν κατ’ ἐκτροπὴν Σελήνην μοιρικῶς λόγον ἐξαριθμησάμενος δίπλου τὸν ἀριθμόν· [ὃν] ὁ πρῶτος ἀριθμὸς ἀπὸ τῆς συνοδικῆς μοίρας ἀφεθεὶς ἀνωφερῶς τὸ ἀφηλιωτικὸν μέρος ἐμφαίνει, ὁ δὲ δεύτερος ἀπὸ συνόδου κατωφερῶς τὸ λιβυκὸν μέρος. λαμβάνειν οὖν χρὴ ἀπὸ τῆς ἀφηλιωτικῆς μοίρας ἐπὶ τὴν λιβυκὴν καὶ τὸ συναχθὲν πλῆθος σκοπεῖν, πόσον μέρος ποιεῖ τῶν τξ′, καὶ ἐκεῖνο τὸ μέρος τῆς ὥρας ἡ γένεσις φέρει πρὸς τὰς πεπληρωμένας ὥρας. ὡσαύτως δὲ καὶ ἀπὸ τῆς ὡροσκοπούσης μοίρας τὸ πλῆθος τῶν μηνῶν διεκβάλλειν ἀνωφερῶς καὶ κατωφερῶς πρός τε τὸ ἀφηλιωτικὸν καὶ λιβυκὸν ἡμισφαίριον. Ἄλλω ς. κατὰ μόνας μὲν ἕκαστος τῶν κλήρων ἐμφαίνει τὴν ὡροσκοποῦσαν μοῖραν, οἷον εἰ τύχῃς ὁ κλῆρος ἐστὶν ἐπί τινος ζῳδίου ἐκπεπτωκὼς πλατικῶς· κατὰ μέντοι τὸν μοιρικὸν λόγον τῆς Σελήνης ἐφέξει τὰς μοίρας ἐξαριθμῆσαι, οἷον ἄχρι ἀπὸ Σελήνης ἐπὶ Ἥλιον, καὶ τὸ γινόμενον πλῆθος ἀποδιδόναι ἀπὸ τοῦ κλήρου ἀνωφερῶς· ὅπου δ’ ἂν καταλήξῃ, ἐκεῖνο ὡροσκοπήσει. ὁμοίως δὲ καὶ δαίμων καθολικῶς ἐπί τε τῶν νυκτερινῶν καὶ ἡμερινῶν ἐνεργήσει ζῳδιακῶς πρὸς σύγκρισιν, μοιρικῶς δὲ κατὰ τὸν Ἥλιον· εἶθ’ οὕτως ἀριθμεῖν ἡμέρας μὲν ἀπὸ Ἡλίου ἐπὶ Σελήνην καὶ τὰ ἴσα ἀπὸ δαίμονος ἀνωφερῶς, νυκτὸς δὲ ἀπὸ Σελήνης ἐπὶ Ἥλιον καὶ τὰ ἴσα ἀπὸ δαίμονος κατωφερῶς, ἢ ἀπὸ Ἡλίου ἐπὶ Σελήνην καὶ τὰ ἴσα ἀπὸ δαίμονος ἀνωφερῶς· κατ’ ἀμφότερα δὲ τὸ ἐκβησόμενον εἰς τὸ αὐτὸ τὴν κατάληξιν ἔχει.

343 αὕτη οὖν [ἡ] χρηματιστικὴ μοῖρα κριθήσεται· ἡ δὲ σύγκρισις τοῦ ζητουμένου κατὰ τὴν προκειμένην ἀγωγὴν διαληφθήσεται ἐκ τοῦ ἀναφορικοῦ καὶ τῆς παρεγκλίσεως, ὅσον χρόνον διείληπται τὸ μέγεθος τῆς ὥρας, ἐπιπροσθέντας τῷ ἐγκλίματι ἢ ἀφελόντας λογίζεσθαι, ὅσον τὸ διάστημα τῶν μοιρῶν, καὶ ταῦτα πάλιν ἐπιπροσθέντας τῇ προευρεθείσῃ χρηματιστικῇ μοίρᾳ ἢ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀφελόντας ἐκείνην ἡγεῖσθαι ὡς ὡροσκοπικήν. ὅθεν αἱ τῶν οἰκήσεων τοποθεσίαι κατὰ τὴν τοῦ ὁρίζοντος παρέγκλισιν ἄλλοτε ἄλλως ἀναμετρούμεναι διαφορὰν οὐ τὴν τυχοῦσαν ἐνδείκνυνται, οὔτε τοὺς αὐτοὺς χρόνους βιώσονται οἱ ἐν τῇ Ῥώμῃ γεννηθέντες τοῖς ἐν Βαβυλῶνι οὐδ’ ἕτεροι ἑτέροις· ἀλλ’ ὁτὲ μὲν διαφορὰ ἐλαχίστη εὑρεθήσεται, ὁτὲ δὲ μεγίστη, ὁτὲ δ’ ὑπερβάλλουσα· εἰ γὰρ ὥρα ὥρας μυρία ὑπερτείλασα δύναμιν ἔχει καὶ ἡμέρας, πῶς οὐχὶ καὶ κλίμα κλίματι διὰ τὰ τῆς γῆς σκιάσματα καὶ τὰς ἀνοδίας καὶ στάσεις τοῦ Ἡλίου πρὸς τοὺς ὁρίζοντας. ἀλλὰ ταῦτα τοῖς πλείστοις δυσέφικτα καὶ ληρώδη τυγχάνει, τοῖς δὲ σοφοῖς ἀπόδειξις τῶν προκειμένων τὰ γινόμενα ἀποτελέσματα. Ἄλλω ς. τὰς τοῦ Ἡλίου καὶ τὰς τῆς Σελήνης μοίρας ἐπισυνθέντας χρηματιστικὸν γνώμονα ἡγεῖσθαι καὶ συνεκτικὴν μοῖραν καὶ κατὰ τὴν 〈τοῦ〉 προστάσσοντος διάκρισιν ἐνεργητικήν· ἔπειτα ἀπὸ τοῦ δοκοῦντος ὡροσκοπικοῦ ζῳδίου ἀπὸ τῆς α′ μοίρας ἀρξάμενος ποίει τοὺς δύο κλήρους, ἕως ἰσάριθμοι γένωνται Ἥλιος καὶ Σελήνη. πάντως γὰρ δεῖ δύο μοίρας ἑκάστῳ ζῳδίῳ ὡροσκοπεῖν μετ’ ἀνάγκης ἢ ἔσθ’ ὅτε καὶ γ′, ὅταν ἐν ἀρχῇ τοῦ ζῳδίου καταλήξῃ ὁ σύμπας ἀριθμὸς Ἡλίου καὶ Σελήνης ἐν μέσοις ἢ ἐπὶ τέλει· κατὰ γὰρ τὸν ἰσημερινὸν χρόνον ἡ πρόσθεσις καὶ διαίρεσις γινομένη τὴν συμφωνίαν τῶν μοιρῶν ἐνδείξονται. ὁμοίως δὲ καὶ ἐπὶ Ἡλίου καὶ Σελήνης· καὶ γὰρ ἡ Σελήνη διὰ δύο ἡμερῶν καὶ ἡμίσους διέξεισι τὸ ζῴδιον. δίχα μὲν οὖν τμηθεὶς ὁ γνώμων εἰς τὴν αὐτὴν συμφωνίαν ἀποκαθίσταται. ἀπὸ γὰρ τῶν ἀθανάτων [τῶν] στοιχείων ἡ φύσις εἰς ἡμᾶς τὰς ἀπορροίας πέμπουσα σύμπηξιν κοσμικὴν ἀπεργάζεται καὶ δημιουργεῖ ἠρέμα τὰ πάντα ἀμισθαφῶς τε καὶ ἀποικίλως, μὴ ὑπερβαίνουσα δὲ τοὺς ὅρους τῆς νομοθεσίας κόσμον διευθύνει, ὑπηρετοῦσα δὲ τοῖς κοσμικοῖς καὶ ἐξ ὕπνου μέγεθος καὶ εἰς μακρὸν αἰῶνα κυκλοστρεφουμένη τὰς τῶν ἀνθρώπων καὶ ζῴων γενεὰς φυτῶν τε καὶ καρπῶν εἴδη ἃ μὲν φθείρει καὶ δαπανᾷ καὶ εἰς λήθην ἄγει, ἃ δὲ γεννῶσα καὶ τρέφουσα ἀνανεοῖ πάλιν· καὶ οὔτε μὴν ἀΐδιόν τι καὶ ἐπίμηκες περὶ μονὴν τῶν ἐπὶ γῆς οὔτε φθαρτὸν καὶ ἔρημον, ὅπως καὶ ἡ γῆ χηρεύουσα ἀμορφίας τύπον ἀναλάβῃ, ἀλλὰ καὶ κυβερνωμένη ὑπὸ τῶν οὐρανίων καὶ ἀγαλλομένη τοῖς περὶ αὐτὴν ἀγαθοῖς καὶ ἀγλαοφοροῦσα καὶ χρωμάτων εἴδεσι μεταμορφουμένη εὐμορφώσῃ· οὐδὲν γὰρ τῶν ἐν κόσμῳ στοιχείων ἄμορφον.

344 καὶ τὴν θάλασσαν ὑπὸ τῶν ἀμπώτεων καὶ τῶν ἀνέμων γυμναζομένην ἀνανεοῦσι, καὶ διὰ τὴν χροιὰν ἀποκαθίσταται πλοῦς καὶ ναμάτων ἀπὸ τῆς γῆς ἐπισωρευομένην, καὶ πάντοτε πλημμυρουμένη οὐδέποτε λήγει οὐδὲ μὴν πλημμυρεῖ ὑπὲρ τὴν φύσιν, τοῖς εἰς ἑαυτὴν δὲ ἀνακεχυμένη μυρίοις κλύδωσιν ἑστάναι δοκεῖ, καίπερ ἀστήρικτος οὖσα· νηκτῶν δὲ πλῆθος ἰχθύων ἐν τοῖς κόλποις καὶ κοιλώμασιν ἀνατρέφουσα ἃ μὲν ἀπὸ κήτοις, ἃ δὲ εἰς χρῆσιν ἀνθρώπων δημιουργεῖ, ἃ δὲ εἰς ἀλλήλων βοράν. ἀλλ’ οὐδὲ μὴν ὁ δοκῶν ἀὴρ κενὸς ὁρᾶσθαι ἀργὸς καὶ ἄπρακτος τυγχάνει, ὑπὸ δὲ τῶν πνευμάτων ἡνιοχούμενος καὶ ταχέως μεταμορφούμενος ποικίλος ὁρᾶται καὶ λεληθότως ἡμῖν τὸ ζωτικὸν πνεῦμα μετὰ εὐκρασίας ἀπεργάζεται, πτηνῶν δὲ παντοίων ἰδέα αὐτὸν ἐγχορεύουσα ὄχλον καὶ τέρψιν τῇ θεωρίᾳ παρέχεται. καὶ οὕτω τῶν στοιχείων κατὰ τὸν φυσικὸν λόγον ἕτερον ἐξ ἑτέρου γινόμενον καὶ ἀνατυπούμενον καὶ εὐμορφίαν καὶ χρῆσιν ἰδίαν κεκτημένον τὴν κοσμικὴν σύστασιν ἐνδείκνυται· οὐδὲν γὰρ καθ’ ἑαυτὸ μένον πλεονεκτεῖ τὸ ἕτερον, ἀλλ’ ἄχρηστον καὶ βλαβερὸν τυγχάνει· συγκιρνάμενον δὲ ἑτέρῳ εὐκρασίαν ἀποτελεῖ διὰ παντὸς χρώμενον ὑπὸ πάντων οὐκ ἀναλοῦται· δοκεῖ δὲ καθὼς ὁρῶμεν ἡ γῆ καταβραβεύειν τῶν λοιπῶν ἐπέχουσα αὐτὴ τὰ πάντα ὡς πρόγονος. η′. Ἀγωγὴ περὶ χρόνων ζωῆς πρὸς τὰ ἀπογώνι α . Πᾶσαι μὲν οὖν αἱ προκείμεναι ἀγωγαὶ χρηματιστικαὶ καὶ εὐκατάληπτοι τοῖς ἐντυγχάνουσίν εἰσιν, αἵτινες εἰς ταὐτὸ καταλήγουσι, τουτέστι [καὶ] εἰς τὴν αὐτὴν μοῖραν, οὐ μέντοι τὴν αὐτὴν δύναμιν τῶν χρόνων· ὅθεν χρὴ τοὺς βουλομένους τυχεῖν τῶν τοιούτων μετὰ πάσης σπουδῆς καὶ προθυμίας ἐπιβάλλεσθαι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

345 ὁ γὰρ θέλων πονεῖν κρατεῖ ὧν ἐπιθυμεῖ· παντὶ γὰρ πράγματι καλῷ τε καὶ φαύλῳ συνέπεται πόνος καὶ λογισμὸς ἄστατος ἐπί τε βασιλικῶν καὶ ἡγεμονικῶν ἀρχηγικῶν πλουσίων πενήτων καὶ ἐπὶ τέχναις καὶ ἐπιστήμαις· ἀλλ' οὐδὲ μὴν ἡδοναὶ καὶ τέρψεις ἀμερίμνως καὶ ἀλύπως διευθύνουσιν, ἔχουσι δὲ παρείσδυσιν καὶ φιλαυτότητα καὶ λύπην ψυχικὴν αἰωνίαν. πλουσίαν οὖν μαθημάτων τράπεζαν παρασκευασάμενος συνεστιάτορας ἐπὶ τὸ σύνδειπνον ἀνακέκληκα· οἱ οὖν βουλόμενοι θοινᾶσθαι διὰ τὴν τοῦ σώματος φυσικὴν ὑπηρεσίαν ἐνεργείτωσαν, βοηθοῦντος αὐτοῖς μὴ λάβρως μηδὲ ἀκορέστως ταῖς τροφαῖς χρωμένοις, ἀλλ' ἐφ' ὅσον ἡδονὴν αὐτάρκη τὰ ἐδέσματα δύναται παρέχεσθαι· τὰ δὲ παρὰ φύσιν βλάπτειν εἴωθεν. εἰ δέ τις τῶν κεκλημένων ἐθέλοι ἀβλαβὴς διαμένειν, μιᾷ μερίδι ἢ καὶ δευτέρᾳ χρησάμενος εὐφρανθήσεται· καθάπερ γὰρ ἐπί τινος πυρὸς κατὰ βραχὺ ὕλη προσμεμιγμένη ἀκμαιοτέραν καὶ μείζονα τὴν φλόγα παρασκευάζει κατεργαστικωτέραν τε καὶ λαμπροτέραν, ἀθρόως δὲ αὐτῷ συνεμπεσοῦσα ἠμαύρωσε καὶ κατέσβεσε τὴν εὐμορφίαν τοῦ φωτὸς καὶ πρὸς τούτοις θολώδη καπνὸν καὶ βαρυτάτην ὀδμὴν τοῖς πλησίον μετὰ δακρύων παρέχεται, τοῖς δὲ πόρρωθεν θρύαλλον μέγαν, τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τῶν προκειμένων ἀγωγῶν ἐάν τις μιᾷ ἢ καὶ δευτέρᾳ συγχρονίσαι, εὐκατάληπτον ἕξει τὸ ζητούμενον μεθ' ἡδονῆς καὶ τέρψεως εἰς ἀεὶ [δὲ] διατρίβων καὶ φαντασιούμενος. εἰ δέ τις εἴη μὲν ἐκ τοῦ ἀναγινώσκειν δυσνόητος, θέλοι δὲ εἰς μίαν ἡμέραν δύο καὶ τρεῖς βίβλους διεξιέναι, τὴν μὲν ἀλήθειαν οὐκ ἐξιχνεύσει, παραπλήσιος δὲ ἔσται χειμάρρῳ ποταμῷ σύροντι φορτίον ἄκαρπον καὶ ἀνωφελὲς τοῖς ὁρῶσιν ἢ παλινδρόμῳ εἰς μάτην ὀξέως φερομένῳ· οὐδέ γε ἵππος χωρὶς σταδίου καὶ πολέμου ἐπ' ἐρημίας τρέχων ἔπαινον οἴσεται. ἐὰν δὲ ὁ μὲν ποταμὸς φέρῃ ἔγκαρπον φορτίον, ῥᾳδίως εἰς αὐτὸν τινες εἰσπηδήσουσι τυχεῖν τοῦ καρποῦ, κἂν ῥοθίως ἢ ἐπικινδύνως. ἡ δὲ ναῦς ῥοθίως δρομήσασα κατὰ τρόπον μεγίστην χαρὰν τοῖς ναυτιλλομένοις παρέχει· ὁ δὲ ἵππος ἔξει σταδίῳ διαθεύσας ἀγάλλεται μὲν πρὸ τῶν ἐπαίνων καὶ πολλοὺς ἐραστὰς ἐπάγεται καὶ πολλῆς ἐπιμελείας τυγχάνει καὶ ἄθλων πόνους διαλαμβάνεται.

346 Οὕτως καὶ οἱ μετὰ ἀκριβείας καὶ συνέσεως μεμυσταγωγημένοι ἐπαίνου μὲν καταξιοῦνται, ἡδονὴν δὲ καὶ ὠφέλειαν ἑαυτοῖς περιποιοῦνται· οἱ δὲ ἀκροθιγεῖς τὰς εἰσόδους ποιησάμενοι ῥᾳδίως τὴν ἐπιστήμην χλευάζουσι διὰ τὸ καὶ μὴ εὐμάθειαν ἑαυτοῖς ἐπιμείρεσθαι καὶ ἀθανασίαν. οὐδὲ γὰρ ἀρκετόν τι ἡ φύσις τοῖς ἀνθρώποις ἐδωρήσατο τὰς ἐπικύκλους τῶν ἀστέρων θεωρίας εἰδέναι σταθμοῖς καὶ μέτροις ἀμεταθέτοις, ἀλλ' ἔτι καὶ κύκλοις διήρθρωσε τὰ πάντα· διὸ εὐσύνοπτα τὰ θνητῶν τελίσκεται. εἴ γε τὰ μεριζόμενα καὶ συλλογιζόμενα ἐπὶ τῆς γῆς τοῖς ἀνθρώποις πρὸς ἀκριβῆ μάθησιν δυσέφικτα τυγχάνει, οἷον κλιμάτων καὶ ἐθνῶν ἀπομετρήσεις, θαλάσσης ὅροι καὶ σταθμοί, τὸ βραχύτατον καὶ ἐθνῶν ἀσθενέστατον τὴν τοῦ μὴ συνορᾶν πόρρωθεν (ἅπερ εἰκάζει τις μέχρις οὗ πλησίον γένηταί πως) ἴσχει διὰ τῆς τῶν ἄλλων ἁρμονίας, ἄνθρωποι διεξιχνεύοντες τὸν οὐράνιον κύκλον καὶ τὰς τῶν ἀστέρων κινήσεις Ἡλίου τε καὶ Σελήνης δρόμους ἐνιαυσίων τε καὶ μηνιαίων καὶ ὡριαίων μέρη τροπάς τε καὶ μεταβολὰς ἀέρων συναφάς τε καὶ ἀπορροίας ἐκ τοιαύτης προγνώσεως ἀθανασίας δόξαιεν ἂν μετειληφέναι καὶ πρὸ καιροῦ τοῖς θεοῖς προσομιλεῖν· εἴ γε κατὰ τὸν ποιητὴν Ἑρμῆς δὲ ψυχὰς Κυλλήνιος ἐξεκαλεῖτο ἀνδρῶν μνηστήρων. Καὶ ἔστιν ἐπιχθόνιος δηλονότι καὶ οὐράνιος ὑπάρχων (κοινὸς γὰρ ὁ θεός) τὰς ψυχὰς τῶν ἀνθρώπων μετεώρους ἀνάγει περὶ τὴν τοῦ κόσμου ἀστροθεσίαν ἐνθουσιαστικοῖς καὶ φυσικοῖς περιβάλλων νοήμασι, μάλιστα τοῖς περὶ ταῦτα σεμνῶς ἐσπουδακόσιν. ὧν οἵ γε ἀθεεῖς καὶ πανοῦργοι οὐ μόνον τοῦ μέρους τῆς ἀθανασίας ἠτύχησαν, ἀλλὰ καὶ τῆς ἀνθρωπότητος, δίκην δὲ θηρίων καὶ ἀλόγων ἀγελαζόμενοι διὰ τῆς πλεονεξίας καὶ ἀκρίτου λογισμοῦ ἐξ ὑστέρου τιμωρίας ἀξίας ἔδοσαν μὴ φυγόντες τὸν νόμον. ὅτι μὲν γὰρ οἱ θεοὶ σθένουσιν ὑπακούειν ἀνθρώπων καὶ τὰ κάλλιστα καὶ τὰ τίμια παρέχειν καὶ βοηθεῖν, παντελῶς πρόδηλον· βουλόμενοι δ' οὓς ἐψηφίσαντο νόμους διαφυλάσσειν οὐκ

ἀθετοῦσι τὰς μοίρας, ταύταις γε τὴν ἐπιτροπίαν τῶν ἀνθρωπίνων πραγμάτων ἀνύσιμον ἰσχυροποιησάμενοι ἀλύτοις ὅρκοις.

347 ἔστι γὰρ καὶ ἐπὶ θεοῖς στύγιος ὅρκος φόβον ἔχων καὶ τιμωρίαν, συνέπεται δ’ αὐτοῖς λογισμὸς εὐσταθὴς καὶ ἀμετάθετος ἀνάγκη. μαρτυρεῖ δὲ τούτοις ὁ ποιητὴς λέγων· Σειρὴν χρυσείαν ἐξ οὐρανόθεν κρεμάσαντες καὶ τὰ ἑξῆς· τὴν μὲν ἀπειλὴν τοῦ Διὸς ἐνεδείξατο ὡς δυναμένου τοῦτο πρᾶξαι ὅπερ εἶπεν, ἀλλ’ ὑπέμνησεν αὐτὸν μηδὲν παρὰ τοὺς νόμους ὑπερβῆναι οὐδ’ ἀδικεῖν ἐπὶ θεοῖς· μυστικῶς δὴ ταῦτα εἴρηται καὶ οὐχ ὥς τινες διαλαμβάνουσι *** μεμνῆσθαι αὐτὸν καὶ ἐπὶ τῆς Ἕκτορος ἀριστείας, ὅτι ἐφ’ ὅσον μὲν αὐτοῦ ἡ ὑπόστασις τῶν χρόνων ὑπῆρχεν, ἀκατάληπτος ἦν καὶ πολλοὺς ἀνῄρει τήν τε τάφρον διελθὼν καὶ τὰς πύλας ῥήξας τῶν Ἑλλήνων ἐμπρήσας τε τὸν σταθμὸν Μαίνετο δ’ ὡς ὅτ’ Ἄρης ἐγχέσπαλος ἢ ὀλοὸν πῦρ· καὶ ἐδόκει γὰρ βοηθεῖσθαι ὑπὸ Ἀπόλλωνος. ὅτε δὲ τὸ μοιρίδιον αὐτῷ ἐπέστη πληρωθέντων τῶν χρόνων, τρωθεὶς ὑπὸ Ἀχιλλέως Ὤιχετο δ’ εἰς Ἀίδαο, λίπεν δέ ἑ Φοῖβος Ἀπόλλων. Ὁμοίως δὲ καὶ Ἀχιλλεὺς τὸ Τρωικὸν πεδίον αἵματι πληρώσας καὶ Ξάνθον τὸν ποταμὸν νεκρῶν πλήσας καὶ δόξας θεομαχεῖν καὶ [ὑπὲρ] ὑπὸ θεῶν βοηθούμενος καταλειφθεὶς ὑπὸ Ἀθηνᾶς ἀνῃρέθη ὑπὸ Ἀλεξάνδρου μητρὸς αὐτῷ θεᾶς παρεστώσης. ἀλλὰ μὴν καὶ ἐπὶ Διομήδους καὶ Ὀδυσσέως Ἀθηνᾶ ὕπνῳ μεθύσασα τοὺς βαρβάρους, ὅπως Ῥῆσος ὁ Θρακῶν βασιλεὺς ἀπόληται, τούτοις παρέσχε τὴν ἀριστείαν· καὶ ἕτερα δὲ τεκμήρια περὶ τοιούτων ὑπὸ πολλῶν συντεταγμένα φέρεται. τοῖς δὲ ἐν ῥώμῃ σωμάτων οὖσι καὶ δυνάμει πράξεων βοηθουμένοις ὑπὸ τοῦ χρόνου καὶ θεοῖς προσομιλεῖν δοκοῦσι καὶ παρεστάναι δεῖ συλλογίζεσθαι, ὅτι καὶ οἱ θεοὶ τῶν μοιρῶν ὑπουργοὶ γενόμενοι ὧν μὲν βοηθοὶ ὧν δὲ πολέμιοι καθίστανται· ἀπροφάσιστον γὰρ οὐδὲν ἐν ἀνθρώποις ἐπί τε τῶν φαύλων καὶ ἀγαθῶν δημιουργεῖται· ἔτι δὲ καὶ κατασκευάζεται ὑπὸ εἱμαρμένης τὰ μέλλοντα ἔσεσθαι διά τε ἁρμονίας καὶ φιλίας καὶ δόξης συστάσεως προκειμένης ἔχθρας σίνους πάθους ἀπορρήτων πραγμάτων καὶ μυστικῶν καὶ θανάτου καὶ τῶν λοιπῶν.

348 Τούτων οὕτως ἐχόντων νῦν καὶ περὶ τῆς τῶν ἀπογωνίων δυνάμεως ἀρκτέον. τὴν μὲν πῆξιν Κριτόδημος ἐποιήσατο, τὴν δὲ εἴσοδον πρότερον αὐτὸς ἀνευρών, διασαφήσας δὲ ἐν ἑτέροις βιβλίοις καὶ νῦν δὲ ἀκριβέστερον ἐξευρὼν ἐπιδιαγραφήσω. πᾶσα γὰρ ἀγωγῆς εἴσοδος κατ’ ἀρχὰς ἀμελεστέραν τὴν εὕρεσιν ἔχει, ἐξιχνευθεῖσα δὲ ἐξ ὑστέρου βεβαιοτέρα καθίσταται. εἰ μὲν οὖν τις συν〈νοοίη〉 πότερος βελτίων, ὁ συντάξας σοφῶς καὶ κατεζητημένως ἢ ὁ τὰς ἐπιλύσεις ἐξευρών, φήσει κατὰ τὸν ἐμὸν νοῦν τὸν ἐξευρόντα βελτίονα. καὶ γὰρ ὄργανον μουσικὸν οὐ τῷ κατασκευάσαντι τὸν ἔπαινον παρέχει, ἀλλὰ τῷ μέλλοντι ἐμπείρως διὰ πνεύματος μουσικὸν ἦχον ἐνδείκνυσθαι. ὁμοίως δὲ καὶ πᾶν εἶδος ὀργανοποιίας ἢ συντάξεως μὴ ἔχον τὸν εἰδημόνως προεστῶτα τοῦ ἔργου κενὸν καὶ μάταιον καὶ ἀργὸν νομίζεται· ἢν δέ τις αὐτὸ διαιρήσῃ κατὰ τρόπον ἢ καὶ ἐπιγνῷ τὴν δύναμιν, οὐ μόνον ἡδονὴν καὶ τέρψιν παρέχει, ἀλλὰ καὶ ὠφέλειαν καὶ δόξαν. πολλοὺς γοῦν ἐγὼ κατελαβόμην λογίους παραιτησαμένους τινὰς τῶν συγγραφέων διὰ τὸ σκολιὸν καὶ κατεζητημένον. ἀλλ’ εἰς τὸ προκείμενον τὴν διάνοιαν μετάγειν 〈δεῖ〉. καὶ γὰρ ἐν ταύτῃ τῇ ἀγωγῇ συμφορεύειν Ἥλιόν τε καὶ Σελήνην, ὧν καὶ τὴν εἰς ἄλλους συμπάθειαν κοσμικὴν καὶ ἁρμονίαν μετὰ τὰς προγεγραμμένας 〈οὐκ〉 ἀναγκαῖον ἐπιβεβαιῶσαι διὰ πολλῶν. τὴν οὖν ἀπόδειξιν ποικίλως ἔχει, πρότερον δὲ καθὼς ἑτέροις ἔδοξε προτάξω. Ἐπιγνόντας οὖν χρὴ πόσων μοιρῶν ἐστιν ὁ Ἥλιος εἰσέρχεσθαι εἰς τὸ ἀπογώνιον, καθ’ ὃ κλίμα ἔπεστιν, καὶ τὸ παρακείμενον τῶν μοιρῶν πλῆθος πολυπλασιάζειν ἐπὶ τὰς Ἡλίου μοίρας καὶ τοῦτο ἀπογράφεσθαι. ἔπειτα εἰς τὸ ἀναφορικὸν εἰσελθόντας κατὰ τὴν ἡλιακὴν μοῖραν τὸ παρακείμενον μέγεθος ἐπὶ τὰς γεννητικὰς ὥρας πολυπλασιάζειν καὶ μὴ προσθέντας τὸ πλῆθος πολυπλασιάζειν ἐπὶ τὸ πρότερον εὑρεθὲν πολυπλασίασμα τῶν τοῦ Ἡλίου μοιρῶν καὶ τοῦ ἀπογωνίου πρὸς λεπτά.

349

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὅταν δ’ ἅμα συγκεφαλαιωθῇ ἤτοι μυριάδων ἢ χιλιάδων ἢ ἑκατοντάδων, ἐκκρούειν ἐκ τούτων ὁσάκις δυνατὸν τριακοντάδας, τὸν δὲ λειπόμενον ἄλλων ἀπογράφεσθαι καὶ σκοπεῖν, πόστον μέρος ἐστὶ τῆς τριακοντάδος, καὶ τοῦτο ἀφαιρεῖν ἢ προστιθέναι τῷ καταλειφθέντι μέρει τῆς τριακοντάδος ἢ τῷ μεγέθει τῆς ἡλιακῆς μοίρας· καὶ εὑρόντας τὰς μοίρας εἰσέρχεσθαι εἰς τὰ ἀπογώνια καὶ τὰ παρακείμενα ἔτη ἀποφαίνεσθαι καὶ τοὺς γ′ ὅρους. οὐ μὴν 〈ὥσ〉 τισιν ἔδοξε παρὰ μὲν ἐμοῦ σαφέστερον ὑφηγησομένου· ἡ δὲ πλάνη τῆς ψήφου οὐ μόνον ἐξαμαυροῖ τὴν διάνοιαν, ἀλλὰ καὶ λήθην τῶν ἐξαριθμηθέντων ἐπάγει· καὶ ὡς ἠβουλήθη τις διὰ πλάνην ἐκ δευτέρου ἢ τρίτου ἐξαριθμήσασθαι, ἀπεχθαίρει καταλείψει· καὶ γὰρ ἐμὲ περὶ τὰ τοιαῦτα εὔτονον καὶ φιλομαθῆ ἀπέστρεψέν τι ἡ πλοκή. ἐγὼ δὲ ἐπεὶ τὰ πλεῖστα ἀπὸ Ἡλίου καὶ Σελήνης ἐπραγματευσάμην καὶ ἐπέγνων, ὅτι 〈ὁ〉 περὶ ζωῆς καὶ τέλους λόγος ἀπὸ τούτων καταλαμβάνεται, καθὼς καὶ πρότερον συνέταξα τριζῳδίαν μυστικὴν καὶ εἰς ταύτην ἐπεβαλόμην, οὕτως ἀκριβῶς χρὴ ἐπιστήσαντας Ἡλίῳ καὶ Σελήνῃ πρὸς ὡριαίαν κίνησιν καὶ πρὸς λεπτόν (τοῦτο δὲ πλειστάκις λέγω, ὅπως μὴ δόξω διαμαρτάνειν) ἐξαριθμεῖν Ἥλιον ἐπὶ Σελήνην ἢ Σελήνην ἐπὶ Ἥλιον· κατὰ τὸ αὐτὸ γὰρ ἐκπεσεῖται μυστικῶς· τὸ δὲ συναθροισθὲν πλῆθος συγκεφαλαιώσαντας ἀφαιρεῖν τριακοντάδας. τὸ δ’ ἐντὸς τῶν τριάκοντα λειφθὲν σκοπεῖν, πόστον μέρος ἐστὶ τῆς τριακοντάδος, καὶ τοῦτο ἀφαιρεῖν ἀπὸ ἰσημερινοῦ· τῷ δ’ ἐντὸς περιλειφθέντι μέρει ἔδει προστεθῆναι τὰς τοῦ Ἡλίου μοίρας· καὶ αὕτη μὲν οἴσει τὸ ἀπογώνιον ἤτοι ὡροσκοπικὴν μοῖραν· ἢ καὶ ταύτην ἐπιπροσθέντα ἢ καὶ ἀφαιρεθέντα τὰ τοῦ ἰσημερινοῦ κατὰ τὴν συνεγγίζουσαν ὥραν. πάντως γὰρ πᾶσα γένεσις εἰς δύο μοίρας τὰς γνώμονας ἔχει· ἐὰν γὰρ κατὰ τὴν ὑποδεδειγμένην μοι τροπὴν τῶν δύο κλήρων τὴν ἁρμονίαν ζητῶμεν πρότερον Ἡλίου καὶ Σελήνης κατὰ τὰς μοιρικὰς κινήσεις, οὐκ ἦν ἕτερον, ἀλλὰ εὑρήσομεν ἁρμόζον οὔτε μείζονα οὔτε ἥττονα τοῦ ἰσημερινοῦ.

350 καὶ γάρ ἐστι κοσμικὸς γνώμων καὶ ἀρχηγὸς κλιμάτων καὶ μεσίτης δίκαιος νυκτὸς καὶ ἡμέρας. ὁπότε οὖν εὑρεθῇ ἡ μοῖρα, εἰς τὰ ἀπογώνια εἰσελθὼν εἶτα ἐκζητεῖν τὰ ἔτη κατὰ τὸ α′ καὶ β′ καὶ γ′ τῶν ὅρων. εἰ δέ ποτε ἡ μοῖρα εἰς ὀλιγανάφορα ζῴδια ἐμπέσῃ, ἡ δὲ ὑπόστασις τῆς γενέσεως ἄλλων ἐτῶν ἐπιδέχηται πλῆθος, συντιθέναι χρὴ τοὺς γ′ ὅρους εἰς τὸ αὐτὸ καὶ μετὰ τοὺς γ′ εἰς α′ καὶ β′ ἐπισυντιθέναι καὶ οὕτως ἀποφαίνεσθαι. ὁμοίως δὲ καὶ ἐν τοῖς πολυαναφόροις ζῳδίοις, ἐπὰν πλῆθος ἐτῶν συνδράμῃ, τὸν ὅρον ὁλόκληρον λογίζεσθαι καὶ τοῖς β′ τὰς εὑρεθείσας μοίρας ἐπιβάλλοντας ἢ καὶ πρὸς τούτοις ἀναδραμόντας ἐπισυνθεῖναι [τε] τὰ ἐν τῷ α′ ὅρῳ τῇ μοίρᾳ παρακείμενα ἔτη. Τοῦτο δ’ ἀκριβέστερον ἐξιχνευθήσεται, ἐπάν τις ἐκ τῶν προκειμένων λόγων δοκιμάσας καὶ ἐξαριθμησάμενος εὑρήσῃ τὰ ἔτη συντρέχοντα τοῖς ἀπογωνίοις· πολὺ γάρ τι συμβάλλεται δύναμις δυνάμει συνανακερασθεῖσα. τὸ γὰρ ἓν καθ’ αὑτὸ οὐδὲν τυγχάνει, ἀστήρικτον δ’ ὑπάρχει καὶ ὑπὸ μηδενὸς βοηθούμενον ἀμφίβολον τὴν χρῆσιν ἔχει καὶ ὀλισθηράν. καὶ γὰρ οἱ νήπιοι παῖδες οἵ τε ὑπέργηροι ὀλισθηρὰν τὴν βάσιν ἔχοντες, ὁμοίως δὲ καὶ οἱ τυφλώττοντες βάκτρῳ ἐπερειδόμενοι τὴν πορείαν ποιοῦνται. ἀλλὰ μὴν οὐδὲ ἡ φύσις τελείως οὐδὲν καθ’ αὑτὸ μόνον εὔχρηστον ἐδημιούργησεν τοῖς ἀνθρώποις· παρέπεται γὰρ τῇ ἡμέρᾳ νὺξ καὶ τῇ ζωῇ θάνατος καὶ τῷ λευκῷ τὸ μέλαν καὶ τῷ ὑγρῷ τὸ ξηρὸν καὶ τῷ ἀγαθῷ τὸ φαῦλον καὶ γλυκεῖ τὸ πικρὸν καὶ τὰ λοιπὰ εἰς ἄλληλα χωροῦντα καὶ τελούμενα οἷς μὲν ἀγαθὴν ἐλπίδα ζωῆς τε καὶ βίου καὶ σωτηρίας ἐνδεικνύμενα προθυμίαν ὑπομονῆς ἐπάγεται, οἷς δὲ διὰ τὰς κακωτικὰς αἰτίας μετ’ ἀνάγκης ἀπόγνωσιν καὶ εὐπροαίρετον θάνατον μόνον. ὁπότε δ’ εἰς τὰς ἀρχὰς τοῦ ζῳδίου ἡ ὥρα συνεκπίπτῃ, δοκιμάζειν καὶ τὸ πρὸ αὐτοῦ ζῴδιον πρὸς τὴν ἄφεσιν· ὁπόταν δ’ ἐπὶ τέλει, καὶ τὸ ἐχόμενον αὐτῷ συμφωνήσει. Κριτόδημος μὲν οὖν ἐπὶ ταύτῃ τῇ ἀγωγῇ κοινῶς τῷ Ἡλίῳ κέχρηται, μεθόδῳ δ’ ἑτέρᾳ ἣν οὐκ ἐξέδοτο. 〈θ′.〉 Ἀγωγὴ περὶ χρόνων ζωῆς πρὸς Ἥλιον καὶ Σελήνῃ ν . Πλειστάκις δὲ βουλόμενος ἐλέγχειν τὴν ἐμὴν ἀφθονίαν ἐπάνειμι εἰς τὸν περὶ συμπαθείας Ἡλίου καὶ Σελήνης λόγον· ὁπότε γὰρ εἰς τὸ αὐτὸ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

συνέλθωσιν, 〈ὁ〉 μοιρικῶς τῆς ἀπορροίας αὐτῶν ἐπικρατῶν τὸν ζωτικὸν ἀπολήψεται χρόνον καὶ τὴν ποσότητα κατὰ 〈τὴν〉 τοῦ κλίματος ἁρμονίαν· ὅτε δέ τις κατὰ μόνας αὐτοὺς ἀνακυκλήσῃ, ἡμέρας μὲν Ἥλιον, νυκτὸς δὲ Σελήνην, καὶ ἀφέλῃ σύστημα ζῳδιακόν, τὸ περιλειφθὲν λογιζέσθω [τι] μέρος τοῦ ζῳδίου, ὅπερ ἀφαιρεῖν χρὴ ἀπὸ τοῦ ἰσημερινοῦ, τῷ δ’ ἀπολειφθέντι μορίῳ ἐπιπροσθεὶς τὰς ἡλιακὰς ἢ Σεληνιακὰς μοίρας εὑρήσει τὸ ζητούμενον, ἐάνπερ σκοπῇ.

351 οὗτος μὲν οὖν ὁ λόγος προκείσθω διὰ τὴν εἰς ἀλλήλους συνάφειαν· καθολικῶς δ’ ἐπί τε τῶν νυκτὸς καὶ ἡμέρας ὁμοίως χρηματίσει ἀνακυκλωθεὶς κατὰ τὸν προκείμενον τρόπον. ἄλλως τε τὰς ὑπολοίπους τοῦ Ἡλίου μοίρας ἡμέρας ἐπισυνθεὶς τῇ Σελήνῃ, νυκτὸς δὲ τὰς τῆς Σελήνης ταῖς τοῦ Ἡλίου, τὴν αὐτὴν δύναμιν εὑρήσει. τοῦτο μέντοι ἐγὼ ἐπεξεῦρον, ἐπὶ μὲν τῶν ἡμερινῶν γενέσεων τὴν Σελήνην χρηματίζειν ἀπὸ α′ ὥρας ἕως γ′ τῆς ἡμέρας, ἔπειτα τὸν Ἥλιον ἀπὸ τῶν ς′ ὡρῶν ἕως γ′ τῆς ἐπακολουθούσης νυκτός, καὶ πάλιν ἀπὸ τῆς αὐτῆς νυκτὸς ὥρας ι′ ια′ ιβ′· ὁμοίως δὲ καὶ ἡ Σελήνη τὴν ἡμέρας ι′ ια′ ιβ′ ἐφέξει. καὶ οὕτως κατὰ τὴν προκειμένην ἀγωγὴν οἰκονομεῖν κατὰ τὴν τοῦ ἰσημερινοῦ διάκρισιν ἐπειράθημεν καὶ τὰς ἀντιβαλλούσας μοίρας τῇ εὑρεθείσῃ ἐπισυντιθέναι, ὅπως ἡ ἑτέρα χρηματίσει μοίρα· ὧν γε τὴν διαφορὰν οἵ γε νοῦν ἔχοντες δοκιμάσωσιν. 〈ι′.〉 Ἀγωγὴ περὶ ὡροσκόπου μοίρα ς . Ἐπεὶ δὲ πολλοὶ τῶν φιλομαθῶν ἀλλεπαλλήλοις αἱρέσεσι τέρπονται, καὶ ἑτέραν ἀγωγὴν ὑπό τινων αἰνιγματωδῶς ἀναγεγραμμένην ὑποτάξω, ὅπως καὶ τὰ δοκοῦντα ἑτέροις τίμια οἱ φιλομαθεῖς δι’ ἡμῶν ἐπιγνόντες καὶ τὰς δυνάμεις συγκομίσαντες ἀείμνηστον ἡμῶν δόξαν καταψηφίσωνται. δύσκολον μὲν οὖν καὶ ἐργῶδες ἀλλοτρίας δόξας ἐλέγχειν, καὶ ταῦτα μηδὲ διὰ γραμμάτων βιβλίων μηδὲ διὰ λόγων ἐνεργητικῶν παρειληφότα, καθάπερ ὁ Πετόσιρις τῷ βασιλεῖ περὶ πολλῶν μυστικῶς ἐκτίθεται. ὁ γὰρ συντάσσων πρότερος τὴν ἀρχὴν καὶ τὴν δύναμιν εἰδὼς οὗτος ἐναρμόζει καὶ τὸ τέλος. πολλὰς οὖν αἱρέσεις ἐκτίθεται ἐξεπίτηδες διά τε τοὺς μεμυσταγωγημένους καὶ ἀπαιδεύτους, ὧν τὴν δύναμιν οἵ γε νοῦν ἔχοντες εὐκατάληπτον ἕξουσι, καὶ ἃς μὲν ἰδίας ἃς δὲ λεληθότως ἀναγεγραμμένας, αἷς τινες καίπερ ἐντυγχάνοντες καταφρονοῦσιν, ἀγνοοῦντες τὴν δύναμιν· καθάπερ ἂν εἴς τινας τόπους γῆς τεθησαυρισμένους ἄνθρωποι βαδίζοντες οὐ συνορῶσι τὸ ὑποκείμενον, ἀλλὰ μάτην ὑπερβαίνουσι διὰ τὴν ἄγνοιαν· ἢν δέ τις αὐτοῖς προμηνύσῃ τὸ θησαύρισμα, ἀνορύξαντες καὶ εὑρόντες ἡδονὴν οὐ τὴν τυχοῦσαν ἀναδέχονται.

352 Λαμβάνειν οὖν χρὴ πάντοτε ἀπὸ τῆς ἡλιακῆς μοίρας ἐπὶ τὴν σεληνιακὴν κατὰ τὸ ἑξῆς πρὸς ἀναφορὰν καὶ τὸ συναχθὲν πλῆθος τῶν μοιρῶν ἀπογράφεσθαι γνώμονα ἡλιακόν· ἔπειτα εἰσελθόντας εἰς τὸ ἀναφορικὸν κατὰ τὸ γεννητικὸν κλίμα σκοπεῖν, τί μέρος παράκειται τῇ ἡλιακῇ μοίρᾳ ἡμέρας, νυκτὸς δὲ ἐν τῷ διαμέτρῳ. ὅπερ πολυπλασιάζειν ἐπὶ τὸν ιβ′ καὶ τὸ γενόμενον πλῆθος πάλιν ἐπὶ τὰς ὥρας τὰς γεννητικὰς πολυπλασιάζειν· καὶ ἐὰν μὲν ὑπερπέσῃ ὁ ἀριθμὸς τὰς τξ′ μοίρας, ἀφελόντα κύκλον τὸν περιλειφθέντα σκοπεῖν, εἰ συντρέχει τῷ εὑρεθέντι γνώμονι. ἐὰν γάρ πως οὕτως εὑρεθῇ, σύμφωνος ἔσται ἡ δοθεῖσα ὥρα καὶ ταύτῃ χρῆσθαι· ἐὰν δὲ πολὺ ὑπερβάλῃ τοῦ ἡλιακοῦ γνώμονος, ὁ ὡροσκοπικὸς ἀφαίρεσιν ἔχει τοσαύτην, ὅση ἡ ὑπεροχή· ἥνπερ λογίζεσθαι χρή, πόσον μέρος ἐστὶ τοῦ μεγέθους, καὶ τοῦτο ἀφαιρεῖν. ἐὰν δ’ ὁ ἡλιακὸς γνώμων ὑπερβάλῃ, προσθήκην ἔχει ὁ ὡροσκόπος ὁμοίως, ὅση ἡ ὑπεροχή· καὶ οὕτως μὲν ἐπιγνόντας τὸ μέρος καὶ εἰσελθόντας πάλιν εἰς τὸ ἀναφορικὸν ἐπιψηφίσαι τάς τε πλήρεις ὥρας καὶ τὸ μέρος, ἔπειτα τὰ ἔτη προσθέντες τὸ ἓν κλίμα σκοπεῖν, εἰς πόσην μοῖραν τοῦ ζῳδίου καταλήγει, καὶ ἐκείνην ἡγεῖσθαι ὡροσκοπικὴν παραπλησίως. ταύτῃ τῇ ἀγωγῇ ἐνεχθεὶς ὁ Θράσυλλος καὶ τὴν ἀρχὴν φυσικὴν ποιησάμενος τὸ τέλος συνέπλεξεν. 〈ια′.〉 Ποίοις δεῖ κανόσι χρῆσθαι καὶ τίνα δεῖ παρατηρεῖν καὶ ὅτι οὐδὲν ἐ φ ’ ἡμῖ ν . Ἱκανῶς μὲν οὖν ἡγοῦμαι καὶ ἀφθόνως τὰς τῶν προκειμένων δυνάμεις συντεταχέναι,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τούτων δ’ οὕτως ἐχόντων ἔτι καὶ φιλοκάλοις πρὸς ἀναζήτησιν καὶ ἐπίνοιαν μέρος καταλεῖψαι. οὐ γὰρ πρὸς ἀμυήτους ἐποιησάμην τοὺς λόγους, ἀλλὰ πρὸς τοὺς τὰ τοιαῦτα δεινούς, ὅπως καὶ αὐτοὶ τὸ πολυμερὲς καὶ ποικίλον καὶ ἀκμαῖον λῆγον τῆς θεωρίας διὰ πολλῶν ὁδῶν, εἰσόδων τε καὶ ἐξόδων, ἐπιγνόντες θεοῖς προσομιλεῖν δόξωσιν.

353 ὅτι μὲν γὰρ ἡ θειοτάτη ἐπιστήμη καθ’ ἑαυτὴν μὲν ὑπόστασιν ἀέναον καὶ ἀναμφίλεκτον καὶ ἀίδιον κέκτηται, πρόδηλον ἐκ τῶν ὁρωμένων ἔσεσθαι καὶ μελλόντων· ὅτι δὲ παρὰ τὴν ἀνανδρείαν τῶν μετιόντων τὸ μάθημα καὶ τοὺς μὴ ἐγγυμνασθέντας κατὰ τρόπον περὶ τὰς τῶν κανόνων διαφορὰς ἔσθ’ ὅτε παραμφοδεῖ, καὶ τοῦτο πρόδηλον. ἐάσω μὲν γὰρ λέγειν καὶ περὶ τῶν τοὺς ἀναφορικοὺς συμπεπηχότων, ὅσην διαφορὰν κέκτηνται γραμμικήν τε καὶ ἀριθμητικὴν Ἡλίου τε καὶ Σελήνης κανονοποιίαι καὶ τῶν λοιπῶν ἀστέρων. τὸν μέν γε ἐνιαυτὸν ἄλλοι ἄλλως διέλαβον· Μέτων μὲν ὁ Ἀθηναῖος καὶ Εὐκτήμων καὶ Φίλιππος τξεʹ εʹ ιθʹ, Ἀρίσταρχος δὲ ὁ Σάμιος δʹ κʹ ξβʹ, Χαλδαῖοι τξεʹ δʹ εʹ ζʹ, Βαβυλώνιοι δὲ τξεʹ δʹ ρμδʹ, καὶ ἕτεροι δὲ πλεῖστοι ἄλλως· εἰ οὖν κατὰ τετραετηρίδα μία ἡμέρα συνελθοῦσα τῇ τοῦ Ἡλίου κανονοποιίᾳ ἀτρεκῆ μοῖραν ἐνδείκνυται, πῶς οὐκ ἀνάγκη καὶ μετὰ χρόνον καὶ καθ’ ἣν ἕκαστος ἐλογίσατο ἐνιαύσιον κίνησιν προστεθεῖσαν ἐπουσίαν τῇ ζητουμένῃ ἡμέρᾳ τὴν ἀκριβῆ μοῖραν ἐμφαίνειν; Ἐλογισάμην οὖν κατ’ ἐμαυτόν, ὅτι οἱ προειρημένοι ἄνδρες τὴν μὲν δύναμιν τῆς ἀριθμητικῆς ἠπίσταντο, τὴν δὲ τῶν ζωτικῶν χρόνων εὕρεσιν οὐκ εὐτύχησαν. εἰ γάρ τις αὐτῶν καὶ τοῦτο ἐξίχνευσεν, πάντως ἂν καὶ τὴν κανονοποιίαν τῷ λείποντι μορίῳ προσηρμόκει. ἐπειράθην μὲν οὖν καὶ αὐτὸς κανόνα συμπῆξαι Ἡλίου τε καὶ Σελήνης πρὸς τὰς ἐκλείψεις· ἐπεὶ δέ με ὁ χρόνος περιέκλειε τὸ τέλος ἐπάγων, ἠνέχθην κατὰ τὸν βασιλέα εἰς τὸ εἰρηκέναι· ἕτεροι μὲν οὖν κατημάξευσαν τάσδε τὰς τρίβου ς , διόπερ παρίημι τὸν ὑπὲρ τούτων λόγο ν.

354 ἔδοξεν οὖν μοι χρῆσθαι Ἱππάρχῳ μὲν πρὸς τὸν Ἥλιον, Σουδίνῃ δὲ καὶ Κιδυνᾷ καὶ Ἀπολλωνίῳ πρὸς τὴν Σελήνην, ἔτι δὲ καὶ Ἀπολλωνίῳ πρὸς ἀμφότερα τὰ εἴδη, ἐάνπερ τις τῇ προσθέσει τῶν ηʹ μοιρῶν χρῆται, καθὼς ἐμοὶ δοκεῖ. ἀλλὰ μὴν καὶ καλῶς πραγματευσάμενος τοὺς κανόνας 〈ὡσ〉 πρὸς τὰς τῶν φαινομένων θεωρίας ὁμολογεῖν ὡς θνητὸς παρὰ μίαν ἢ δύο μοίρας φέρειν· τὸ γὰρ ἀπλανὲς καὶ ἀναμφίλεκτον παρὰ θεοῖς μόνοις πέφυκεν· ἀναφορικῶς δὲ κέχρηνται τῷ προεγκλίματι πεπραγματευμένων κλιμάτων ιθʹ. Πρὸ πάντων οὖν δεῖ τοῖς ἀριθμοῖς προσέχειν μετὰ πάσης ἀκριβείας Ἡλίου τε καὶ Σελήνης καὶ τῶν εʹ ἀστέρων, τῆς ὥρας σχηματογραφίας καὶ τὰς πρὸς ἀλλήλους μαρτυρίας βραβευούσης· ἐκ γὰρ αὐτῆς ὁ πᾶς σκοπὸς εὐκατάληπτος ἁλίσκεται οἵ τε ικʹ τόποι συνορῶνται μοιρικῶς. οὕτως γὰρ ἀκριβὴς ἡ ἐπίσκεψις φανεῖσα τοὺς μὲν προλέγοντας δοξάσει, τοὺς δ’ *** ἐπιστήμην ἐπισφραγίζει τὰ φαῦλα καὶ τὰ μὴ πρὸς ἡδονήν, τοῖς δὲ βουλομένοις τὴν ἐπίσκεψιν ποιεῖσθαι προθυμίαν τινὰ καὶ προτροπὴν καὶ πίστιν τῶν λεγομένων ἀναλαμβάνει. εἰ μὲν καθολικὸν τοῦτο ὑπῆρχε τὸ πλουτήσαντά τινα μηδέποτε πένεσθαι μηδὲ τὸν εὐδαίμονα ὄντα βασιλείας καὶ ἡγεμονίας ἢ δόξης 〈ἢ〉 ἑτέρας οἱασδηποτεοῦν αἰτίας ἀκαθαίρετον διαφυλαχθῆναι ἢ τὸν ἐν ῥώμῃ σώματος ἀσινῆ ἢ τὸν ἐν πράξει καιροῦ εὐτυχήσαντα μηδέποτε δυσπραγῆσαι ἢ τὸν κυβερνήτην κλυδωνίζεσθαι καὶ ἀστοχεῖν θαλασσομαχοῦντα ἢ τὸν ἰατρὸν μὴ νοσεῖν ἢ τὸν προγνωστικὸν μηδὲν πάσχειν ἤ τινα προφήτην τῶν θείων ἐπιτυχῆ τοῖς ἀνθρώποις ἀμετάβλητον τυγχάνειν, οὐκ ἂν ἦν εὔχρηστος ἡ πρόγνωσις, ἀλλ’ ὡς ἕκαστος περὶ ὃν τετύχηκε κεκτημένος κλῆρον ἀσχολούμενος καὶ μηδεμίαν προσδοκῶν καινοποιίαν διετέλει τὸν χρόνον. νυνὶ δὲ καὶ ἀβέβαια καὶ σαθρὰ τὰ τῶν ἀνθρώπων πάντα καὶ ἀστήρικτα νομίζεται εἰς τὸ ἐναντίον τρεπόμενα· γίνεται μὲν γὰρ ὁ βασιλεὺς αἰχμάλωτος καὶ ὑπηρέτης, ὁ δὲ πλούσιος πένης καὶ ἐνδεής, ὁ δὲ ἐν ῥώμῃ σώματος καὶ δυνάμει ἐπισινὴς καὶ ἀδρανὴς καὶ τὰ λοιπὰ πάντα, ὅσα ἐν τῷ βίῳ περὶ σῶμα ἢ μορφὴν καὶ δόξαν καὶ πρᾶξιν κεκαλλώπισται, μεταμορφούμενα ἕτερα ἐξ ἑτέρων πεῖραν δίδωσι τοῦ πάσχειν, ἅπερ ἕτερος πάσχων ἠγνόησε.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

355 σπάνιον γάρ τινα ἀμέμπτως τὸν βίον καὶ ἀμερίμνως διευθῦναι· τοὺς δὲ πλείστους κατὰ τὴν ἰδίαν ὑπόστασιν ταῖς τῶν καιρῶν ἐναλλοιοῦσθαι τύχαις συμβαίνει. Τοιγαροῦν καὶ αὐτὸς καταμαθὼν ἐμαυτὸν ἐκ τῆς προγνώσεως καὶ ὁποίαν καταβολὴν ἔλαχον τοῦ κλήρου καὶ ὅτι παρὰ τοῦτο ἀδύνατον γενέσθαι ἕτερον οὔτε ἡγεμονίας οὔτε ἀρχῆς οὔτε ἑτέρας φαντασιώδους δόξης ἢ πλούτου δαψιλείας καὶ κτημάτων ἢ σωμάτων πλήθους ἐραστὴς ἐγενόμην ἢ δοῦλος ἐπιθυμίας καὶ κόλαξ ἀσεβὴς θεῶν τε καὶ ἀνθρώπων δυνάμενος τυχεῖν, ὧν μὴ ἐβούλετο τὸ δαιμόνιον παρέχειν· ἀλλὰ καθάπερ δεσπότου φαύλου ἐν συνέσει δοῦλος ἐπίσταται ἤθη καὶ τὰς περὶ τὸν βίον ἀναστροφὰς κοσμίως τὰς ἐξυπηρετήσεις ποιούμενος κατὰ τὴν τοῦ κελεύοντος διαταγὴν μὴ ἀντιτασσόμενος ἀλύπητον καὶ ἀκοπίατον ἡγεῖται τὴν ὑπόστασιν, τὸν αὐτὸν τρόπον καὶ αὐτὸς οὔτε μοχθηρὰν οὔτε ἐπώδυνον τὴν ὑπηρεσίαν ἐποιησάμην, πάσης δὲ ματαίας ἐλπίδος καὶ φροντίδος ἀπαλλαγεὶς τὸν τῆς εἱμαρμένης νόμον διεφύλαξα. Ἐὰν οὖν φιλοπευστῶν τις καὶ ἰσχυροποιησάμενος τὴν διάνοιαν βούληται ἀκούειν παρ’ ἀνδρὸς ἐμπείρου περὶ τῶν ὄντων καὶ τῶν ἐσομένων, τῶν πλείστων καταφρονήσας ἐκείνων ἐραστὴς γενήσεται τῶν συνηρμοσαμένων τὴν καταβολήν. ἀνατυπούμενος γὰρ καθ’ ἑκάστην ἡμέραν ἅπερ δεῖ παθεῖν τῶν φαύλων τὸν φόβον προμαραίνει· ἀμβλύνεται γὰρ τὸ χαλεπὸν ὑπὸ τῆς εὐθυμίας ἐπιτριβόμενον, οὕτως τε ὡς ὑπὸ ἑτέραν δεσποτείαν καὶ ἐξουσίαν τεταγμένος διὰ τῆς ἰδίας ἐγκρατείας ἀκηρύκτως καὶ κοσμίως τὸ τέλος τοῦ βίου ὑποίσει. ἐὰν δέ τις πείρᾳ βουλόμενος μαθεῖν ἐπιγνῶναι θέλῃ ταῦτα ὅπως ἔχει, ἀντιτασσέσθω τοῖς βουλευομένοις ὑπό τινος ἀπείρου καὶ τὰ ἐναντία πρασσέτω. οἷον εἰ πένης ὢν πλούσιος γένηται ἢ μέτριος ἀρχοντικὸς ἢ ἄπρακτος εὐεπίβολος ἀσυκοφάντητος ἀλύπητος ἀμέριμνος (πάντες γὰρ ἄνθρωποι καλῶν ἐρασταὶ πεφύκασι)—τούτων δέ τις τυχὼν καταφρονήσει τῆς πεπρωμένης.

356 ἀδύνατον δ’ ὁπόσα βούλεταί τις συντελεῖσθαι ἢ ἐπὶ τοῖς αὐτοῖς διαμένειν διὰ τέλους· σύμφορον τοιγαροῦν ἔχεσθαι τὴν τύχην καὶ ἀστήρικτον ὑπάρχειν· τὰς γὰρ εὐημερίας αὐτῆς οὐ φέρουσιν ἄνθρωποι· καθάπερ γὰρ λυσσώδεις ἐξοιστρημένοι καὶ ὑπὸ πολλὰς δεσποτείας τεταγμένοι ἐπιθυμιῶν τε καὶ παθῶν ὄρεξιν πάσχοντες κἂν μὴ θέλοντες τὰς ἁρμοζούσας τιμωρίας κομίσονται. Τισὶ μὲν οὖν ἔδοξε τῶν εὐήθων λέγειν πάντα ἐν ἡμῖν· μὴ δυνάμενοι δὲ τοῦτο ἀποδεῖξαι διὰ πείρας εἰς μέρος τι τοῦ λόγου κατέδραμον φάσκοντες ἃ μὲν ἐν ἡμῖν, ἃ δὲ ἐν τῇ εἱμαρμένῃ. τυχόντες δὲ τούτου καὶ ἀναισχυντοῦντες εἰς ἄπειρα καὶ ἀνοίκεια ζητήματα ἐχώρησαν λέγοντες· τὸ προελθεῖν ἐκ τῆς οἰκίας ἐν ἐμοὶ καὶ τὸ λούσασθαι καὶ πορευθῆναι ὅπου βούλομαι καὶ πρᾶξαί τι καὶ πρίασθαι καὶ συντυχεῖν φίλῳ καὶ ἕτερα πλεῖστα ἄπορα. τοὐναντίον δὲ ἐγώ φημι πρὸς τούτους, ὅτι οὐδὲ ταῦτα τὰ μάταια ἐν αὐτοῖς ἐστιν· εἰς τὸ ἐναντίον γὰρ χωρεῖ τὸ τῆς προαιρέσεως διά τινας ἀπροφασίστους αἰτίας. καὶ γὰρ αὐτὸς πολλάκις πρᾶξαί τι βουλόμενος ἢ συντυχεῖν φίλῳ ὥραν καλὴν ἐκλεξάμενος οὐκ ἔτυχον τοῦ προκειμένου οὐδὲ μὴν ὅπου ἐβάδιζον γενόμενος· ὁπότε δ’ οὐκ ἐβουλήθην, τὸ τοιοῦτον συνετελέσθη· πάντως γὰρ ἔδει τὴν ὥραν ἐναρμόνιον τῷ μέλλοντι ἔσεσθαι τυχεῖν. τοιγαροῦν χρὴ τούς γε νοῦν ἔχοντας ἕπεσθαι τῷ δαιμονίῳ καθὼς βούλεται (κατασκευάζει γὰρ τὴν ** πρὸς ὃ θέλει) ἢ καλὰς ὥρας ἐκλέγεσθαι, ἀρχικῆς δὲ πράξεως τῆς καταρχῆς γενομένης κατὰ τὴν κοσμικὴν κίνησιν καὶ ἀνάγκην συνορᾶν τὸ ἀποτέλεσμα ἐκ τῆς τότε ἀστροθεσίας καὶ τῆς τοῦ ὡροσκόπου. ⟨ιβʹ.⟩ Περὶ τῶν συνδέσμω ν . Παρατηρητέον δέ, ὁπόταν εἰς σύνδεσμον ἐμπέσῃ μοιρικῶς ἢ ἐπὶ τέλει τῆς ἑξαμοιρίας, τὴν πρόσθεσιν ἢ ἀφαίρεσιν ποιεῖσθαι τῶν ἐπιβαλλόντων ἐτῶν κατὰ τὴν ζῳδιακὴν ὀργανοθεσίαν. πρὸς δὲ σύγκρισιν δυεῖν αἱρέσεων καὶ ἀγωγῶν, εἰ τοὺς αὐτοὺς φέροιεν χρόνους ἢ συνεγγίζοντας ἀλλήλοις, σκοπεῖν μὴ κατὰ τὸ αὐτὸ ζῴδιον συνεμπέσωσιν αἱ μοῖραι· εἰς δὲ τὰ ὅμορα ἰσχυροποιοῦνται τὴν ὑπόστασιν τῶν ἐτῶν, ⟨ἐὰν⟩ ἀπὸ ἡμέρας εἰς νύκτα ἢ ἀπὸ νυκτὸς εἰς ἡμέραν ὁ ἱερὸς γνώμων συνεμπέσῃ· ἐκ τούτων γὰρ καὶ αἱ ἀτρεκεῖς μοῖραι τῶν φώτων καταληπταὶ ἔσονται.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

357 〈ιγʹ.〉 Ἀγωγὴ περὶ χρόνων ζωῆς ἐμπράκτων καὶ ἀπράκτων πρὸς Ἥλιον καὶ Σελήνη ν . Καὶ τοῦτο δέ μοι παρεισῆλθεν περὶ τῆς προκειμένης ἀγωγῆς, τουτέστι τῶν κζʹ ἐτῶν, καὶ κδʹ κύκλους σεληνιακοὺς ὑποτάξαι· ὁπόταν μὲν τὸν ἀριθμὸν ἐπιδέχηται ἡ γένεσις, πραγματεύεσθαι ὡς προγέγραπται· περὶ δὲ τῶν νηπίων γενέσεων οὕτως. ἀπὸ μὲν τῆς Σελήνης τὴν ἄφεσιν ποιούμενος διδόναι ἑκάστῳ ζῳδίῳ μῆνας βʹ καὶ [εʹ·] ἔπειτα ἕως τῆς σεληνιακῆς συναφῆς καὶ τριγώνου ἢ τετραγώνου, εἶτα καὶ τῆς τῶν κακοποιῶν ἀκτινοβολίας κέντρου κατὰ τὴν αὐτὴν συνηγγισμένην τῶν τῆς ὑποστάσεως χρόνων. ἀπὸ δὲ τῆς ἡλιακῆς ἀφέσεως ἑκάστῳ ζῳδίῳ διδόναι μῆνας λʹ· καθὼς ἐπὶ τοῦ κλήρου τὴν διαίρεσιν λεπτομερεστέραν προετάξαμεν, οἰκονομεῖν, μέχρις ἐκ μηνιαίων ἢ ἐνιαυσιαίων ὑπόστασιν ἀναδέξηται ὁ χρόνος. 〈ιδʹ.〉 Περὶ σπορᾶς εἰς τὸν περὶ χρόνων ζωῆς τόπο ν . Παραληπτέον δὲ καὶ τοῦτον τὸν τρόπον, καθὼς εἰς τὸν περὶ σπορᾶς λόγον ἐν τοῖς ἔμπροσθεν ἐδηλώσαμεν· καὶ ἡγεῖσθαι τὴν κατ’ ἐκτροπὴν μοιρικὴν Σελήνην σπόριμον ὡροσκόπον, τὴν δὲ ὥραν τῆς ἐκτροπῆς σπορίμην Σελήνην· καὶ ἐπιγνόντας τὸ διάστημα περὶ ἡμερῶν τῆς σπορᾶς πραγματεύεσθαι πρός τε τὰς συνόδους καὶ πανσελήνους καὶ τὰς λοιπὰς ἀποδιαστάσεις· καὶ ** ἀγωγῆς ὁ τῆς ἐκτροπῆς ὡροσκόπος συμφωνήσει. 〈ιεʹ.〉 Ὅτι δεῖ τὴν γεννητικὴν ὥραν πρὸς μέρος ἀκριβῶς στῆσα ι . Ἐπεὶ δὲ ὁ παλαιὸς καὶ Μούσαις μεμελημένος σοφὸς ἀνὴρ ἔριδας ὑπεστήσατο, ὧν τὴν μὲν πολεμικὴν καὶ φοβεράν, αἵματι καὶ λύπαις καὶ θανάτῳ χαίρουσαν μάχαις τε καὶ φθόνοις καὶ κακωτικαῖς αἰτίαις, τὴν δ’ ἑτέραν ἐργοπόνον τε καὶ φιλόκαλον εἰρηνικήν τε καὶ ἀμετανόητον τοῖς ἔργοις διὰ τὸ τοὺς πόνους εἰς ἡδονὰς μετατίθεσθαι—ἀγαθὴ δὲ ἡ θεός, ἧς καὶ αὐτὸς ἐραστὴς ἐγενόμην βουληθεὶς κατὰ τῶν ἀντιτασσόντων καὶ βασκάνων νῖκος ἄρασθαι διὰ τῆς ἐμῆς ἐμπειρίας καὶ φιλοκάλης γνώμης, οὐκ ἠρκέσθην ταῖς προγεγραμμέναις ἀγωγαῖς εἰς πίστιν τοῖς μεταγενεστέροις καὶ φιλοκάλοις καταλεῖψαι, ἀλλὰ καὶ ἑτέραν δυναστικὴν ἐξεῦρον διασαφήσας, ὅπως δοκιμάσαντες καθ’ ἕκαστον κεφάλαιον τὴν ἐμὴν ἀφθονίαν μετὰ πάσης παρρησίας καὶ σεμνῆς φιλονεικίας τὰς ὀλεθρίας καὶ βλασφήμους τῶν πολεμίων κατασβέσωσι φωνάς (μαραίνεται γὰρ ὀργὴ ὑπὸ φθόνου καὶ λύπης τρεφομένη, καὶ μάλιστα ὁπόταν αἱ ἔχθραι εἰς ἧτταν ῥέπωσιν) οὕτως τε ἐγγυμνασθέντες προθύμως ταῖς ὑφ’ ἡμῶν συντάξεσι τὸν ψόγον τῆς θεωρίας εἰς ἔπαινον διακηρύξωσιν, εἰδότες ὅτι καὶ τέρψιν καὶ ἡδονὴν ὠφέλειαν καὶ μακαριότητα καὶ ὑπὲρ πολλῶν φρόνησιν ἡ ἐπιστήμη κέκτηται.

358 ἀλλ’ ἐπὶ τὸ προκείμενον τὴν διάνοιαν τρέψωμεν. Τὸ ἀπὸ συνόδου καὶ πανσελήνου μοιρικὸν διάστημα ἕως τῆς κατ’ ἐκτροπὴν Σελήνης λαβόντες καὶ ἀφελόντες ** ζῳδιακῷ συστήματι τὸ περιλειφθὲν ἡγεῖσθαι μέρος ὡροσκόπου, ὅθεν καὶ τὴν ἀτρεκῆ τῆς Σελήνης μοῖραν ἐμφανῆ· ἐκ ταύτης δὲ σκοπὸς τῶν ζητουμένων νοηθήσεται, τοῦ Ἡλίου βραβεύοντος τὰ μεγέθη τῆς ἡμέρας καὶ ὡρῶν κατὰ τὰς κλιματικὰς διαφορὰς καὶ τῶν χρόνων ἑτεροιώσεις. τὸ λεχθὲν εἰ καὶ σύντομον τὴν ὑφήγησιν καὶ βραχυτάτην κέκτηται, οὐκ ἀμελεῖν χρὴ τοὺς ἐντυγχάνοντας καὶ 〈ἐν〉 παρέργῳ τίθεσθαι, ἀλλὰ μετὰ πάσης ἐπιμελείας καὶ σπουδῆς ἐξιχνεύειν· διδάσκει γὰρ τὰ πλεῖστα, καθὼς ἐπειράθην, ἀνάγκη πόνος πενία φιλονεικία ἐγκράτεια ἐπιθυμία· ὧν ἡμεῖς τυχόντες, καὶ ἐὰν μεγαλαυχῶμεν οὕτως, εἰς τὸ τέλειον τῆς ἀρετῆς μέρος ἠτυχήσαμεν παραγενέσθαι· ἀλλά τινες σφαλέντες καὶ θρυληθέντες ἐδυστύχησαν, ματαίαν τὴν ἐγχειρισθεῖσαν κτησάμενοι κενοδοξίαν. καὶ αὐτὸ δὲ καθ’ αὑτὸ τὸ μέρος δύναμιν ὡροσκοπικὴν κέκτηται· ἄλλως τε τὸ ἀπὸ συνόδου ἐπὶ Σελήνην μοιρικὸν διάστημα κατὰ ἀναφορὰν λαβόντες καὶ ἀφελόντες ζῳδιακὸν διάστημα, εἰς ἣν κατέληξεν μοῖραν, ἡγεῖσθαι ὡροσκοπικήν. ὁμοίως δὲ καὶ ἀπὸ τῆς [Σελήνης] πανσελήνου ἐπὶ Σελήνην, 〈ἢ〉 ὡς ἐμοὶ ἔδοξεν ἀπὸ Σελήνης ἐπὶ τὴν μέλλουσαν σύνοδον· ὡς οὕτως λαβόντες καὶ ἀφελόντες τὸ ζῳδιακὸν τὴν εὑρεθεῖσαν ἡγεῖσθαι ὡροσκοπικὴν μοῖραν· τὴν μέντοι δύναμιν τῶν ἐτῶν συμπληροῦσθαι ἐπιπροσθέντας ἢ ἀφελόντας τῶν ἰσημερινῶν χρόνων πρότερον· ἀμφοτέρους γὰρ τοὺς γνώμονας ἐπισυνθέντες

καὶ τὴν ἡμίσειαν λαβόντες εὑρήσετε τὸ συνεχὲς ζητούμενον ἐκ τῆς ἀληθείας καὶ πολυμόρφου φύσεως.

359 παντὸς γὰρ εἴδους ἡ μὲν ἀρχὴ μονομερὴς καὶ ποικίλη καὶ δυσκατάληπτος, ἡ δ' ἐξίχνευσις πολυμερὴς καὶ ποικίλη· ἐὰν μὲν οὖν τὸ διάστημα ἀκριβῶς τὴν κατάληψιν ἐπίσχῃ, καὶ μονομερῆ τὸν χρόνον προδηλοῖ. ὅθεν μοι, τιμιώτατε Μάρκε, εἰδὼς τὴν ἀριθμητικὴν κανονοποιίαν καὶ τὰς τῶν συνταγμάτων ἀγωγάς, ἃς δι' ἔργων καὶ λόγων καὶ τῶν ἐξ ἐμοῦ παραδόσεων ἐδοκίμασας, συνεπεισφέρων ἐκ τῆς ἰδίας φύσεως τὸ συγκρατικόν, φροντίδα ποιῶν τοῦ μετὰ πάσης ἀκριβείας τὰς πραγματείας ποιεῖσθαι— τοῖς γὰρ πολλοῖς ἔθνεσι καὶ κλίμασι τῆς οἰκουμένης ἐπεμβαίνων καὶ τὰς ἐπιδείξεις ποιούμενος ἐμὲ μὲν ἂν ἀειμνήστου φήμης καταξιώσεις, αὐτὸς δ' ὡς ἄξιος τῆς οὐρανίου θεωρίας παρὰ πολλοῖς δοξασθήσῃ ἔκ τε τῆς περὶ τὰ μαθήματα δαψιλείας προθεμελιωθεὶς εἰς τὴν τῶν συνταγματογράφων χώραν καταντήσεις· καὶ γὰρ πάρεστί σοι φύσις πόνος ἐγκράτεια, καὶ σεμνῆς γε καὶ ἱερᾶς εἰσόδου τυχὼν πεφωτισμένην τὴν μυσταγωγίαν ἐκτήσω. ἣν φυλάσσειν σε διὰ τῶν προγεγραμμένων ὅρκων παραινῶ καὶ τοὺς ἀναξίους ἢ ἀμυήτους μηδὲ φιλονείκως πρὸς αὐτοὺς φέρεσθαι· ἄμεινον γάρ ἐστίν σε σιγῶντα ἡττᾶσθαι ἢ νικῶντα ἀσεβεῖν εἰς τὰ θεῖα. 〈ιϛʹ.〉 Ἀγωγὴ περὶ χρόνων ζωῆς πρὸς Ἥλιον καὶ Σελήνη ν . Ἤδη ποτὲ πολλοὺς ἀγῶνας διαθλεύσας καὶ μυρίοις μόχθοις συνεμπεσὼν ὁδηγούμενος ἐπιθυμίᾳ καὶ φιλονεικίᾳ τῇ ἐμῇ πρὸς τοὺς ἀνταγωνιστὰς καὶ προσδοκῶν ἤδη πεπάσθαι τῶν ζητημάτων καὶ τὴν συγγραφὴν μέλλων καταλύειν ὥσπερ ἀγαθὸς ἀθλητὴς ἐπὶ τὸν ἱερὸν ἀγῶνα τὴν τῶν Ὀλυμπίων θέαν παλίνδρομον τὴν διάνοιαν ποιούμενος διὰ τὰς πολυμερεῖς τῆς φύσεως ἐνεργείας· οὔτε γὰρ ὁ ἄγων καὶ αἴρων εἰς τὸ φῶς καὶ τιμὴν καὶ δόξαν αἰωνίαν κέκτηταί τε καὶ τοὺς προγενομένους μόχθους εἰς ἡδονὴν καὶ τέρψιν μετάγων ἰσχυροποιεῖ τὴν δύναμιν καὶ ἐλέγχει τὰς πράξεις καὶ τὰς ματαιολογίας παραπέμπεται καὶ τοὺς ἐχθροὺς φίλους καὶ συμπαθεῖς καίπερ ἄκοντας κατασκευάζει, καὶ πολλοὺς ἐραστὰς προσαγκαλίζεται.

360 Ὅθεν ἐπὶ τοὺς κοσμοκράτορας πάλιν Ἥλιον καὶ Σελήνην χωρητέον· οὓς χρὴ κατὰ μοῖραν ψηφίσαντας πρὸς ἀναφορὰν κατὰ τὸ μέγεθος καὶ τὸ κλίμα ἀφαιρεῖν ζῳδιακοὺς κύκλους, τὴν δὲ περιλειφθεῖσαν μοῖραν ἡγεῖσθαι δυναστικὴν καὶ τὴν τούτου ἐπίκοινον, ἣν ὁ ἰσημερινὸς δηλώσει. τέσσαρες δὲ πάντως μοῖραι χρηματίσουσιν, ἐκ δὲ τῶν δʹ πάλιν βʹ κραταιαὶ περιλειφθήσονται. ἔσθ' ὅτε μὲν οὖν καὶ εʹ τόποι χρηματίσουσιν ἢ πάλιν βʹ· σκοπεῖν δὲ δεῖ τόν τε ὡροσκόπον καὶ τὰ τούτου παρ' ἑκάτερα ζῴδια. καὶ ἐκ τούτων γὰρ αἱ χρηματιστικαὶ μοῖραι λογισθεῖσαι φέρουσι τοὺς χρόνους, καὶ μάλιστα ὅταν δοκῇ πλάνην ἔχειν ὁ ὡροσκόπος· ἢ καὶ ἑνὶ μὲν γνώμονι χρῆσαι πρὸς τὸ ὡροσκοποῦν ζῴδιον τὸ δ' ἕτερον οὐ τῷ παρακόλλῳ καὶ ιϛʹ μοῖρα σημαίνει μίαν καὶ τριακοστήν. νοεῖν δὲ δεῖ καὶ τὰς τῶν κλιμάτων διαφοράς· πολλάκις 〈γὰρ〉 τόπος τις ἢ καὶ ἔθνος δοκοῦν ἀρχὴν ἢ τελευτὴν ἔχειν παραλλήλου εἰς ἑτέρου ἐστὶ χώραν κυρίως ἢ καὶ σχίζεται εἰς βʹ παραλλήλους καὶ τοῦ χρόνου κατὰ πρόσθεσιν ἢ ἀφαίρεσιν παραμφοδεῖν δοκεῖ· ἄλλως τε καί, ὡς δοκεῖ τισιν τῶν περὶ τὰ τοιαῦτα ἐσπουδακότων, τὰς χωρογραφίας [καὶ] διαφόρους ἐκτήσαντο· ἡ μέντοι γε θεωρία καὶ ἀγωγὴ ἱερὰ καὶ ἄπταιστος τοῖς γε νοῦν ἔχουσι. 〈ιζʹ.〉 Ἀγωγὴ περὶ χρόνων ζωῆς πρὸς Ἥλιον καὶ Σελήνη ν . Καὶ τοῦτο δὲ φυσικὸν καὶ ἐναρμόνιον, τὰς λοιπὰς τοῦ Ἡλίου μοίρας καὶ τῆς Σελήνης ἐπισυνθέντας καὶ ἀφελόντας ζῳδιακὸν σύστημα τὴν περιλειφθεῖσαν μοῖραν ἡγεῖσθαι δυναστικὴν καὶ τὴν τούτου ἐπίκοινον, τὴν δὲ λειπομένην εἰς τὴν τριακοντάδα καὶ κατὰ τὴν τοῦ ἰσημερινοῦ πρόσθεσιν ἢ ἀφαίρεσιν σεληνιακὸν γνώμονα, ὃν ἐπισυνθέντας τῷ ἡλιακῷ καὶ τὴν ἡμίσειαν τῶν χρόνων λαβόντας ἡγεῖσθαι ζωτικούς. πολλάκις μέντοι κατὰ μόνας ὁ τοῦ Ἡλίου γνώμων ἢ τῆς Σελήνης κατὰ τὴν τοῦ ἰσημερινοῦ πρόσθεσιν ἢ ἀφαίρεσιν τῶν βʹ τόπων ἐπισυντεθέντων ἡ ἡμίσεια φέρει τοῦ ζῳδιακοῦ κατὰ τὰς ἐπικαίρους αὐτῶν ἢ καὶ χρηματιστικὰς στάσεις.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

361 βέλτιον μὲν οὖν τὰ μοιρικὰ καὶ τὰ ζῳδιακὰ διαστήματα πρὸς ἀναφορὰν λογίζεσθαι· ἐὰν μέντοι κατὰ μόνας ὁ γνώμων χρηματίσῃ, αὐτοῦ μόνου τοὺς χρόνους λογίζεσθαι. 〈ιη′.〉 Περὶ ὡροσκοπικοῦ ζῳδίου καὶ ἀναγκαστικῆς καὶ φυσικῆς ὥρα ς . Τὸ ὑποκείμενον ὄργανον τὴν πῆξιν ἔχει περὶ ὡροσκοπικοῦ ζῳδίου καὶ ἀναγκαστικῆς καὶ φυσικῆς ὥρας, καθὼς καὶ ὁ βασιλεὺς ᾐνίξατο ἀπὸ τοῦ σπορίμου Ἡλίου παχυμερῶς. ἐγὼ δὲ λεπτομερέστερον, τὴν ἀρχὴν ἀπὸ τοῦ Θὼθ μηνὸς ποιησάμενος, ὅς ἐστιν ἀπόζυγος διὰ τὴν μονάδα, ὁ δὲ Φαωφὶ ἄρτιος διὰ τὴν δυάδα, ὁ δὲ Ἀθὺρ ὁμοίως ἀπόζυγος, ὁ δὲ Χοιὰκ ἄρτιος· καὶ ἀκολούθως ἓν παρ’ ἓν τὰ λοιπὰ δεῖ ζῴδια σκοπεῖν. κατὰ τὴν ζητουμένην νύκτα 〈ἢ〉 ἡμέραν καὶ τὸν χρηματίσοντα μῆνα εἰσελθόντες εἰς τὸ ὑποκείμενον κανόνιον ἐπί τε τῶν νυκτὸς καὶ ἡμέρας γεννωμένων κατ’ εὐθὺ εὑρήσομεν τὰς γεννητικὰς ὥρας. 〈ιθ′.〉 Σεληνιακὴ μοῖρα πρὸς ὡριαῖον δρόμημα ἀναγκαστικ ή , ἣν εὗρο ν . Τῶν δὲ περιπεπονημένων μοι μηδὲν ἀποκρύπτειν βουλόμενος καὶ ἑτέραν φιλοκαλίαν ἐπεισφέρω τοῖς περὶ τὰ τοιαῦτα ἐσπουδακόσιν ἀφθόνως ἅτε δὴ γνησίοις παισίν. οἱ κατατεταγμένοι ἔσονται κανόνες τῶν β′ πλινθίων· πάλιν ἐν ἴσῳ διαστήματι τοῦ πλάτους συνηρμόσθησαν, καὶ ἔστιν ὁ μὲν πρότερος προκείμενος Σελήνης καὶ ἡμερήσιον δρόμον ἔχων ἀπὸ ἐλαχίστου ὅρου ἐτῶν ια′ εἰς ἔκστασιν χωρῶν ἔτι ἐν τῷ πρώτῳ στίχῳ· τὸ δ’ αὐτὸ διάστημα ἐν τῷ κάτω στίχῳ εἰς ιε′ ὥρας τοῦ τελείου ὅρου· ἔστι δὲ ἄνωθεν ἕως κάτω στίχων μη′. ἐπεὶ οὖν ἀπὸ τῶν ια′ ε′ παραυξομένων λεπτῶν εἰς τὸν μη′ στίχον πλήρη τὰ δ′, τοῦτ’ ἔστιν ὑπεροχή. ὅπου δὲ ἡ ἑξηκοντὰς πληροῦται, κινναβάρει ἐπιγέγραπται ἑτέρου δρόμου ἀρχὴν σημαῖνον. καὶ οὕτω ὁ δρόμος τῆς Σελήνης πεπλήρωται. τὸ δὲ ἕτερον κανόνιον τοῦ μεγέθους τῶν ὡρῶν πρὸς τὰ ζ′ κλίματα· τοῦτο γὰρ καὶ τῶν λοιπῶν κλιμάτων ἔχει τοὺς ἀριθμοὺς ἀπὸ ἐλαχίστου ἕως μεγίστου, τουτέστιν ἀπὸ τῶν ια′ προκειμένων ἐν τῷ α′ στίχῳ ἕως τῶν ιθ′ λ′ κειμένων ἐν τῷ ἔξω στίχῳ.

362 προκατάγω οὖν ἐν τῷ α′ στίχῳ ι′ λ′ ἕως τοῦ κάτω στίχου ο′· ἐπὶ μὲν οὖν λεπτῶν ἐκ παραυξήσεως εὗρον ἐν τῷ κάτω στίχῳ ιε′ καταλήξαντα, ἃ σημαίνει τὸν ἰσημερινὸν χρόνον· ὁμοίως κατ’ ἄντικρυ τῶν ιε′ προστιθεμένων πάλιν ἐτῶν καὶ ἀνωφερῶς πληροῦται ιθ′ λ′ εἰς τὸν α′ στίχον. αἱ δὲ πλατικαὶ περιγραφαὶ εἰς β′ ὥρας διαιροῦνται ἐφεξῆς, ἐπὰν εἰς τὸ ἰσημερινὸν ἡμικύκλιον ἰσωθῇ, ἢ κατὰ τὸ διάμετρον λογιζέσθω νυκτός. ἔστι δὲ ἡ διαχωρίζουσα γραμμὴ διπλῆ. ὃν δὲ λόγον ἔχει νὺξ πρὸς τὴν ἡμέραν, τὸν αὐτὸν λόγον ὥρα πρὸς ὥραν ἕξει τὸ μέγεθος. οἷον τὸ ιζ′ πρὸς τὰ ιγ′· δωδεκάκις τὰ δεκαεπτὰ γίνεται σδ′ καὶ δωδεκάκις τὰ ιγ′ γίνονται ρνς′· συμπληροῖ τὰς τξ′. ἀμφότερα οὖν τὰ κανόνια τὰς τῆς Σελήνης μοίρας καὶ τὰς φάσεις αὐτῆς προδηλώσουσιν· ἐὰν οὖν θέλωμεν ἐπιγνῶναι, πόσων μοιρῶν ἡ Σελήνη ἐστὶν ἐπὶ γενέσεως πρὸς ὡριαίαν κίνησιν, οὕτως πραγματευσόμεθα. πάντοτε δεῖ πρῶτον εἰσέρχεσθαι εἰς τὸ τῶν κλιμάτων κανόνιον, ἔχοντα δὲ διαβήτην κεχηνότα καὶ κατὰ τὴν ἡλιακὴν μοίραν εἰς τὸ β′ ἡμισφαίριον ἐπιγνόντα τὸ μέγεθος τῶν ὡρῶν κατ’ αὐτὸ ἐπιθεῖναι τὴν ἀρχὴν τοῦ διαβήτου δίκην· εἶθ’ οὕτως τὴν ἑτέραν ἐπεκτείνειν ἕως τῆς ζητουμένης ὥρας· εἰσὶ γὰρ κεκανονισμέναι αἱ ιβ′ ὧραι τῆς νυκτός. ἐὰν οὖν ᾖ ἡμερινὴ ἡ γένεσις, τὸ διάστημα τοῦ νυκτερινοῦ ἡμισφαιρίου ἀνατυπώσαντα εἰς τὸν διαβήτην ἐκτείνειν πάλιν ἕως τῆς ζητουμένης ὥρας ἡμερινῆς· εἶθ’ οὕτως τὸ πᾶν πλῆθος τῶν ὡρῶν ἐκμετρήσαντα εἰσφέρειν τὸν διαβήτην εἰς τὸν τῆς Σελήνης κανόνα καὶ κατὰ τὸ δρόμημα παραπλησίως θέντα τὴν ἀρχὴν τοῦ διαβήτου συνορᾶν, ἐκ ποίας μοίρας τερματίζεται τὸ μέγεθος. αἱ δὲ μοῖραι πρόδηλοι ἔσονται ἐφεξῆς κατὰ τὴν τοῦ δρομήματος χωρογραφίαν, ἃς δεῖ τιθέναι μετὰ τὴν Ἡλίου δύσιν ταῖς προευρεθείσαις μοίρας κατὰ τῆς Σελήνης καὶ ἔξωθεν πάλιν τὰς κλιματικὰς διαφορὰς ἐπιπροστιθέναι καὶ τοσούτων λογίζεσθαι τὴν Σελήνην μοιρῶν. δεῖ οὖν ἀκριβῶς τὰ ἡμισφαίρια ἐπίστασθαι καὶ μάλιστα τὸ νυκτερινὸν ἀεί· δυνατὸν μὲν οὖν καὶ ἐκ τοῦ ἡμερινοῦ ἡμικυκλίου ἐκμετρήσαντα τὰς λειπούσας εἰς τὸ ἡλιοδύσιον εἰσφέρειν εἰς τὸ τῆς Σελήνης καὶ λογίσασθαι ἔχειν ἐκεῖνο τὸ διάστημα καὶ τὰς εὑρεθείσας μοίρας φέρειν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

363 ἀλλ’ ἐὰν οὕτως μεθοδεύσωμεν, οὐ χρηματίσει ὅλον τὸ κανόνιον τῆς Σελήνης κατὰ πλάτος, ἀλλὰ μέρος αὐτοῦ· ὅθεν τῷ νυκτερινῷ προσχρηστέον. Σαφέστερον δὲ τὴν εἴσοδον ποιησόμεθα δι’ ὑποδειγμάτων. ἔστω γένεσις Ἀδριανοῦ ἔτος γʹ, Ἀθὺρ λʹ, ὥρα ἡμέρας δʹ, Ἥλιος Σκορπίου μοίρᾳ ζʹ, Σελήνη Παρθένου μοίρᾳ λʹ· ἕως ὀψὲ δρόμημα μοιρῶν ιδʹ ιεʹ. τὸ δ’ ἐκ τῆς ἰσημερινῆς μέγεθος κατὰ ἡμέρας κʹ μοῖραν εὑρέθη ιβʹ μοῖραι. εἰσελθὼν εἰς τὸ σελίδιον τῶν κλιμάτων κατὰ τὰς ιαʹ μοίρας καὶ εὑρὼν ιαʹ μβʹ τούτῳ χρῶμαί τῷ στίχῳ. ἐπεὶ οὖν ἡμερινόν ἐστιν ἡμισφαίριον, εἰς τὸ ἄντικρυ αὐτοῦ εἰσελθών, ὅπερ ἐστὶ νυκτερινόν, κατὰ τὰς ιηʹ μοίρας καὶ λεπτὰ ιηʹ, τὰ ιαʹ μβʹ πληροῖ τὴν τριακάδα· ἔθηκα οὖν τὴν ἀρχὴν τοῦ 〈διαβήτου〉 κατὰ τὰς ιηʹ μοίρας καὶ ἐξέτεινα ἕως τῶν ἄλλων ὡρῶν τῆς ἡμέρας ὑπὲρ τὴν γραμμὴν κατὰ τὰς πάσας ιαʹ μεʹ. καὶ τοῦτο τὸ μέγεθος τῆς ἐκτάσεως τοῦ διαβήτου εἰσήνεγκα εἰς τὸ προκείμενον ὄργανον τῆς Σελήνης κατὰ τὸ δρόμημα. ἔτρεχεν δὲ ἐπὶ τῆς προκειμένης γενέσεως ιδʹ ιεʹ· εἰσῆλθον οὖν κατὰ ταῦτα καὶ ἔθηκα τὴν ἀρχὴν τοῦ διαβήτου καὶ ἐσκόπησα κατὰ πᾶσαν χώραν, ποῦ καταλήγει ἡ ἑτέρα ἀρχὴ τοῦ διαβήτου. καὶ εὗρον κατὰ τὴν δεκάτην περὶ δʹ μέρος. ἐπεὶ οὖν ἑκάστη χώρα μοῖραν δηλοῖ, ταῦτα προσέθηκα ταῖς εὑρεθείσαις ἕως ἡλιοδυσίου Παρθένου μοίραις λʹ· καὶ ἐξευρέθη Σελήνη Ζυγοῦ μοίρᾳ καʹ ἔγγιστα. καὶ ἄλλως δὲ εἰσελθὼν εἰς τὸ ἡμερινὸν ἡμικύκλιον κατὰ τὰς ιαʹ μβʹ τοῦ μεγέθους τῆς ἡλιακῆς μοίρας ἐξέτεινα τὸν διαβήτην ἕως τῶν ηʹ ὡρῶν τῶν κυπτουσῶν κατὰ τὴν γένεσιν εἰς τὸ ἡλιοδύσιον καὶ τὸ αὐτὸ μέγεθος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org